The Septuagint (LXX)

Alfred Rahlfs

(With Morphological Data)

Sun 27th Feb, 2005
http://www.bibles.org.uk

New corrected text, notes and typesetting © 2002–2005 Bibles.org.uk.
Typeset with pdfLaTeX under Linux: Sun 27th Feb, 2005 at 02:06
Permission for *personal* use only is hereby given.

Tables of Morphological Symbols

Noun/Article	Case	Gender	Number	Type
n/d	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural	**c** common **p** proper

Pronoun	Type	Case	Gender	Number
r	**p** personal **r** relative **d** demonstrative **q** interrogative **i** indefinite **t** intensive **x** reflexive **e** reciprocal	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural

Participle	Tense	Voice	Case	Gender	Number
vp	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect **z** future perf	**a** active **m** middle **p** passive **e** mid/pass.	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masc. **f** fem. **n** neut.	**s** sing. **p** plur.

Infinitive	Tense	Voice
vn	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect **z** future perf	**a** active **m** middle **p** passive **e** mid/passive

Adverb **b**

Particle **x**

Verb	Mood	Tense	Voice	Person	Number
v	**i** indicative **d** imperative **s** subjunctive **o** optative	**p** present **f** future **a** aorist **i** imperfect **x** perfect **y** pluperfect **z** future perf	**a** active **m** middle **p** passive **e** mid/passive	**1** 1st **2** 2nd **3** 3rd	**s** singular **p** plural

Adjective	Case	Gender	Number	Degree
a	**n** nominative **g** genitive **d** dative **a** accusative **v** vocative	**m** masculine **f** feminine **n** neuter	**s** singular **p** plural	**c** comparative **s** superlative **n** none

Conjunction	Type
c	**s** subordinate **c** coordinate

Indeclinable noun **t**

Interjection **i**

Preposition	Case
q	**g** genitive **d** dative **a** accusative **p** indeterminate

Particle or Disjunctive Particle	Type
x	**i** interrogative **n** negative **o** negative

Indeclinable	Type
t	**a** Aramaic word **h** Hebrew word **p** proper noun **n** numeral **l** letter **o** other noun

The Books of the Septuagint

	Page
ΓΕΝΕΣΙΣ	1
ΕΧΟΔΟΣ	157
ΛΕΥΙΤΙΚΟΝ	279
ΑΡΙΘΜΟΙ	371
ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ	498
ΙΗΣΟΥΣ ΝΑΥΗ Α	608
ΙΗΣΟΥΣ ΝΑΥΗ	614
ΚΡΙΤΑΙ Α	687
ΚΡΙΤΑΙ	766
ΡΟΥΘ	842
ΒΑΣΙΛΕΙΩΝ Α	852
ΒΑΣΙΛΕΙΩΝ Β	950
ΒΑΣΙΛΕΙΩΝ Γ	1037
ΒΑΣΙΛΕΙΩΝ Δ	1135
ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α	1228
ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β	1309
ΕΣΔΡΑΣ Α	1414
ΕΣΔΡΑΣ	1460
ΝΕΕΜΙΑΣ	1489
ΕΣΘΗΡ	1528
ΙΟΥΔΙΘ	1560
ΤΩΒΙΤ	1606
ΤΩΒΙΤ Σ	1634
ΜΑΚΚΑΒΑΙΩΝ Α	1670
ΜΑΚΚΑΒΑΙΩΝ Β	1764
ΜΑΚΚΑΒΑΙΩΝ Γ	1829
ΜΑΚΚΑΒΑΙΩΝ Δ	1858
ΨΑΛΜΟΙ	1901
ΩΔΗ	2078
ΠΑΡΟΙΜΙΑΙ	2100
ΕΚΚΛΗΣΙΑΣΤΗΣ	2161
ΑΣΜΑ	2184
ΙΩΒ	2195
ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ	2264
ΠΡΟΛΟΓΟΣ	2302
ΣΟΦΙΑ ΣΕΙΡΑΧ	2304
ΨΑΛΜΟΙ ΣΟΛΟΜΩΝΤΟΣ	2403
ΩΣΗΕ	2428
ΑΜΩΣ	2449
ΜΙΧΑΙΑΣ	2466
ΙΩΗΛ	2478
ΟΒΔΙΟΥ	2487
ΙΩΝΑΣ	2490
ΝΑΟΥΜ	2496
ΑΜΒΑΚΟΥΜ	2502
ΣΟΦΟΝΙΑΣ	2508
ΑΓΓΑΙΟΣ	2515
ΖΑΧΑΡΙΑΣ	2520
ΜΑΛΑΧΙΑΣ	2546
ΗΣΑΙΑΣ	2554
ΙΕΡΕΜΙΑΣ	2688
ΒΑΡΟΥΧ	2832
ΘΡΗΝΟΙ	2845
ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ	2858
ΙΕΣΕΚΙΗΛ	2865
ΣΩΣΑΝΝΑ	3009
ΣΟΥΣΑΝΝΑ Τ	3014
ΔΑΝΙΗΛ	3020
ΔΑΝΙΗΛ Τ	3074
ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ	3126
ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ Τ	3131

ΓΕΝΕΣΙΣ

Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ δὲ γῆ **1**, 2
ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου,
καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. καὶ εἶπεν ὁ θεός 3
Γενηθήτω φῶς. καὶ ἐγένετο φῶς. καὶ εἶδεν ὁ θεὸς τὸ φῶς ὅτι κα- 4
λόν. καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον
τοῦ σκότους. καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος 5
ἐκάλεσεν νύκτα. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα
μία. Καὶ εἶπεν ὁ θεός Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος 6
καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο
οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ θεὸς 7
ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ
μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. καὶ ἐκάλεσεν 8
ὁ θεὸς τὸ στερέωμα οὐρανόν. καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ
ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ 9
θεός Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν
μίαν καὶ ὀφθήτω ἡ ξηρά καὶ ἐγένετο οὕτως καὶ συνήχθη τὸ ὕδωρ
τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν καὶ ὤφθη ἡ

---

1. **v.1** ἐνpd ἀρχήndfsc ποιέωviaa3s ὁdnms θεόςnnmsc ὁdams οὐρανόςnamsc καίcc ὁdafs γῆnafsc. **v.2** ὁdnfs δέcc γῆnnfsc εἰμίviia3s ἀόρατοςannfsn καίcc ἀκατασκεύαστοςannfsn καίcc σκότοςnnnsc ἐπάνωpg ὁdgfs ἄβυσσοςngfsc καίcc πνεῦμαnnnsc θεόςngmsc ἐπιφέρωviim3s ἐπάνωpg ὁdgns ὕδωρngnsc. **v.3** καίcc λέγωviaa3s ὁdnms θεόςnnmsc γίνομαιvdap3s φῶςnnnsc καίcc γίνομαιviam3s φῶςnnnsc. **v.4** καίcc ὁράωviaa3s ὁdnms θεόςnnmsc ὁdans φῶςnansc ὅτιcs καλόςannnsn καίcc διαχωρίζωviaa3s ὁdnms θεόςnnmsc ἀνάpa μέσοςanansn ὁdgns φῶςngnsc καίcc ἀνάpa μέσοςanansn ὁdgns σκότοςngnsc. **v.5** καίcc καλέωviaa3s ὁdnms θεόςnnmsc ὁdans φῶςnansc ἡμέραnafsc καίcc ὁdans σκότοςnansc καλέωviaa3s νύξnafsc καίcc γίνομαιviam3s ἑσπέραnnfsc καίcc γίνομαιviam3s πρωῖb ἡμέραnnfsc εἷςacnfsn. **v.6** καίcc λέγωviaa3s ὁdnms θεόςnnmsc γίνομαιvdap3s στερέωμαnnnsc ἐνpd μέσοςandnsn ὁdgns ὕδωρngnsc καίcc εἰμίvdpa3s διαχωρίζωvppanns ἀνάpa μέσοςanansn ὕδωρngnsc καίcc ὕδωρngnsc καίcc γίνομαιviam3s οὕτωςb. **v.7** καίcc ποιέωviaa3s ὁdnms θεόςnnmsc ὁdans στερέωμαnansc καίcc διαχωρίζωviaa3s ὁdnms θεόςnnmsc ἀνάpa μέσοςanansn ὁdgns ὕδωρngnsc ὅςrrnns εἰμίviia3s ὑποκάτωpg ὁdgns στερέωμαngnsc καίcc ἀνάpa μέσοςanansn ὁdgns ὕδωρngnsc ὁdgns ἐπάνωpg ὁdgns στερέωμαngnsc. **v.8** καίcc καλέωviaa3s ὁdnms θεόςnnmsc ὁdans στερέωμαnansc οὐρανόςnamsc καίcc ὁράωviaa3s ὁdnms θεόςnnmsc ὅτιcs καλόςannnsn καίcc γίνομαιviam3s ἑσπέραnnfsc καίcc γίνομαιviam3s πρωῖb ἡμέραnnfsc δεύτεροςaonfsn. **v.9** καίcc λέγωviaa3s ὁdnms θεόςnnmsc συνάγωvdap3s ὁdnns ὕδωρnnnsc ὁdnns ὑποκάτωpg ὁdgms οὐρανόςngmsc εἷςpa συναγωγήnafsc εἷςacafsn καίcc ὁράωvdap3s ὁdnfs ξηρόςannfsn καίcc γίνομαιviam3s οὕτωςb καίcc συνάγωviap3s ὁdnns ὕδωρnnnsc ὁdnns ὑποκάτωpg ὁdgms οὐρανόςngmsc εἷςpa ὁdafp συναγωγήnafpc αὐτόςrpgmp καίcc ὁράωviap3s ὁdnfs ξηρόςannfsn.

10 ξηρά. καὶ ἐκάλεσεν ὁ θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν
11 ὑδάτων ἐκάλεσεν θαλάσσας καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ εἶπεν
ὁ θεός βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ
γένος καὶ καθ' ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν οὗ
τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ ἐγένετο
12 οὕτως. καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κα-
τὰ γένος καὶ καθ' ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν
οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ εἶδεν
13 ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί ἡμέρα
14 τρίτη. Καὶ εἶπεν ὁ θεός Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι
τοῦ οὐρανοῦ εἰς φαῦσιν τῆς γῆς τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς
ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτὸς καὶ ἔστωσαν εἰς σημεῖα καὶ
15 εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς. καὶ ἔστωσαν εἰς
φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς
16 καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς
μεγάλους τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν
17 φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός καὶ τοὺς ἀστέρας. καὶ
ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν
18 ἐπὶ τῆς γῆς. καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς καὶ διαχω-
ρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους καὶ εἶδεν
19 ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί ἡμέρα

---

v.10 καί^{cc} καλέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dafs} ξηρός^{anafsn} γῆ^{nafsc} καί^{cc} ὁ^{danp} σύστημα^{nanpc} ὁ^{dgnp} ὕδωρ^{ngnpc} καλέω^{viaa3s} θάλασσα^{nafpc} καί^{cc} ὁράω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὅτι^{cs} καλός^{annnsn}. **v.11** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} βλαστάνω^{vdaa3s} ὁ^{dnfs} γῆ^{nnfsc} βοτάνη^{nafsc} χόρτος^{ngmsc} σπείρω^{vppaans} σπέρμα^{nansc} κατά^{pa} γένος^{nansc} καί^{cc} κατά^{pa} ὁμοιότης^{nafsc} καί^{cc} ξύλον^{nansc} κάρπιμος^{anansn} ποιέω^{vppaans} καρπός^{namsc} ὅς^{rrgms} ὁ^{dnns} σπέρμα^{nnnsc} αὐτός^{rpgms} ἐν^{pd} αὐτός^{rpdms} κατά^{pa} γένος^{nansc} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} γίνομαι^{viam3s} οὕτως^{b}. **v.12** καί^{cc} ἐκφέρω^{viaa3s} ὁ^{dnfs} γῆ^{nnfsc} βοτάνη^{nafsc} χόρτος^{ngmsc} σπείρω^{vppaans} σπέρμα^{nansc} κατά^{pa} γένος^{nansc} καί^{cc} κατά^{pa} ὁμοιότης^{nafsc} καί^{cc} ξύλον^{nansc} κάρπιμος^{anansn} ποιέω^{vppaans} καρπός^{namsc} ὅς^{rrgms} ὁ^{dnns} σπέρμα^{nnnsc} αὐτός^{rpgms} ἐν^{pd} αὐτός^{rpdms} κατά^{pa} γένος^{nansc} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} ὁράω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὅτι^{cs} καλός^{annnsn}. **v.13** καί^{cc} γίνομαι^{viam3s} ἑσπέρα^{nnfsc} καί^{cc} γίνομαι^{viam3s} πρωΐ^{b} ἡμέρα^{nnfsc} τρίτος^{aonfsn}. **v.14** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} γίνομαι^{vdap3p} φωστήρ^{nnmpc} ἐν^{pd} ὁ^{ddns} στερέωμα^{ndnsc} ὁ^{dgms} οὐρανός^{ngmsc} εἰς^{pa} φαῦσις^{nafsc} ὁ^{dgfs} γῆ^{ngfsc} ὁ^{dgns} διαχωρίζω^{vnpa} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgfs} ἡμέρα^{ngfsc} καί^{cc} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgfs} νύξ^{ngfsc} καί^{cc} εἰμί^{vdpa3p} εἰς^{pa} σημεῖον^{nanpc} καί^{cc} εἰς^{pa} καιρός^{nampc} καί^{cc} εἰς^{pa} ἡμέρα^{nafpc} καί^{cc} εἰς^{pa} ἐνιαυτός^{nampc}. **v.15** καί^{cc} εἰμί^{vdpa3p} εἰς^{pa} φαῦσις^{nafsc} ἐν^{pd} ὁ^{ddns} στερέωμα^{ndnsc} ὁ^{dgms} οὐρανός^{ngmsc} ὥστε^{cs} φαίνω^{vnpa} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} γίνομαι^{viam3s} οὕτως^{b}. **v.16** καί^{cc} ποιέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{damp} δύο^{ac-n} φωστήρ^{nampc} ὁ^{damp} μέγας^{anampn} ὁ^{dams} φωστήρ^{namsc} ὁ^{dams} μέγας^{anamsn} εἰς^{pa} ἀρχή^{nafpc} ὁ^{dgfs} ἡμέρα^{ngfsc} καί^{cc} ὁ^{dams} φωστήρ^{namsc} ὁ^{dams} ἐλαχύς^{anamsc} εἰς^{pa} ἀρχή^{nafpc} ὁ^{dgfs} νύξ^{ngfsc} καί^{cc} ὁ^{damp} ἀστήρ^{nampc}. **v.17** καί^{cc} τίθημι^{viam3s} αὐτός^{rpamp} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} ὁ^{ddns} στερέωμα^{ndnsc} ὁ^{dgms} οὐρανός^{ngmsc} ὥστε^{cs} φαίνω^{vnpa} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.18** καί^{cc} ἄρχω^{vnpa} ὁ^{dgfs} ἡμέρα^{ngfsc} καί^{cc} ὁ^{dgfs} νύξ^{ngfsc} καί^{cc} διαχωρίζω^{vnpa} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgns} φῶς^{ngnsc} καί^{cc} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgns} σκότος^{ngnsc} καί^{cc} ὁράω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὅτι^{cs} καλός^{annnsn}.

τετάρτη. Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν 20
ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ
οὐρανοῦ καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ 21
μεγάλα καὶ πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν ἃ ἐξήγαγεν τὰ ὕδατα κα-
τὰ γένη αὐτῶν καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος καὶ εἶδεν
ὁ θεὸς ὅτι καλά. καὶ ηὐλόγησεν αὐτὰ ὁ θεὸς λέγων αὐξάνεσθε 22
καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις καὶ
τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο ἑσπέρα καὶ 23
ἐγένετο πρωί ἡμέρα πέμπτη. Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω ἡ γῆ 24
ψυχὴν ζῶσαν κατὰ γένος τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς
γῆς κατὰ γένος καὶ ἐγένετο οὕτως. καὶ ἐποίησεν ὁ θεὸς τὰ θη- 25
ρία τῆς γῆς κατὰ γένος καὶ τὰ κτήνη κατὰ γένος καὶ πάντα τὰ
ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. καὶ 26
εἶπεν ὁ θεός ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽
ὁμοίωσιν καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετει-
νῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων
τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ ἐποίησεν ὁ θεὸς 27
τὸν ἄνθρωπον κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν ἄρσεν καὶ θῆλυ
ἐποίησεν αὐτούς. καὶ ηὐλόγησεν αὐτοὺς ὁ θεὸς λέγων Αὐξάνε- 28
σθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε
αὐτῆς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ
οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων

---

v.19 καί^{cc} γίνομαι^{viam3s} ἑσπέρα^{nnfsc} καί^{cc} γίνομαι^{viam3s} πρωῖ^{b} ἡμέρα^{nnfsc} τέταρτος^{aonfsn}.
v.20 καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἐξάγω^{vdaa3s} ὁ^{dnnp} ὕδωρ^{nnnpc} ἑρπετόν^{nanpc} ψυχή^{ngfpc}
ζάω^{vppagfp} καί^{cc} πετεινός^{nanpc} πέτομαι^{vppmanp} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} κατά^{pa} ὁ^{dans} στερέωμα^{nansc}
ὁ^{dgms} οὐρανός^{ngmsc} καί^{cc} γίνομαι^{viam3s} οὕτως^{b}. **v.21** καί^{cc} ποιέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{danp}
κῆτος^{nanpc} ὁ^{danp} μέγας^{ananpn} καί^{cc} πᾶς^{aiafsn} ψυχή^{nafsc} ζῷον^{ngnpc} ἑρπετόν^{ngnpc} ὅς^{rrranp} ἐξάγω^{viaa3s}
ὁ^{dnnp} ὕδωρ^{nnnpc} κατά^{pa} γένος^{nanpc} αὐτός^{rpgnp} καί^{cc} πᾶς^{aiansn} πετεινός^{nansc} πτερωτός^{anansn}
κατά^{pa} γένος^{nansc} καί^{cc} ὁράω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὅτι^{cs} καλός^{ananpn}. **v.22** καί^{cc} εὐλογέω^{viaa3s}
αὐτός^{rpanp} ὁ^{dnms} θεός^{nnmsc} λέγω^{vppanms} αὐξάνω^{vdpm2p} καί^{cc} πληθύνω^{vdpp2p} καί^{cc} πληρόω^{vdaa2p}
ὁ^{danp} ὕδωρ^{nanpc} ἐν^{pd} ὁ^{ddfp} θάλασσα^{ndfpc} καί^{cc} ὁ^{dnnp} πετεινός^{nnnpc} πληθύνω^{vdpp3p} ἐπί^{pg}
ὁ^{dgfs} γῆ^{ngfsc}. **v.23** καί^{cc} γίνομαι^{viam3s} ἑσπέρα^{nnfsc} καί^{cc} γίνομαι^{viam3s} πρωῖ^{b} ἡμέρα^{nnfsc}
πέμπτος^{aonfsn}. **v.24** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἐξάγω^{vdaa3s} ὁ^{dnfs} γῆ^{nnfsc} ψυχή^{nafsc}
ζάω^{vppaafs} κατά^{pa} γένος^{nansc} τετράποδος^{ananpn} καί^{cc} ἑρπετόν^{nanpc} καί^{cc} θηρίον^{nanpc} ὁ^{dgfs} γῆ^{ngfsc}
κατά^{pa} γένος^{nansc} καί^{cc} γίνομαι^{viam3s} οὕτως^{b}. **v.25** καί^{cc} ποιέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{danp}
θηρίον^{nanpc} ὁ^{dgfs} γῆ^{ngfsc} κατά^{pa} γένος^{nansc} καί^{cc} ὁ^{danp} κτῆνος^{nanpc} κατά^{pa} γένος^{nansc} καί^{cc}
πᾶς^{aianpn} ὁ^{danp} ἑρπετόν^{nanpc} ὁ^{dgfs} γῆ^{ngfsc} κατά^{pa} γένος^{nansc} αὐτός^{rpgnp} καί^{cc} ὁράω^{viaa3s} ὁ^{dnms}
θεός^{nnmsc} ὅτι^{cs} καλός^{ananpn}. **v.26** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ποιέω^{vsaa1p} ἄνθρωπος^{namsc}
κατά^{pa} εἰκών^{nafsc} ἡμέτερος^{asafsn} καί^{cc} κατά^{pa} ὁμοίωσις^{nafsc} καί^{cc} ἄρχω^{vdpa3p} ὁ^{dgmp} ἰχθύς^{ngmpc}
ὁ^{dgfs} θάλασσα^{ngfsc} καί^{cc} ὁ^{dgnp} πετεινός^{ngnpc} ὁ^{dgms} οὐρανός^{ngmsc} καί^{cc} ὁ^{dgnp} κτῆνος^{ngnpc} καί^{cc}
πᾶς^{aigfsn} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} πᾶς^{aignpn} ὁ^{dgnp} ἑρπετόν^{ngnpc} ὁ^{dgnp} ἕρπω^{vppagnp} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}.
v.27 καί^{cc} ποιέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dams} ἄνθρωπος^{namsc} κατά^{pa} εἰκών^{nafsc} θεός^{ngmsc}
ποιέω^{viaa3s} αὐτός^{rpams} ἄρσην^{anansn} καί^{cc} θῆλυς^{anansn} ποιέω^{viaa3s} αὐτός^{rpamp}.

29 τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ εἶπεν ὁ θεός ἰδοὺ
δέδωκα ὑμῖν πᾶν χόρτον σπόριμον σπεῖρον σπέρμα ὅ ἐστιν ἐπάνω
πάσης τῆς γῆς καὶ πᾶν ξύλον ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος
30 σπορίμου ὑμῖν ἔσται εἰς βρῶσιν. καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς
καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ τῷ ἕρποντι
ἐπὶ τῆς γῆς ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς πάντα χόρτον χλωρὸν
31 εἰς βρῶσιν καὶ ἐγένετο οὕτως. καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐ-
ποίησεν καὶ ἰδοὺ καλὰ λίαν καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί
ἡμέρα ἕκτη.

2 Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος
2 αὐτῶν. καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα
αὐτοῦ ἃ ἐποίησεν καὶ κατέπαυσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάν-
3 των τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν. καὶ ηὐλόγησεν ὁ θεὸς τὴν
ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν ὅτι ἐν αὐτῇ κατέπαυσεν
4 ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι. Αὕτη ἡ
βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς ὅτε ἐγένετο ᾗ ἡμέρᾳ ἐποίησεν
5 ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ
τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνα-
τεῖλαι οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν καὶ ἄνθρωπος οὐκ ἦν

---

v.28 καί^{cc} εὐλογέω^{viaa3s} αὐτός^{rpamp} ὁ^{dnms} θεός^{nnmsc} λέγω^{vppanms} αὐξάνω^{vdpm2p} καί^{cc} πληθύνω^{vdpp2p} καί^{cc} πληρόω^{vdaa2p} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} κατακυριεύω^{vdaa2p} αὐτός^{rpgfs} καί^{cc} ἄρχω^{vdpa2p} ὁ^{dgmp} ἰχθύς^{ngmpc} ὁ^{dgfs} θάλασσα^{ngfsc} καί^{cc} ὁ^{dgnp} πετεινός^{ngnpc} ὁ^{dgms} οὐρανός^{ngmsc} καί^{cc} πᾶς^{aignpn} ὁ^{dgnp} κτῆνος^{ngnpc} καί^{cc} πᾶς^{aigfsn} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} πᾶς^{aignpn} ὁ^{dgnp} ἑρπετόν^{ngnpc} ὁ^{dgnp} ἕρπω^{vppagnp} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.29** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἰδού^{i} δίδωμι^{vixa1s} σύ$^{rpd-p}$ πᾶς^{aiansn} χόρτος^{namsc} σπόριμος^{anamsn} σπείρω^{vppaans} σπέρμα^{nansc} ὅς^{rrnns} εἰμί^{vipa3s} ἐπάνω^{pg} πᾶς^{aigfsn} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} πᾶς^{aiansn} ξύλον^{nansc} ὅς^{rrnns} ἔχω^{vipa3s} ἐν^{pd} ἑαυτοῦ^{rxdns} καρπός^{namsc} σπέρμα^{ngnsc} σπόριμος^{angnsn} σύ$^{rpd-p}$ εἰμί^{vifm3s} εἰς^{pa} βρῶσις^{nafsc}. **v.30** καί^{cc} πᾶς^{aidnpn} ὁ^{ddnp} θηρίον^{ndnpc} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} πᾶς^{aidnpn} ὁ^{ddnp} πετεινός^{ndnpc} ὁ^{dgms} οὐρανός^{ngmsc} καί^{cc} πᾶς^{aidnsn} ἑρπετόν^{ndnsc} ὁ^{ddns} ἕρπω^{vppadns} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ὅς^{rrnns} ἔχω^{vipa3s} ἐν^{pd} ἑαυτοῦ^{rxdns} ψυχή^{nafsc} ζωή^{ngfsc} πᾶς^{aiamsn} χόρτος^{namsc} χλωρός^{anamsn} εἰς^{pa} βρῶσις^{nafsc} καί^{cc} γίνομαι^{viam3s} οὕτως^{b}. **v.31** καί^{cc} ὁράω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{danp} πᾶς^{aianpn} ὅσος^{aranpn} ποιέω^{viaa3s} καί^{cc} ἰδού^{i} καλός^{ananpn} λίαν^{b} καί^{cc} γίνομαι^{viam3s} ἑσπέρα^{nnfsc} καί^{cc} γίνομαι^{viam3s} πρωΐ^{b} ἡμέρα^{nnfsc} ἕκτος^{aonfsn}. **2. v.1** καί^{cc} συντελέω^{viap3p} ὁ^{dnms} οὐρανός^{nnmsc} καί^{cc} ὁ^{dnfs} γῆ^{nnfsc} καί^{cc} πᾶς^{ainmsn} ὁ^{dnms} κόσμος^{nnmsc} αὐτός^{rpgmp}. **v.2** καί^{cc} συντελέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{ddfs} ἕκτος^{aodfsn} ὁ^{danp} ἔργον^{nanpc} αὐτός^{rpgms} ὅς^{rranp} ποιέω^{viaa3s} καί^{cc} καταπαύω^{viaa3s} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{ddfs} ἕβδομος^{aodfsn} ἀπό^{pg} πᾶς^{aignpn} ὁ^{dgnp} ἔργον^{ngnpc} αὐτός^{rpgms} ὅς^{rrgnp} ποιέω^{viaa3s}. **v.3** καί^{cc} εὐλογέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dafs} ἡμέρα^{nafsc} ὁ^{dafs} ἕβδομος^{aoafsn} καί^{cc} ἁγιάζω^{viaa3s} αὐτός^{rpafs} ὅτι^{cs} ἐν^{pd} αὐτός^{rpdfs} καταπαύω^{viaa3s} ἀπό^{pg} πᾶς^{aignpn} ὁ^{dgnp} ἔργον^{ngnpc} αὐτός^{rpgms} ὅς^{rrgnp} ἄρχω^{viam3s} ὁ^{dnms} θεός^{nnmsc} ποιέω^{vnaa}. **v.4** οὗτος^{rdnfs} ὁ^{dnfs} βίβλος^{nnfsc} γένεσις^{ngfsc} οὐρανός^{ngmsc} καί^{cc} γῆ^{ngfsc} ὅτε^{cs} γίνομαι^{viam3s} ὅς^{rrdfs} ἡμέρα^{ndfsc} ποιέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dams} οὐρανός^{namsc} καί^{cc} ὁ^{dafs} γῆ^{nafsc}.

ἐργάζεσθαι τὴν γῆν. πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζεν 6
πᾶν τὸ πρόσωπον τῆς γῆς. καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον 7
χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν
ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Καὶ ἐφύτευσεν 8
κύριος ὁ θεὸς παράδεισον ἐν Εδεμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ
τὸν ἄνθρωπον, ὃν ἔπλασεν. καὶ ἐξανέτειλεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς 9
πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν καὶ τὸ ξύλον
τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν
καλοῦ καὶ πονηροῦ. ποταμὸς δὲ ἐκπορεύεται ἐξ Εδεμ ποτίζειν 10
τὸν παράδεισον ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα 11
τῷ ἑνὶ Φισων οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Ευιλατ ἐκεῖ οὗ ἐ-
στιν τὸ χρυσίον. τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν καὶ ἐκεῖ 12
ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. καὶ ὄνομα τῷ ποταμῷ τῷ 13
δευτέρῳ Γηων οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. καὶ ὁ 14
ποταμὸς ὁ τρίτος Τίγρις οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων
ὁ δὲ ποταμὸς ὁ τέταρτος οὗτος Εὐφράτης. Καὶ ἔλαβεν κύριος ὁ 15
θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασεν καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ
ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. καὶ ἐνετείλατο κύριος ὁ θεὸς 16
τῷ Αδαμ λέγων Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει

---

v.5 καί^{cc} πᾶς^{aiansn} χλωρός^{anansn} ἀγρός^{ngmsc} πρό^{pg} ὁ^{dgns} γίνομαι^{vnam} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} πᾶς^{aiamsn} χόρτος^{namsc} ἀγρός^{ngmsc} πρό^{pg} ὁ^{dgns} ἀνατέλλω^{vnaa} οὐ^{b} γάρ^{cc} βρέχω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} ἄνθρωπος^{nnmsc} οὐ^{b} εἰμί^{viia3s} ἐργάζομαι^{vnpm} ὁ^{dafs} γῆ^{nafsc}. **v.6** πηγή^{nnfsc} δέ^{cc} ἀναβαίνω^{viia3s} ἐκ^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} ποτίζω^{viia3s} πᾶς^{aiansn} ὁ^{dans} πρόσωπον^{nansc} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.7** καί^{cc} πλάσσω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dams} ἄνθρωπος^{namsc} χοῦς^{namsc} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} ἐμφυσάω^{viaa3s} εἰς^{pa} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgms} πνοή^{nafsc} ζωή^{ngfsc} καί^{cc} γίνομαι^{viam3s} ὁ^{dnms} ἄνθρωπος^{nnmsc} εἰς^{pa} ψυχή^{nafsc} ζάω^{vppaafs}. **v.8** καί^{cc} φυτεύω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} παράδεισος^{namsc} ἐν^{pd} Εδεμ^{nd-sp} κατά^{pa} ἀνατολή^{nafpc} καί^{cc} τίθημι^{viam3s} ἐκεῖ^{b} ὁ^{dams} ἄνθρωπος^{namsc} ὅς^{rrams} πλάσσω^{viaa3s}. **v.9** καί^{cc} ἐξανατέλλω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἔτι^{b} ἐκ^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} πᾶς^{aiansn} ξύλον^{nansc} ὡραῖος^{anansn} εἰς^{pa} ὅρασις^{nafsc} καί^{cc} καλός^{anansn} εἰς^{pa} βρῶσις^{nafsc} καί^{cc} ὁ^{dans} ξύλον^{nansc} ὁ^{dgfs} ζωή^{ngfsc} ἐν^{pd} μέσος^{andnsn} ὁ^{ddms} παράδεισος^{ndmsc} καί^{cc} ὁ^{dans} ξύλον^{nansc} ὁ^{dgns} οἶδα^{vnxa} γνωστός^{anansn} καλός^{angnsn} καί^{cc} πονηρός^{angnsn}. **v.10** ποταμός^{nnmsc} δέ^{cc} ἐκπορεύομαι^{vipm3s} ἐκ^{pg} Εδεμ^{ng-sp} ποτίζω^{vnpa} ὁ^{dams} παράδεισος^{namsc} ἐκεῖθεν^{b} ἀφορίζω^{vipm3s} εἰς^{pa} τέσσαρες^{acafpn} ἀρχή^{nafpc}. **v.11** ὄνομα^{nnnsc} ὁ^{ddms} εἷς^{acdmsn} Φισων^{nn-sp} οὗτος^{rdnms} ὁ^{dnms} κυκλόω^{vppanms} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} Ευιλατ^{ng-sp} ἐκεῖ^{b} ὅς^{b} εἰμί^{vipa3s} ὁ^{dnns} χρυσίον^{nnnsc}. **v.12** ὁ^{dnns} δέ^{cc} χρυσίον^{nnnsc} ὁ^{dgfs} γῆ^{ngfsc} ἐκεῖνος^{rdgfs} καλός^{annnnsn} καί^{cc} ἐκεῖ^{b} εἰμί^{vipa3s} ὁ^{dnms} ἄνθραξ^{nnmsc} καί^{cc} ὁ^{dnms} λίθος^{nnmsc} ὁ^{dnms} πράσινος^{annmsn}. **v.13** καί^{cc} ὄνομα^{nansc} ὁ^{ddms} ποταμός^{ndmsc} ὁ^{ddms} δεύτερος^{aodmsn} Γηων^{nn-sp} οὗτος^{rdnms} ὁ^{dnms} κυκλόω^{vppanms} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} Αἰθιοπία^{ngfsp}. **v.14** καί^{cc} ὁ^{dnms} ποταμός^{nnmsc} ὁ^{dnms} τρίτος^{aonmsn} Τίγρις^{nnmsp} οὗτος^{rdnms} ὁ^{dnms} πορεύομαι^{vppmnms} κατέναντι^{pg} Ἀσσύριος^{ngmpp} ὁ^{dnms} δέ^{cc} ποταμός^{nnmsc} ὁ^{dnms} τέταρτος^{aonmsn} οὗτος^{rdnms} Εὐφράτης^{nnmsp}. **v.15** καί^{cc} λαμβάνω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dams} ἄνθρωπος^{namsc} ὅς^{rrams} πλάσσω^{viaa3s} καί^{cc} τίθημι^{viam3s} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddms} παράδεισος^{ndmsc} ἐργάζομαι^{vnpm} αὐτός^{rpams} καί^{cc} φυλάσσω^{vnpa}.

17 φάγῃ. ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν οὐ
φάγεσθε ἀπ᾽ αὐτοῦ ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ θανάτῳ ἀπο-
18 θανεῖσθε. Καὶ εἶπεν κύριος ὁ θεός Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον
19 μόνον ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν. καὶ ἔπλασεν ὁ θεὸς
ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ
οὐρανοῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Αδαμ ἰδεῖν τί καλέσει αὐτά
καὶ πᾶν ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Αδαμ ψυχὴν ζῶσαν τοῦτο ὄνομα αὐ-
20 τοῦ. καὶ ἐκάλεσεν Αδαμ ὀνόματα πᾶσιν τοῖς κτήνεσιν καὶ πᾶσι
τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ τῷ
21 δὲ Αδαμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. καὶ ἐπέβαλεν ὁ θεὸς
ἔκστασιν ἐπὶ τὸν Αδαμ καὶ ὕπνωσεν καὶ ἔλαβεν μίαν τῶν πλευρῶν
22 αὐτοῦ καὶ ἀνεπλήρωσεν σάρκα ἀντ᾽ αὐτῆς. καὶ ᾠκοδόμησεν κύ-
ριος ὁ θεὸς τὴν πλευράν ἣν ἔλαβεν ἀπὸ τοῦ Αδαμ εἰς γυναῖκα καὶ
23 ἤγαγεν αὐτὴν πρὸς τὸν Αδαμ. καὶ εἶπεν Αδαμ τοῦτο νῦν ὀστοῦν
ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου αὕτη κληθήσεται
24 γυνή ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήμφθη αὕτη. ἕνεκεν τούτου κα-
ταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ
προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο
25 εἰς σάρκα μίαν. καὶ ἦσαν οἱ δύο γυμνοί ὅ τε Αδαμ καὶ ἡ γυνὴ
αὐτοῦ καὶ οὐκ ᾐσχύνοντο.

---

v.16 καί[cc] ἐντέλλομαι[viam3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[ddms] Ἀδάμ[ndmsp] λέγω[vppanms] ἀπό[pg] πᾶς[aignsn] ξύλον[ngnsc] ὁ[dgns] ἐν[pd] ὁ[ddms] παράδεισος[ndmsc] βρῶσις[ndfsc] ἐσθίω[vifm2s]. **v.17** ἀπό[pg] δέ[cc] ὁ[dgns] ξύλον[ngnsc] ὁ[dgns] γινώσκω[vnpa] καλός[ananSn] καί[cc] πονηρός[ananSn] οὐ[b] ἐσθίω[vifm2p] ἀπό[pg] αὐτός[rpgns] ὅς[rrdfs] δέ[cc] ἄν[x] ἡμέρα[ndfsc] ἐσθίω[vsaa2p] ἀπό[pg] αὐτός[rpgns] θάνατος[ndmsc] ἀποθνήσκω[vifm2p]. **v.18** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] οὐ[b] καλός[ananSn] εἰμί[vnpa] ὁ[dams] ἄνθρωπος[namsc] μόνος[anamsn] ποιέω[vsaa1p] αὐτός[rpdms] βοηθός[namsc] κατά[pa] αὐτός[rpams]. **v.19** καί[cc] πλάσσω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἔτι[b] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] πᾶς[aianpn] ὁ[danp] θηρίον[nanpc] ὁ[dgms] ἀγρός[ngmsc] καί[cc] πᾶς[aianpn] ὁ[danp] πετεινός[nanpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ἄγω[viaa3s] αὐτός[rpanp] πρός[pa] ὁ[dams] Ἀδάμ[namsp] ὁράω[vnaa] τίς[rqans] καλέω[vifa3s] αὐτός[rpanp] καί[cc] πᾶς[ainnsn] ὅς[rrans] ἐάν[x] καλέω[viaa3s] αὐτός[rpans] Ἀδάμ[nnmsp] ψυχή[nafsc] ζάω[vppaafs] οὗτος[rdnns] ὄνομα[nnnsc] αὐτός[rpgms]. **v.20** καί[cc] καλέω[viaa3s] Ἀδάμ[nnmsp] ὄνομα[nanpc] πᾶς[aidnpn] ὁ[ddnp] κτῆνος[ndnpc] καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] πετεινός[ndnpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] πᾶς[aidnpn] ὁ[ddnp] θηρίον[ndnpc] ὁ[dgms] ἀγρός[ngmsc] ὁ[ddms] δέ[cc] Ἀδάμ[ndmsp] οὐ[b] εὑρίσκω[viap3s] βοηθός[nnmsc] ὅμοιος[annmsn] αὐτός[rpdms]. **v.21** καί[cc] ἐπιβάλλω[viaa3s] ὁ[dnms] θεός[nnmsc] ἔκστασις[nafsc] ἐπί[pa] ὁ[dams] Ἀδάμ[nnmsp] καί[cc] ὑπνόω[viaa3s] καί[cc] λαμβάνω[viaa3s] εἷς[acafsn] ὁ[dgfp] πλευρά[ngfpc] αὐτός[rpgms] καί[cc] ἀναπληρόω[viaa3s] σάρξ[nafsc] ἀντί[pg] αὐτός[rpgfs]. **v.22** καί[cc] οἰκοδομέω[viaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dafs] πλευρά[nafsc] ὅς[rrafs] λαμβάνω[viaa3s] ἀπό[pg] ὁ[dgms] Ἀδάμ[ngmsp] εἰς[pa] γυνή[nafsc] καί[cc] ἄγω[viaa3s] αὐτός[rpafs] πρός[pa] ὁ[dams] Ἀδάμ[namsp]. **v.23** καί[cc] λέγω[viaa3s] Ἀδάμ[nnmsp] οὗτος[rdnns] νῦν[b] ὀστέον[nnnsc] ἐκ[pg] ὁ[dgnp] ὀστέον[ngnpc] ἐγώ[rpgms] καί[cc] σάρξ[nnfsc] ἐκ[pg] ὁ[dgfs] σάρξ[ngfsc] ἐγώ[rpgms] οὗτος[rdnfs] καλέω[vifp3s] γυνή[nnfsc] ὅτι[cs] ἐκ[pg] ὁ[dgms] ἀνήρ[ngmsc] αὐτός[rpgfs] λαμβάνω[viap3s] οὗτος[rdnfs]. **v.24** ἕνεκα[pg] οὗτος[rdgns] καταλείπω[vifa3s] ἄνθρωπος[nnmsc] ὁ[dams] πατήρ[namsc] αὐτός[rpgms] καί[cc] ὁ[dafs] μήτηρ[nafsc] αὐτός[rpgms] καί[cc] προσκολλάω[vifp3s] πρός[pa] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] εἰμί[vifm3p] ὁ[dnmp] δύο[ac—n] εἰς[pa] σάρξ[nafsc] εἷς[acafsn]. **v.25** καί[cc] εἰμί[viia3p] ὁ[dnmp] δύο[ac—n] γυμνός[annmpn] ὁ[dnms] τέ[cc] Ἀδάμ[nnmsp] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] αὐτός[rpgms] καί[cc] οὐ[b] αἰσχύνω[viip3p].

3 Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν κύριος ὁ θεός καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί τί ὅτι εἶπεν ὁ θεός οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ. καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει ἀπὸ καρποῦ ξύλου τοῦ παραδείσου 2
φαγόμεθα. ἀπὸ δὲ καρποῦ τοῦ ξύλου ὅ ἐστιν ἐν μέσῳ τοῦ πα- 3
ραδείσου εἶπεν ὁ θεός οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ οὐδὲ μὴ ἅψησθε αὐτοῦ ἵνα μὴ ἀποθάνητε. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί οὐ θα- 4
νάτῳ ἀποθανεῖσθε. ᾔδει γὰρ ὁ θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε 5
ἀπ᾽ αὐτοῦ διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ 6
ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστιν τοῦ κατανοῆσαι καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν καὶ ἔδωκεν καὶ τῷ ἀνδρὶ αὐτῆς μετ᾽ αὐτῆς καὶ ἔφαγον. καὶ διηνοί- 7
χθησαν οἱ ὀφθαλμοὶ τῶν δύο καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. Καὶ 8
ἤκουσαν τὴν φωνὴν κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν καὶ ἐκρύβησαν ὅ τε Αδαμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. καὶ ἐκάλεσεν κύριος ὁ θεὸς τὸν Αδαμ καὶ εἶπεν αὐτῷ Αδαμ ποῦ 9
εἶ. καὶ εἶπεν αὐτῷ τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν 10

---

3. v.1 ὁ^{dnms} δέ^{cc} ὄφις^{nnmsc} εἰμί^{viia3s} φρόνιμος^{annmss} πᾶς^{aignpn} ὁ^{dgnp} θηρίον^{ngnpc} ὁ^{dgnp} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ὅς^{rrgnp} ποιέω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} ὄφις^{nnmsc} ὁ^{ddfs} γυνή^{ndfsc} τίς^{rqnns} ὅτι^{cs} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} οὐ^{b} μή^{x} ἐσθίω^{vsaa2p} ἀπό^{pg} πᾶς^{aignsn} ξύλον^{ngnsc} ὁ^{dgns} ἐν^{pd} ὁ^{ddms} παράδεισος^{ndmsc}. **v.2** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnfs} γυνή^{nnfsc} ὁ^{ddms} ὄφις^{ndmsc} ἀπό^{pg} καρπός^{ngmsc} ξύλον^{ngnsc} ὁ^{dgms} παράδεισος^{ngmsc} ἐσθίω^{vifm1p}. **v.3** ἀπό^{pg} δέ^{cc} καρπός^{ngmsc} ὁ^{dgns} ξύλον^{ngnsc} ὅς^{rrnns} εἰμί^{vipa3s} ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgms} παράδεισος^{ngmsc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} οὐ^{b} ἐσθίω^{vifm2p} ἀπό^{pg} αὐτός^{rpgms} οὐδέ^{cc} μή^{x} ἅπτω^{vsam2p} αὐτός^{rpgms} ἵνα^{cs} μή^{x} ἀποθνήσκω^{vsaa2p}. **v.4** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} ὄφις^{nnmsc} ὁ^{ddfs} γυνή^{ndfsc} οὐ^{b} θάνατος^{ndmsc} ἀποθνήσκω^{vifm2p}. **v.5** οἶδα^{viya3s} γάρ^{cc} ὁ^{dnms} θεός^{nnmsc} ὅτι^{cs} ἐν^{pd} ὅς^{rrdfs} ἄν^{x} ἡμέρα^{ndfsc} ἐσθίω^{vsaa2p} ἀπό^{pg} αὐτός^{rpgms} διανοίγω^{vifp3p} σύ$^{rpg-p}$ ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} καί^{cc} εἰμί^{vifm2p} ὡς^{cs} θεός^{nnmpc} γινώσκω^{vppanmp} καλός^{anansn} καί^{cc} πονηρός^{anansn}. **v.6** καί^{cc} ὁράω^{viaa3s} ὁ^{dnfs} γυνή^{nnfsc} ὅτι^{cs} καλός^{annnsn} ὁ^{dnns} ξύλον^{nnnsc} εἰς^{pa} βρῶσις^{nafsc} καί^{cc} ὅτι^{cs} ἀρεστός^{annnsn} ὁ^{ddmp} ὀφθαλμός^{ndmpc} ὁράω^{vnaa} καί^{cc} ὡραῖος^{annnsn} εἰμί^{vipa3s} ὁ^{dgns} κατανοέω^{vnaa} καί^{cc} λαμβάνω^{vpaanfs} ὁ^{dgms} καρπός^{ngmsc} αὐτός^{rpgns} ἐσθίω^{viaa3s} καί^{cc} δίδωμι^{viaa3s} καί^{cc} ὁ^{ddms} ἀνήρ^{ndmsc} αὐτός^{rpgfs} μετά^{pg} αὐτός^{rpgfs} καί^{cc} ἐσθίω^{viaa3p}. **v.7** καί^{cc} διανοίγω^{viap3p} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} ὁ^{dgmp} δύο^{ac-n} καί^{cc} γινώσκω^{viaa3p} ὅτι^{cs} γυμνός^{annmpn} εἰμί^{viia3p} καί^{cc} ῥάπτω^{viaa3p} φύλλον^{nanpc} συκῆ^{ngfsc} καί^{cc} ποιέω^{viaa3p} ἑαυτοῦ^{rxdmp} περίζωμα^{nanpc}. **v.8** καί^{cc} ἀκούω^{viaa3p} ὁ^{dafs} φωνή^{nafsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} περιπατέω^{vppagms} ἐν^{pd} ὁ^{ddms} παράδεισος^{ndmsc} ὁ^{dans} δειλινός^{anansn} καί^{cc} κρύπτω^{viap3p} ὁ^{dnms} τέ^{cc} Ἀδάμ^{nnmsp} καί^{cc} ὁ^{dnfs} γυνή^{nnfsc} αὐτός^{rpgms} ἀπό^{pg} πρόσωπον^{ngnsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgns} ξύλον^{ngnsc} ὁ^{dgms} παράδεισος^{ngmsc}. **v.9** καί^{cc} καλέω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dams} Ἀδάμ^{namsp} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} Ἀδάμ^{nvmsp} ποῦ^{b} εἰμί^{vipa2s}.

11 τῷ παραδείσῳ καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι καὶ ἐκρύβην. καὶ
εἶπεν αὐτῷ τίς ἀνήγγειλέν σοι ὅτι γυμνὸς εἶ μὴ ἀπὸ τοῦ ξύλου
οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ᾽ αὐτοῦ ἔφαγες.
12 καὶ εἶπεν ὁ Αδαμ ἡ γυνή ἣν ἔδωκας μετ᾽ ἐμοῦ αὕτη μοι ἔδωκεν
13 ἀπὸ τοῦ ξύλου καὶ ἔφαγον. καὶ εἶπεν κύριος ὁ θεὸς τῇ γυναικί τί
τοῦτο ἐποίησας καὶ εἶπεν ἡ γυνή ὁ ὄφις ἠπάτησέν με καὶ ἔφαγον.
14 καὶ εἶπεν κύριος ὁ θεὸς τῷ ὄφει ὅτι ἐποίησας τοῦτο ἐπικατάρατος
σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς
ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φάγῃ πάσας τὰς
15 ἡμέρας τῆς ζωῆς σου. καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ
μέσον τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ
μέσον τοῦ σπέρματος αὐτῆς αὐτός σου τηρήσει κεφαλήν καὶ σὺ
16 τηρήσεις αὐτοῦ πτέρναν. καὶ τῇ γυναικὶ εἶπεν πληθύνων πλη-
θυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου ἐν λύπαις τέξῃ τέκνα
καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου καὶ αὐτός σου κυριεύ-
17 σει. τῷ δὲ Αδαμ εἶπεν ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου
καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ
φαγεῖν ἀπ᾽ αὐτοῦ ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου ἐν λύπαις
18 φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἀκάνθας καὶ τρι-
19 βόλους ἀνατελεῖ σοι καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. ἐν ἱδρῶτι

---

v.10 καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dafs} φωνή^{nafsc} σύ^{rpgms} ἀκούω^{viaa1s} περιπατέω^{vppagms} ἐν^{pd} ὁ^{ddms} παράδεισος^{ndmsc} καί^{cc} φοβέω^{viap1s} ὅτι^{cs} γυμνός^{annmsn} εἰμί^{vipa1s} καί^{cc} κρύπτω^{viap1s}. **v.11** καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} τίς^{rqnms} ἀναγγέλλω^{viaa3s} σύ^{rpdms} ὅτι^{cs} γυμνός^{annmsn} εἰμί^{vipa2s} μή^{x} ἀπό^{pg} ὁ^{dgns} ξύλον^{ngnsc} ὅς^{rrgns} ἐντέλλομαι^{viam1s} σύ^{rpdms} οὗτος^{rdgns} μόνος^{angnsn} μή^{x} ἐσθίω^{vnaa} ἀπό^{pg} αὐτός^{rpgns} ἐσθίω^{viaa2s}. **v.12** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} Ἀδάμ^{nnmsp} ὁ^{dnfs} γυνή^{nnfsc} ὅς^{rrafs} δίδωμι^{viaa2s} μετά^{pg} ἐγώ^{rpgms} οὗτος^{rdnfs} ἐγώ^{rpdms} δίδωμι^{viaa3s} ἀπό^{pg} ὁ^{dgns} ξύλον^{ngnsc} καί^{cc} ἐσθίω^{viaa1s}. **v.13** καί^{cc} λέγω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{ddfs} γυνή^{ndfsc} τίς^{rqans} οὗτος^{rdans} ποιέω^{viaa2s} καί^{cc} λέγω^{viaa3s} ὁ^{dnfs} γυνή^{nnfsc} ὁ^{dnms} ὄφις^{nnmsc} ἀπατάω^{viaa3s} ἐγώ^{rpafs} καί^{cc} ἐσθίω^{viaa1s}. **v.14** καί^{cc} λέγω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{ddms} ὄφις^{ndmsc} ὅτι^{cs} ποιέω^{viaa2s} οὗτος^{rdans} ἐπικατάρατος^{annmsn} σύ^{rpnms} ἀπό^{pg} πᾶς^{aignpn} ὁ^{dgnp} κτῆνος^{ngnpc} καί^{cc} ἀπό^{pg} πᾶς^{aignpn} ὁ^{dgnp} θηρίον^{ngnpc} ὁ^{dgfs} γῆ^{ngfsc} ἐπί^{pd} ὁ^{ddns} στῆθος^{ndnsc} σύ^{rpgms} καί^{cc} ὁ^{ddfs} κοιλία^{ndfsc} πορεύομαι^{vifm2s} καί^{cc} γῆ^{nafsc} ἐσθίω^{vifm2s} πᾶς^{aiafpn} ὁ^{dafp} ἡμέρα^{nafpc} ὁ^{dgfs} ζωή^{ngfsc} σύ^{rpgms}. **v.15** καί^{cc} ἔχθρα^{nafsc} τίθημι^{vifa1s} ἀνά^{pa} μέσος^{anansn} σύ^{rpgms} καί^{cc} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgfs} γυνή^{ngfsc} καί^{cc} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgns} σπέρμα^{ngnsc} σύ^{rpgms} καί^{cc} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgns} σπέρμα^{ngnsc} αὐτός^{rpgfs} αὐτός^{rpnms} σύ^{rpgms} τηρέω^{vifa3s} κεφαλή^{nafsc} καί^{cc} σύ^{rpnms} τηρέω^{vifa2s} αὐτός^{rpgms} πτέρνα^{nafsc}. **v.16** καί^{cc} ὁ^{ddfs} γυνή^{ndfsc} λέγω^{viaa3s} πληθύνω^{vppanms} πληθύνω^{vifa1s} ὁ^{dafp} λύπη^{nafpc} σύ^{rpgfs} καί^{cc} ὁ^{dams} στεναγμός^{namsc} σύ^{rpgfs} ἐν^{pd} λύπη^{ndfpc} τίκτω^{vifm2s} τέκνον^{nanpc} καί^{cc} πρός^{pa} ὁ^{dams} ἀνήρ^{namsc} σύ^{rpgfs} ὁ^{dnfs} ἀποστροφή^{nnfsc} σύ^{rpgfs} καί^{cc} αὐτός^{rpnms} σύ^{rpgfs} κυριεύω^{vifa3s}. **v.17** ὁ^{ddms} δέ^{cc} Ἀδάμ^{ndmsp} λέγω^{viaa3s} ὅτι^{cs} ἀκούω^{viaa2s} ὁ^{dgfs} φωνή^{ngfsc} ὁ^{dgfs} γυνή^{ngfsc} σύ^{rpgms} καί^{cc} ἐσθίω^{viaa2s} ἀπό^{pg} ὁ^{dgns} ξύλον^{ngnsc} ὅς^{rrgns} ἐντέλλομαι^{viam1s} σύ^{rpdms} οὗτος^{rdgns} μόνος^{angnsn} μή^{x} ἐσθίω^{vnaa} ἀπό^{pg} αὐτός^{rpgns} ἐπικατάρατος^{annfsn} ὁ^{dnfs} γῆ^{nnfsc} ἐν^{pd} ὁ^{ddnp} ἔργον^{ndnpc} σύ^{rpgms} ἐν^{pd} λύπη^{ndfpc} ἐσθίω^{vifm2s} αὐτός^{rpafs} πᾶς^{aiafpn} ὁ^{dafp} ἡμέρα^{nafpc} ὁ^{dgfs} ζωή^{ngfsc} σύ^{rpgms}. **v.18** ἄκανθα^{nafpc} καί^{cc} τρίβολος^{nampc} ἀνατέλλω^{vifa3s} σύ^{rpdms} καί^{cc} ἐσθίω^{vifm2s} ὁ^{dams} χόρτος^{namsc} ὁ^{dgms} ἀγρός^{ngmsc}.

τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου ἕως τοῦ ἀποστρέψαι σε
εἰς τὴν γῆν ἐξ ἧς ἐλήμφθης ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ 20
ἐκάλεσεν Αδαμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή ὅτι αὕτη μήτηρ
πάντων τῶν ζώντων. Καὶ ἐποίησεν κύριος ὁ θεὸς τῷ Αδαμ καὶ τῇ 21
γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς. καὶ 22
εἶπεν ὁ θεός Ἰδοὺ Αδαμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν
καλὸν καὶ πονηρόν, καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ
τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. καὶ 23
ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυ-
φῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήμφθη. καὶ ἐξέβαλεν τὸν Αδαμ 24
καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ
ἔταξεν τὰ χερουβιμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην
φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

Αδαμ δὲ ἔγνω Ευαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτε- **4**
κεν τὸν Καιν καὶ εἶπεν Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. καὶ 2
προσέθηκεν τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Αβελ καὶ ἐγένετο Αβελ
ποιμὴν προβάτων Καιν δὲ ἦν ἐργαζόμενος τὴν γῆν. καὶ ἐγένετο 3
μεθ' ἡμέρας ἤνεγκεν Καιν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ
κυρίῳ. καὶ Αβελ ἤνεγκεν καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν 4
προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν καὶ ἐπεῖδεν ὁ θεὸς
ἐπὶ Αβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. ἐπὶ δὲ Καιν καὶ ἐπὶ ταῖς 5

---

v.19 ἐν^{pd} ἱδρώς^{ndmsc} ὁ^{dgns} πρόσωπον^{ngnsc} σύ^{rpgms} ἐσθίω^{vifm2s} ὁ^{dams} ἄρτος^{namsc} σύ^{rpgms} ἕως^{cs} ὁ^{dgns} ἀποστρέφω^{vnaa} σύ^{rpams} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} ἐκ^{pg} ὅς^{rrgfs} λαμβάνω^{viap2s} ὅτι^{cs} γῆ^{nnfsc} εἰμί^{vipa2s} καί^{cc} εἰς^{pa} γῆ^{nafsc} ἀπέρχομαι^{vifm2s}. **v.20** καί^{cc} καλέω^{viaa3s} Ἀδάμ^{nnmsp} ὁ^{dans} ὄνομα^{nansc} ὁ^{dgfs} γυνή^{ngfsc} αὐτός^{rpgms} ζωή^{nnfsp} ὅτι^{cs} οὗτος^{rdnfs} μήτηρ^{nnfsc} πᾶς^{aigmpn} ὁ^{dgmp} ζάω^{vppagmp}. **v.21** καί^{cc} ποιέω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{ddms} Ἀδάμ^{ndmsp} καί^{cc} ὁ^{ddfs} γυνή^{ndfsc} αὐτός^{rpgms} χιτών^{nampc} δερμάτινος^{anampn} καί^{cc} ἐνδύω^{viaa3s} αὐτός^{rpamp}. **v.22** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἰδού^{i} Ἀδάμ^{nnmsp} γίνομαι^{vixa3s} ὡς^{cs} εἷς^{acnmsn} ἐκ^{pg} ἐγώ$^{rpg-p}$ ὁ^{dgns} γινώσκω^{vnpa} καλός^{anansn} καί^{cc} πονηρός^{anansn} καί^{cc} νῦν^{b} μήποτε^{cs} ἐκτείνω^{vsaa3s} ὁ^{dafs} χείρ^{nafsc} καί^{cc} λαμβάνω^{vsaa3s} ὁ^{dgns} ξύλον^{ngnsc} ὁ^{dgfs} ζωή^{ngfsc} καί^{cc} ἐσθίω^{vsaa3s} καί^{cc} ζάω^{vifm3s} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.23** καί^{cc} ἐξαποστέλλω^{viaa3s} αὐτός^{rpams} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐκ^{pg} ὁ^{dgms} παράδεισος^{ngmsc} ὁ^{dgfs} τρυφή^{ngfsc} ἐργάζομαι^{vnpm} ὁ^{dafs} γῆ^{nafsc} ἐκ^{pg} ὅς^{rrgfs} λαμβάνω^{viap3s}. **v.24** καί^{cc} ἐκβάλλω^{viaa3s} ὁ^{dams} Ἀδάμ^{namsp} καί^{cc} κατοικίζω^{viaa3s} αὐτός^{rpams} ἀπέναντι^{pg} ὁ^{dgms} παράδεισος^{ngmsc} ὁ^{dgfs} τρυφή^{ngfsc} καί^{cc} τάσσω^{viaa3s} ὁ^{danp} χερούβ^{nanpc} καί^{cc} ὁ^{dafs} φλόγινος^{anafsn} ῥομφαία^{nafsc} ὁ^{dafs} στρέφω^{vppmafs} φυλάσσω^{vnpa} ὁ^{dafs} ὁδός^{nafsc} ὁ^{dgns} ξύλον^{ngnsc} ὁ^{dgfs} ζωή^{ngfsc}.

4. v.1 Ἀδάμ^{nnmsp} δέ^{cc} γινώσκω^{viaa3s} Εὔα^{nafsp} ὁ^{dafs} γυνή^{nafsc} αὐτός^{rpgms} καί^{cc} συλλαμβάνω^{vpaanfs} τίκτω^{viaa3s} ὁ^{dams} Κάϊν^{namsp} καί^{cc} λέγω^{viaa3s} κτάομαι^{viam1s} ἄνθρωπος^{namsc} διά^{pg} ὁ^{dgms} θεός^{ngmsc}. **v.2** καί^{cc} προστίθημι^{viaa3s} τίκτω^{vnaa} ὁ^{dams} ἀδελφός^{namsc} αὐτός^{rpgms} ὁ^{dams} Ἄβελ^{namsp} καί^{cc} γίνομαι^{viam3s} Ἄβελ^{nnmsp} ποιμήν^{nnmsc} πρόβατον^{ngnpc} Κάϊν^{nnmsp} δέ^{cc} εἰμί^{viia3s} ἐργάζομαι^{vppmnms} ὁ^{dafs} γῆ^{nafsc}. **v.3** καί^{cc} γίνομαι^{viam3s} μετά^{pa} ἡμέρα^{nafpc} φέρω^{viaa3s} Κάϊν^{nnmsp} ἀπό^{pg} ὁ^{dgmp} καρπός^{ngmpc} ὁ^{dgfs} γῆ^{ngfsc} θυσία^{nafsc} ὁ^{ddms} κύριος^{ndmsc}. **v.4** καί^{cc} Ἄβελ^{nnmsp} φέρω^{viaa3s} καί^{b} αὐτός^{rtnms} ἀπό^{pg} ὁ^{dgnp} πρωτότοκος^{angnpn} ὁ^{dgnp} πρόβατον^{ngnpc} αὐτός^{rpgms} καί^{cc} ἀπό^{pg} ὁ^{dgnp} στέαρ^{ngnpc} αὐτός^{rpgmp} καί^{cc} ἐφοράω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἐπί^{pd} Ἄβελ^{ndmsp} καί^{cc} ἐπί^{pd} ὁ^{ddnp} δῶρον^{ndnpc} αὐτός^{rpgms}.

θυσίαις αὐτοῦ οὐ προσέσχεν καὶ ἐλύπησεν τὸν Καιν λίαν καὶ συ-
6 νέπεσεν τῷ προσώπῳ. καὶ εἶπεν κύριος ὁ θεὸς τῷ Καιν ἵνα τί
7 περίλυπος ἐγένου καὶ ἵνα τί συνέπεσεν τὸ πρόσωπόν σου. οὐκ
ἐὰν ὀρθῶς προσενέγκῃς ὀρθῶς δὲ μὴ διέλῃς ἥμαρτες ἡσύχασον
8 πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ. καὶ εἶπεν
Καιν πρὸς Αβελ τὸν ἀδελφὸν αὐτοῦ διέλθωμεν εἰς τὸ πεδίον καὶ
ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ καὶ ἀνέστη Καιν ἐπὶ Αβελ
9 τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν. καὶ εἶπεν ὁ θεὸς πρὸς
Καιν ποῦ ἐστιν Αβελ ὁ ἀδελφός σου ὁ δὲ εἶπεν οὐ γινώσκω μὴ
10 φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ. καὶ εἶπεν ὁ θεός τί ἐποίησας
11 φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. καὶ
νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς ἣ ἔχανεν τὸ στόμα αὐτῆς δέ-
12 ξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου. ὅτι ἐργᾷ
τὴν γῆν καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι στένων καὶ
13 τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. καὶ εἶπεν Καιν πρὸς τὸν κύριον μεί-
14 ζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. εἰ ἐκβάλλεις με σήμερον ἀπὸ
προσώπου τῆς γῆς καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι καὶ
ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς καὶ ἔσται πᾶς ὁ εὑρίσκων
15 με ἀποκτενεῖ με. καὶ εἶπεν αὐτῷ κύριος ὁ θεός οὐχ οὕτως πᾶς ὁ
ἀποκτείνας Καιν ἑπτὰ ἐκδικούμενα παραλύσει καὶ ἔθετο κύριος ὁ
θεὸς σημεῖον τῷ Καιν τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα

---

v.5 ἐπίpd δέcc Κάϊνndmsp καίcc ἐπίpd ὁddfp θυσίαndfpc αὐτόςrpgms οὐb προσέχωviaa3s καίcc λυπέωviaa3s ὁdams Κάϊνnamsp λίανb καίcc συμπίπτωviaa3s ὁddns πρόσωπονndnsc. **v.6** καίcc λέγωviaa3s κύριοςnnmsc ὁdnms θεόςnnmsc ὁddms Κάϊνndmsp ἵναcs τίςrqnns περίλυποςannmsn γίνομαιviam2s καίcc ἵναcs τίςrqnns συμπίπτωviaa3s ὁdnns πρόσωπονnnnsc σύrpgms. **v.7** οὐb ἐάνcs ὀρθῶςb προσφέρωvsaa2s ὀρθῶςb δέcc μήx διαιρέωvsaa2s ἁμαρτάνωviaa2s ἡσυχάζωvdaa2s πρόςpa σύrpams ὁdnfs ἀποστροφήnnfsc αὐτόςrpgms καίcc σύrpnms ἄρχωvifa2s αὐτόςrpgms. **v.8** καίcc λέγωviaa3s Κάϊνnnmsp πρόςpa Ἄβελnamsp ὁdams ἀδελφόςnamsc αὐτόςrpgms διέρχομαιvsaa1p εἰςpa ὁdans πεδίονnansc καίcc γίνομαιviam3s ἐνpd ὁddns εἰμίvnpa αὐτόςrpamp ἐνpd ὁddns πεδίονndnsc καίcc ἀνίστημιviaa3s Κάϊνnnmsp ἐπίpa Ἄβελnamsp ὁdams ἀδελφόςnamsc αὐτόςrpgms καίcc ἀποκτείνωviaa3s αὐτόςrpams. **v.9** καίcc λέγωviaa3s ὁdnms θεόςnnmsc πρόςpa Κάϊνnamsp ποῦb εἰμίvipa3s Ἄβελnnmsp ὁdnms ἀδελφόςnnmsc σύrpgms ὁdnms δέcc λέγωviaa3s οὐb γινώσκωvipa1s μήx φύλαξnnmsc ὁdgms ἀδελφόςngmsc ἐγώrpgms εἰμίvipa1s ἐγώrpnms. **v.10** καίcc λέγωviaa3s ὁdnms θεόςnnmsc τίςrqans ποιέωviaa2s φωνήnnfsc αἷμαngnsc ὁdgms ἀδελφόςngmsc σύrpgms βοάωvipa3s πρόςpa ἐγώrpams ἐκpg ὁdgfs γῆngfsc. **v.11** καίcc νῦνb ἐπικατάρατοςannmsn σύrpnms ἀπόpg ὁdgfs γῆngfsc ὅςrrnfs χαίνωviaa3s ὁdnns στόμαnnnsc αὐτόςrpgfs δέχομαιvnam ὁdans αἷμαnansc ὁdgms ἀδελφόςngmsc σύrpgms ἐκpg ὁdgfs χείρngfsc σύrpgms. **v.12** ὅτιcs ἐργάζομαιvifm2s ὁdafs γῆnafsc καίcc οὐb προστίθημιvifa3s ὁdafs ἰσχύςnafsc αὐτόςrpgfs δίδωμιvnaa σύrpdms στένωvppanms καίcc τρέμωvppanms εἰμίvifm2s ἐπίpg ὁdgfs γῆngfsc. **v.13** καίcc λέγωviaa3s Κάϊνnnmsp πρόςpa ὁdams κύριοςnamsc μέγαςannfsc ὁdnfs αἰτίαnnfsc ἐγώrpgms ὁdgns ἀφίημιvnap ἐγώrpams. **v.14** εἰcs ἐκβάλλωvipa2s ἐγώrpams σήμερονb ἀπόpg πρόσωπονngnsc ὁdgfs γῆngfsc καίcc ἀπόpg ὁdgns πρόσωπονngnsc σύrpgms κρύπτωvifp1s καίcc εἰμίvifm1s στένωvppanms καίcc τρέμωvppanms ἐπίpg ὁdgfs γῆngfsc καίcc εἰμίvifm3s πᾶςainmsn ὁdnms εὑρίσκωvppanms ἐγώrpams ἀποκτείνωvifa3s ἐγώrpams.

αὐτόν. ἐξῆλθεν δὲ Καιν ἀπὸ προσώπου τοῦ θεοῦ καὶ ᾤκησεν ἐν 16
γῇ Ναιδ κατέναντι Εδεμ. Καὶ ἔγνω Καιν τὴν γυναῖκα αὐτοῦ, καὶ 17
συλλαβοῦσα ἔτεκεν τὸν Ενωχ καὶ ἦν οἰκοδομῶν πόλιν καὶ ἐπωνό-
μασεν τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ενωχ. ἐγενήθη 18
δὲ τῷ Ενωχ Γαιδαδ καὶ Γαιδαδ ἐγέννησεν τὸν Μαιηλ καὶ Μαιηλ
ἐγέννησεν τὸν Μαθουσαλα καὶ Μαθουσαλα ἐγέννησεν τὸν Λαμεχ.
καὶ ἔλαβεν ἑαυτῷ Λαμεχ δύο γυναῖκας ὄνομα τῇ μιᾷ Αδα καὶ ὄ- 19
νομα τῇ δευτέρᾳ Σελλα. καὶ ἔτεκεν Αδα τὸν Ιωβελ οὗτος ἦν ὁ 20
πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. καὶ ὄνομα τῷ ἀδελ- 21
φῷ αὐτοῦ Ιουβαλ οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν.
Σελλα δὲ ἔτεκεν καὶ αὐτὴ τὸν Θοβελ καὶ ἦν σφυροκόπος χαλκεὺς 22
χαλκοῦ καὶ σιδήρου ἀδελφὴ δὲ Θοβελ Νοεμα. εἶπεν δὲ Λαμεχ 23
ταῖς ἑαυτοῦ γυναιξίν Αδα καὶ Σελλα ἀκούσατέ μου τῆς φωνῆς γυ-
ναῖκες Λαμεχ ἐνωτίσασθέ μου τοὺς λόγους ὅτι ἄνδρα ἀπέκτεινα
εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. ὅτι ἑπτάκις 24
ἐκδεδίκηται ἐκ Καιν ἐκ δὲ Λαμεχ ἑβδομηκοντάκις ἑπτά. Ἔγνω 25
δὲ Αδαμ Ευαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν
καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σηθ λέγουσα Ἐξανέστησεν γάρ
μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Αβελ, ὃν ἀπέκτειναν Καιν. καὶ 26

---

v.15 καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] οὐ[b] οὕτως[b] πᾶς[ainmsn] ὁ[dnms] ἀποκτείνω[vpaanms] Κάϊν[namsp] ἑπτά[ac—n] ἐκδικέω[vppmanp] παραλύω[vifa3s] καί[cc] τίθημι[viam3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σημεῖον[nansc] ὁ[ddms] Κάϊν[ndmsp] ὁ[dgns] μή[x] ἀναιρέω[vnaa] αὐτός[rpams] πᾶς[aiamsn] ὁ[dams] εὑρίσκω[vppaams] αὐτός[rpams]. **v.16** ἐξέρχομαι[viaa3s] δέ[cc] Κάϊν[nnmsp] ἀπό[pg] πρόσωπον[ngnsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] οἰκέω[viaa3s] ἐν[pd] γῇ[ndfsc] Ναιδ[n-sp] κατέναντι[pg] Εδεμ[ng-sp]. **v.17** καί[cc] γινώσκω[viaa3s] Κάϊν[nnmsp] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] συλλαμβάνω[vpaanfs] τίκτω[viaa3s] ὁ[dams] Ενωχ[namsp] καί[cc] εἰμί[viia3s] οἰκοδομέω[vppanms] πόλις[nafsc] καί[cc] ἐπονομάζω[viaa3s] ὁ[dafs] πόλις[nafsc] ἐπί[pd] ὁ[ddns] ὄνομα[ndnsc] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgms] Ενωχ[ngmsp]. **v.18** γίνομαι[viap3s] δέ[cc] ὁ[ddms] Ενωχ[ndmsp] Γαιδαδ[nnmsp] καί[cc] Γαιδαδ[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Μαιηλ[namsp] καί[cc] Μαιηλ[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Μαθουσαλά[namsp] καί[cc] Μαθουσαλά[nnmsp] γεννάω[viaa3s] ὁ[dams] Λάμεχ[namsp]. **v.19** καί[cc] λαμβάνω[viaa3s] ἑαυτοῦ[rxdms] Λάμεχ[nnmsp] δύο[ac—n] γυνή[nafpc] ὄνομα[nnnsc] ὁ[ddfs] εἷς[acdfsn] Αδα[nnfsp] καί[cc] ὄνομα[nnnsc] ὁ[ddfs] δεύτερος[aodfsn] Σελλα[nnfsp]. **v.20** καί[cc] τίκτω[viaa3s] Αδα[nnfsp] ὁ[dams] Ιωβελ[namsp] οὗτος[rdnms] εἰμί[viia3s] ὁ[dnms] πατήρ[nnmsc] οἰκέω[vppagmp] ἐν[pd] σκηνή[ndfpc] κτηνοτρόφος[angmpn]. **v.21** καί[cc] ὄνομα[nnnsc] ὁ[ddms] ἀδελφός[ndmsc] αὐτός[rpgms] Ιουβαλ[nnmsp] οὗτος[rdnms] εἰμί[viia3s] ὁ[dnms] καταδείκνυμι[vpaanms] ψαλτήριον[nansc] καί[cc] κιθάρα[nafsc]. **v.22** Σελλα[nnfsp] δέ[cc] τίκτω[viaa3s] καί[b] αὐτός[rtnfs] ὁ[dams] Θοβελ[namsp] καί[cc] εἰμί[viia3s] σφυροκόπος[annmsn] χαλκεύς[nnmsc] χαλκός[ngmsc] καί[cc] σίδηρος[ngmsc] ἀδελφή[nnfsc] δέ[cc] Θοβελ[ngmsp] Νοεμα[nnfsp]. **v.23** λέγω[viaa3s] δέ[cc] Λάμεχ[nnmsp] ὁ[ddfp] ἑαυτοῦ[rxgms] γυνή[ndfpc] Αδα[ndfsp] καί[cc] Σελλα[ndfsp] ἀκούω[vdaa2p] ἐγώ[rpgms] ὁ[dgfs] φωνή[ngfsc] γυνή[nvfpc] Λάμεχ[ngmsp] ἐνωτίζομαι[vdam2p] ἐγώ[rpgms] ὁ[damp] λόγος[nampc] ὅτι[cs] ἀνήρ[namsc] ἀποκτείνω[viaa1s] εἰς[pa] τραῦμα[nansc] ἐγώ[rpdms] καί[cc] νεανίσκος[namsc] εἰς[pa] μώλωψ[namsc] ἐγώ[rpdms]. **v.24** ὅτι[cs] ἑπτάκις[b] ἑκδικέω[vixp3s] ἑκ[pg] Κάϊν[ngmsp] ἑκ[pg] δέ[cc] Λάμεχ[ngmsp] ἑβδομηκοντάκις[b] ἑπτά[ac—n]. **v.25** γινώσκω[viaa3s] δέ[cc] Ἀδάμ[nnmsp] Εὔα[nafsp] ὁ[dafs] γυνή[nafsc] αὐτός[rpgms] καί[cc] συλλαμβάνω[vpaanfs] τίκτω[viaa3s] υἱός[namsc] καί[cc] ἐπονομάζω[viaa3s] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgms] Σήθ[namsp] λέγω[vppanfs] ἐξανίστημι[viaa3s] γάρ[cc] ἐγώ[rpdfs] ὁ[dnms] θεός[nnmsc] σπέρμα[nansc] ἕτερος[aiansn] ἀντί[pg] Ἄβελ[ngmsp] ὅς[rrams] ἀποκτείνω[viaa3s] Κάϊν[nnmsp].

τῷ Σηθ ἐγένετο υἱός ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ Ενως οὗτος
ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ.

5 Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς
2 τὸν Αδαμ κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. ἄρσεν καὶ θῆλυ
ἐποίησεν αὐτοὺς καὶ εὐλόγησεν αὐτούς καὶ ἐπωνόμασεν τὸ ὄ-
3 νομα αὐτῶν Αδαμ ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς. ἔζησεν δὲ Αδαμ
διακόσια καὶ τριάκοντα ἔτη καὶ ἐγέννησεν κατὰ τὴν ἰδέαν αὐτοῦ
καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σηθ.
4 ἐγένοντο δὲ αἱ ἡμέραι Αδαμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σηθ ἐ-
5 πτακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ ἐγένοντο
πᾶσαι αἱ ἡμέραι Αδαμ ἃς ἔζησεν ἐννακόσια καὶ τριάκοντα ἔτη καὶ
6 ἀπέθανεν. Ἔζησεν δὲ Σηθ διακόσια καὶ πέντε ἔτη καὶ ἐγέννησεν
7 τὸν Ενως. καὶ ἔζησεν Σηθ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ενως ἐ-
8 πτακόσια καὶ ἑπτὰ ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ
ἐγένοντο πᾶσαι αἱ ἡμέραι Σηθ ἐννακόσια καὶ δώδεκα ἔτη καὶ ἀ-
9 πέθανεν. Καὶ ἔζησεν Ενως ἑκατὸν ἐνενήκοντα ἔτη καὶ ἐγέννησεν
10 τὸν Καιναν. καὶ ἔζησεν Ενως μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καιναν
ἑπτακόσια καὶ δέκα πέντε ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέ-
11 ρας. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ενως ἐννακόσια καὶ πέντε
12 ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Καιναν ἑκατὸν ἑβδομήκοντα ἔτη
13 καὶ ἐγέννησεν τὸν Μαλελεηλ. καὶ ἔζησεν Καιναν μετὰ τὸ γεν-

---

v.26 καί^{cc} ὁ^{ddms} Σήθ^{ndmsp} γίνομαι^{viam3s} υἱός^{nnmsc} ἐπονομάζω^{viaa3s} δέ^{cc} ὁ^{dans} ὄνομα^{nansc} αὐτός^{rpgms} Ενως^{namsp} οὗτος^{rdnms} ἐλπίζω^{viaa3s} ἐπικαλέω^{vnpm} ὁ^{dans} ὄνομα^{nansc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc}. **5. v.1** οὗτος^{rdnfs} ὁ^{dnfs} βίβλος^{nnfsc} γένεσις^{ngfsc} ἄνθρωπος^{ngmpc} ὅς^{rrdfs} ἡμέρα^{ndfsc} ποιέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dams} Ἀδάμ^{namsp} κατά^{pa} εἰκών^{nafsc} θεός^{ngmsc} ποιέω^{viaa3s} αὐτός^{rpams}. **v.2** ἄρσην^{anansn} καί^{cc} θῆλυς^{anansn} ποιέω^{viaa3s} αὐτός^{rpamp} καί^{cc} εὐλογέω^{viaa3s} αὐτός^{rpamp} καί^{cc} ἐπονομάζω^{viaa3s} ὁ^{dans} ὄνομα^{nansc} αὐτός^{rpgmp} Ἀδάμ^{namsp} ὅς^{rrdfs} ἡμέρα^{ndfsc} ποιέω^{viaa3s} αὐτός^{rpamp}. **v.3** ζάω^{viaa3s} δέ^{cc} Ἀδάμ^{nnmsp} διακόσιοι^{acanpn} καί^{cc} τριάκοντα^{ac-n} ἔτος^{nanpc} καί^{cc} γεννάω^{viaa3s} κατά^{pa} ὁ^{dafs} ἰδέα^{nafsc} αὐτός^{rpgms} καί^{cc} κατά^{pa} ὁ^{dafs} εἰκών^{nafsc} αὐτός^{rpgms} καί^{cc} ἐπονομάζω^{viaa3s} ὁ^{dans} ὄνομα^{nansc} αὐτός^{rpgms} Σήθ^{namsp}. **v.4** γίνομαι^{viam3p} δέ^{cc} ὁ^{dnfp} ἡμέρα^{nnfpc} Ἀδάμ^{ngmsp} μετά^{pa} ὁ^{dans} γεννάω^{vnaa} αὐτός^{rpams} ὁ^{dams} Σήθ^{namsp} ἑπτακόσιοι^{acnnpn} ἔτος^{nnnpc} καί^{cc} γεννάω^{viaa3s} υἱός^{nampc} καί^{cc} θυγάτηρ^{nafpc}. **v.5** καί^{cc} γίνομαι^{viam3p} πᾶς^{ainfpn} ὁ^{dnfp} ἡμέρα^{nnfpc} Ἀδάμ^{ngmsp} ὅς^{rrafp} ζάω^{viaa3s} ἐννακόσιοι^{acnnpn} καί^{cc} τριάκοντα^{ac-n} ἔτος^{nnnpc} καί^{cc} ἀποθνῄσκω^{viaa3s}. **v.6** ζάω^{viaa3s} δέ^{cc} Σήθ^{nnmsp} διακόσιοι^{acanpn} καί^{cc} πέντε^{ac-n} ἔτος^{nanpc} καί^{cc} γεννάω^{viaa3s} ὁ^{dams} Ενως^{namsp}. **v.7** καί^{cc} ζάω^{viaa3s} Σήθ^{nnmsp} μετά^{pa} ὁ^{dans} γεννάω^{vnaa} αὐτός^{rpams} ὁ^{dams} Ενως^{namsp} ἑπτακόσιοι^{acanpn} καί^{cc} ἑπτά$^{ac-n}$ ἔτος^{nanpc} καί^{cc} γεννάω^{viaa3s} υἱός^{nampc} καί^{cc} θυγάτηρ^{nafpc}. **v.8** καί^{cc} γίνομαι^{viam3p} πᾶς^{ainfpn} ὁ^{dnfp} ἡμέρα^{nnfpc} Σήθ^{ngmsp} ἐννακόσιοι^{acnnpn} καί^{cc} δώδεκα^{ac-n} ἔτος^{nnnpc} καί^{cc} ἀποθνῄσκω^{viaa3s}. **v.9** καί^{cc} ζάω^{viaa3s} Ενως^{nnmsp} ἑκατόν^{ac-n} ἐνενήκοντα^{ac-n} ἔτος^{nanpc} καί^{cc} γεννάω^{viaa3s} ὁ^{dams} Καιναν^{namsp}. **v.10** καί^{cc} ζάω^{viaa3s} Ενως^{nnmsp} μετά^{pa} ὁ^{dans} γεννάω^{vnaa} αὐτός^{rpams} ὁ^{dams} Καιναν^{namsp} ἑπτακόσιοι^{acanpn} καί^{cc} δέκα^{ac-n} πέντε^{ac-n} ἔτος^{nanpc} καί^{cc} γεννάω^{viaa3s} υἱός^{nampc} καί^{cc} θυγάτηρ^{nafpc}. **v.11** καί^{cc} γίνομαι^{viam3p} πᾶς^{ainfpn} ὁ^{dnfp} ἡμέρα^{nnfpc} Ενως^{ngmsp} ἐννακόσιοι^{acnnpn} καί^{cc} πέντε^{ac-n} ἔτος^{nnnpc} καί^{cc} ἀποθνῄσκω^{viaa3s}. **v.12** καί^{cc} ζάω^{viaa3s} Καιναν^{nnmsp} ἑκατόν^{ac-n} ἑβδομήκοντα^{ac-n} ἔτος^{nanpc} καί^{cc} γεννάω^{viaa3s} ὁ^{dams} Μαλελεήλ^{namsp}.

νῆσαι αὐτὸν τὸν Μαλελεηλ ἑπτακόσια καὶ τεσσαράκοντα ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι 14
Καιναν ἐννακόσια καὶ δέκα ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Μα- 15
λελεηλ ἑκατὸν καὶ ἑξήκοντα πέντε ἔτη καὶ ἐγέννησεν τὸν Ιαρεδ.
καὶ ἔζησεν Μαλελεηλ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ιαρεδ ἑπτακό- 16
σια καὶ τριάκοντα ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ 17
ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαλελεηλ ὀκτακόσια καὶ ἐνενήκοντα
πέντε ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Ιαρεδ ἑκατὸν καὶ ἑξήκοντα 18
δύο ἔτη καὶ ἐγέννησεν τὸν Ενωχ. καὶ ἔζησεν Ιαρεδ μετὰ τὸ γεν- 19
νῆσαι αὐτὸν τὸν Ενωχ ὀκτακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ
θυγατέρας. καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ιαρεδ ἐννακόσια καὶ 20
ἑξήκοντα δύο ἔτη καὶ ἀπέθανεν. Καὶ ἔζησεν Ενωχ ἑκατὸν καὶ ἑ- 21
ξήκοντα πέντε ἔτη καὶ ἐγέννησεν τὸν Μαθουσαλα. εὐηρέστησεν 22
δὲ Ενωχ τῷ Θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσαλα διακό-
σια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. καὶ ἐγένοντο πᾶσαι 23
αἱ ἡμέραι Ενωχ τριακόσια ἑξήκοντα πέντε ἔτη. καὶ εὐηρέστησεν 24
Ενωχ τῷ Θεῷ καὶ οὐχ ηὑρίσκετο ὅτι μετέθηκεν αὐτὸν ὁ Θεός. Καὶ 25
ἔζησεν Μαθουσαλα ἑκατὸν καὶ ἑξήκοντα ἑπτὰ ἔτη καὶ ἐγέννησεν
37 λατρεύσεις ἐκεῖ θεοῖς ἑτέροις ξύλοις καὶ λίθοις. καὶ ἔσῃ ἐκεῖ ἐν
αἰνίγματι καὶ παραβολῇ καὶ διηγήματι ἐν πᾶσιν τοῖς ἔθνεσιν εἰς
38 οὓς ἂν ἀπαγάγῃ σε κύριος ἐκεῖ. σπέρμα πολὺ ἐξοίσεις εἰς τὸ
39 πεδίον καὶ ὀλίγα εἰσοίσεις ὅτι κατέδεται αὐτὰ ἡ ἀκρίς. ἀμπε-

---

v.29 καί^{cc} εἰμί^{vifm2s} ψηλαφάω^{vppanms} μεσημβρία^{ngfsc} ὡσεί^{x} ψηλαφάω^{voaa3s} ὁ^{dnms} τυφλός^{annmsn} ἐν^{pd} ὁ^{ddns} σκότος^{ndnsc} καί^{cc} οὐ^{b} εὐοδόω^{vifa3s} ὁ^{dafp} ὁδός^{nafpc} σύ$^{rpg-s}$ καί^{cc} εἰμί^{vifm2s} τότε^{b} ἀδικέω^{vpppnms} καί^{cc} διαρπάζω^{vpppnms} πᾶς^{aiafpn} ὁ^{dafp} ἡμέρα^{nafpc} καί^{cc} οὐ^{b} εἰμί^{vifm3s} σύ$^{rpd-s}$ ὁ^{dnms} βοηθέω^{vppanms}. **v.30** γυνή^{nafsc} λαμβάνω^{vifm2s} καί^{cc} ἀνήρ^{nnmsc} ἕτερος^{ainmsn} ἔχω^{vifa3s} αὐτός^{rpafs} οἰκία^{nafsc} οἰκοδομέω^{vifa2s} καί^{cc} οὐ^{b} οἰκέω^{vifa2s} ἐν^{pd} αὐτός^{rpdfs} ἀμπελών^{namsc} φυτεύω^{vifa2s} καί^{cc} οὐ^{b} τρυγάω^{vifa2s} αὐτός^{rpams}. **v.31** ὁ^{dnms} μόσχος^{nnmsc} σύ$^{rpg-s}$ σφάζω^{vpxpnms} ἐναντίον^{pg} σύ$^{rpg-s}$ καί^{cc} οὐ^{b} ἐσθίω^{vifm2s} ἐκ^{pg} αὐτός^{rpgms} ὁ^{dnms} ὄνος^{nnmsc} σύ$^{rpg-s}$ ἁρπάζω^{vpxpnms} ἀπό^{pg} σύ$^{rpg-s}$ καί^{cc} οὐ^{b} ἀποδίδωμι^{vifp3s} σύ$^{rpd-s}$ ὁ^{dnnp} πρόβατον^{nnnpc} σύ$^{rpg-s}$ δίδωμι^{vpxpnnp} ὁ^{ddmp} ἐχθρός^{andmpn} σύ$^{rpg-s}$ καί^{cc} οὐ^{b} εἰμί^{vifm3s} σύ$^{rpd-s}$ ὁ^{dnms} βοηθέω^{vppanms}. **v.32** ὁ^{dnmp} υἱός^{nnmpc} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{dnfp} θυγάτηρ^{nnfpc} σύ$^{rpg-s}$ δίδωμι^{vpxpnfp} ἔθνος^{ndnsc} ἕτερος^{aidnsn} καί^{cc} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} σύ$^{rpg-s}$ βλέπω^{vifm3p} σφακελίζω^{vppanmp} εἰς^{pa} αὐτός^{rpanp} καί^{cc} οὐ^{b} ἰσχύω^{vifa3s} ὁ^{dnfs} χείρ^{nnfsc} σύ$^{rpg-s}$. **v.33** ὁ^{danp} ἐκφόριον^{nanpc} ὁ^{dgfs} γῆ^{ngfsc} σύ$^{rpg-s}$ καί^{cc} πᾶς^{aiampn} ὁ^{damp} πόνος^{nampc} σύ$^{rpg-s}$ ἐσθίω^{vifm3s} ἔθνος^{nnnsc} ὅς^{rrans} οὐ^{b} ἐπίσταμαι^{vipm2s} καί^{cc} εἰμί^{vifm2s} ἀδικέω^{vpppnms} καί^{cc} θραύω^{vpxpnms} πᾶς^{aiafpn} ὁ^{dafp} ἡμέρα^{nafpc}. **v.34** καί^{cc} εἰμί^{vifm2s} παράπληκτος^{annmsn} διά^{pa} ὁ^{danp} ὅραμα^{nanpc} ὁ^{dgmp} ὀφθαλμός^{ngmpc} σύ$^{rpg-s}$ ὅς^{rranp} βλέπω^{vifm2s}. **v.35** πατάσσω^{voaa3s} σύ$^{rpa-s}$ κύριος^{nnmsc} ἐν^{pd} ἕλκος^{ndnsc} πονηρός^{andnsn} ἐπί^{pa} ὁ^{danp} γόνυ^{nanpc} καί^{cc} ἐπί^{pa} ὁ^{dafp} κνήμη^{nafpc} ὥστε^{cs} μή^{x} δύναμαι^{vnpm} σύ$^{rpa-s}$ ἰάομαι^{vnap} ἀπό^{pg} ἴχνος^{ngnsc} ὁ^{dgmp} πούς^{ngmpc} σύ$^{rpg-s}$ ἕως^{pg} ὁ^{dgfs} κορυφή^{ngfsc} σύ$^{rpg-s}$. **v.36** ἀπάγω^{voaa3s} κύριος^{nnmsc} σύ$^{rpa-s}$ καί^{cc} ὁ^{damp} ἄρχων^{nampc} σύ$^{rpg-s}$ ὅς^{rramp} ἐάν^{x} καθίστημι^{vsaa2s} ἐπί^{pa} σεαυτοῦ^{rxams} εἰς^{pa} ἔθνος^{nansc} ὅς^{rrans} οὐ^{b} ἐπίσταμαι^{vipm2s} σύ$^{rpn-s}$ καί^{cc} ὁ^{dnmp} πατήρ^{nnmpc} σύ$^{rpg-s}$ καί^{cc} λατρεύω^{vifa2s} ἐκεῖ^{b} θεός^{ndmpc} ἕτερος^{aidmpn} ξύλον^{ndnpc} καί^{cc} λίθος^{ndmpc}. **v.37** καί^{cc} εἰμί^{vifm2s} ἐκεῖ^{b} ἐν^{pd} αἴνιγμα^{ndnsc} καί^{cc} παραβολή^{ndfsc} καί^{cc} διήγημα^{ndnsc} ἐν^{pd} πᾶς^{aidnpn} ὁ^{ddnp} ἔθνος^{ndnpc} εἰς^{pa} ὅς^{rramp} ἄν^{x} ἀπάγω^{vsaa3s} σύ$^{rpa-s}$ κύριος^{nnmsc} ἐκεῖ^{b}. **v.38** σπέρμα^{nansc} πολύς^{anansn} ἐκφέρω^{vifa2s} εἰς^{pa} ὁ^{dans} πεδίον^{nansc} καί^{cc} ὀλίγος^{ananpn} εἰσφέρω^{vifa2s} ὅτι^{cs} κατεσθίω^{vifm3s} αὐτός^{rpanp} ὁ^{dnfs} ἀκρίς^{nnfsc}.

λῶνα φυτεύσεις καὶ κατεργᾷ καὶ οἶνον οὐ πίεσαι οὐδὲ εὐφραν-
θήσῃ ἐξ αὐτοῦ ὅτι καταφάγεται αὐτὰ ὁ σκώληξ. ἐλαῖαι ἔσονταί 40
σοι ἐν πᾶσι τοῖς ὁρίοις σου καὶ ἔλαιον οὐ χρίσῃ ὅτι ἐκρυήσεται
ἡ ἐλαία σου. υἱοὺς καὶ θυγατέρας γεννήσεις καὶ οὐκ ἔσονταί 41
σοι ἀπελεύσονται γὰρ ἐν αἰχμαλωσίᾳ. πάντα τὰ ξύλινά σου καὶ 42
τὰ γενήματα τῆς γῆς σου ἐξαναλώσει ἡ ἐρυσίβη. ὁ προσήλυ- 43
τος ὅς ἐστιν ἐν σοί ἀναβήσεται ἐπὶ σὲ ἄνω ἄνω σὺ δὲ καταβήσῃ
κάτω κάτω. οὗτος δανιεῖ σοι σὺ δὲ τούτῳ οὐ δανιεῖς οὗτος ἔ- 44
σται κεφαλή σὺ δὲ ἔσῃ οὐρά. καὶ ἐλεύσονται ἐπὶ σὲ πᾶσαι αἱ 45
κατάραι αὗται καὶ καταδιώξονταί σε καὶ καταλήμψονταί σε ἕως
ἂν ἐξολεθρεύσῃ σε καὶ ἕως ἂν ἀπολέσῃ σε ὅτι οὐκ εἰσήκουσας
τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου φυλάξαι τὰς ἐντολὰς αὐτοῦ καὶ
τὰ δικαιώματα αὐτοῦ ὅσα ἐνετείλατό σοι. καὶ ἔσται ἐν σοὶ ση- 46
μεῖα καὶ τέρατα καὶ ἐν τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος. ἀνθ' 47
ὧν οὐκ ἐλάτρευσας κυρίῳ τῷ θεῷ σου ἐν εὐφροσύνῃ καὶ ἀγαθῇ
καρδίᾳ διὰ τὸ πλῆθος πάντων. καὶ λατρεύσεις τοῖς ἐχθροῖς σου 48
οὓς ἐπαποστελεῖ κύριος ἐπὶ σέ ἐν λιμῷ καὶ ἐν δίψει καὶ ἐν γυ-
μνότητι καὶ ἐν ἐκλείψει πάντων καὶ ἐπιθήσει κλοιὸν σιδηροῦν ἐπὶ
τὸν τράχηλόν σου ἕως ἂν ἐξολεθρεύσῃ σε. ἐπάξει κύριος ἐπὶ σὲ 49
ἔθνος μακρόθεν ἀπ' ἐσχάτου τῆς γῆς ὡσεὶ ὅρμημα ἀετοῦ ἔθνος
ὃ οὐκ ἀκούσῃ τῆς φωνῆς αὐτοῦ. ἔθνος ἀναιδὲς προσώπῳ ὅστις 50

---

v.39 ἀμπελών^{namsc} φυτεύω^{vifa2s} καί^{cc} κατεργάζομαι^{vifm2s} καί^{cc} οἶνος^{namsc} οὐ^{b} πίνω^{vifm2s} οὐδέ^{cc} εὐφραίνω^{vifp2s} ἐκ^{pg} αὐτός^{rpgms} ὅτι^{cs} κατεσθίω^{vifm3s} αὐτός^{rpanp} ὁ^{dnms} σκώληξ^{nnmsc}. **v.40** ἐλαία^{nnfpc} εἰμί^{vifm3p} σύ$^{rpd-s}$ ἐν^{pd} πᾶς^{aidnpn} ὁ^{ddnp} ὅριον^{ndnpc} σύ$^{rpg-s}$ καί^{cc} ἔλαιον^{nansc} οὐ^{b} χρίω^{vifm2s} ὅτι^{cs} ἐκρέω^{vifm3s} ὁ^{dnfs} ἐλαία^{nnfsc} σύ$^{rpg-s}$. **v.41** υἱός^{nampc} καί^{cc} θυγάτηρ^{nafpc} γεννάω^{vifa2s} καί^{cc} οὐ^{b} εἰμί^{vifm3p} σύ$^{rpd-s}$ ἀπέρχομαι^{vifm3p} γάρ^{cc} ἐν^{pd} αἰχμαλωσία^{ndfsc}. **v.42** πᾶς^{aiamsn} ὁ^{danp} ξύλινος^{ananpn} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{danp} γένημα^{nanpc} ὁ^{dgfs} γῆ^{ngfsc} σύ$^{rpg-s}$ ἐξαναλίσκω^{vifa3s} ὁ^{dnfs} ἐρυσίβη^{nnfsc}. **v.43** ὁ^{dnms} προσήλυτος^{nnmsc} ὅς^{rrnms} εἰμί^{vipa3s} ἐν^{pd} σύ$^{rpd-s}$ ἀναβαίνω^{vifm3s} ἐπί^{pa} σύ$^{rpa-s}$ ἄνω^{b} ἄνω^{b} σύ$^{rpn-s}$ δέ^{cc} καταβαίνω^{vifm2s} κάτω^{b} κάτω^{b}. **v.44** οὗτος^{rdnms} δανείζω^{vifa3s} σύ$^{rpd-s}$ σύ$^{rpn-s}$ δέ^{cc} οὗτος^{rddms} οὐ^{b} δανείζω^{vifa2s} οὗτος^{rdnms} εἰμί^{vifm3s} κεφαλή^{nnfsc} σύ$^{rpn-s}$ δέ^{cc} εἰμί^{vifm2s} οὐρά^{nnfsc}. **v.45** καί^{cc} ἔρχομαι^{vifm3p} ἐπί^{pa} σύ$^{rpa-s}$ πᾶς^{ainfpn} ὁ^{dnfp} κατάρα^{nnfpc} οὗτος^{rdnfp} καί^{cc} καταδιώκω^{vifm3p} σύ$^{rpa-s}$ καί^{cc} καταλαμβάνω^{vifm3p} σύ$^{rpa-s}$ ἕως^{cs} ἄν^{x} ἐξολεθρεύω^{vsaa3s} σύ$^{rpa-s}$ καί^{cc} ἕως^{cs} ἄν^{x} ἀπόλλυμι^{vsaa3s} σύ$^{rpa-s}$ ὅτι^{cs} οὐ^{b} εἰσακούω^{viaa2s} ὁ^{dgfs} φωνή^{ngfsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg-s}$ φυλάσσω^{vnaa} ὁ^{dafp} ἐντολή^{nafpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} δικαίωμα^{nanpc} αὐτός^{rpgms} ὅσος^{aranpn} ἐντέλλομαι^{viam3s} σύ$^{rpd-s}$. **v.46** καί^{cc} εἰμί^{vifm3s} ἐν^{pd} σύ$^{rpd-s}$ σημεῖον^{nnnpc} καί^{cc} τέρας^{nnnpc} καί^{cc} ἐν^{pd} ὁ^{ddns} σπέρμα^{ndnsc} σύ$^{rpg-s}$ ἕως^{pg} ὁ^{dgms} αἰών^{ngmsc}. **v.47** ἀντί^{pg} ὅς^{rrgnp} οὐ^{b} λατρεύω^{viaa2s} κύριος^{ndmsc} ὁ^{ddms} θεός^{ndmsc} σύ$^{rpg-s}$ ἐν^{pd} εὐφροσύνη^{ndfsc} καί^{cc} ἀγαθός^{andfsn} καρδία^{ndfsc} διά^{pa} ὁ^{dans} πλῆθος^{nansc} πᾶς^{aignpn}. **v.48** καί^{cc} λατρεύω^{vifa2s} ὁ^{ddmp} ἐχθρός^{andmpn} σύ$^{rpg-s}$ ὅς^{rramp} ἐπαποστέλλω^{vifa3s} κύριος^{nnmsc} ἐπί^{pa} σύ$^{rpa-s}$ ἐν^{pd} λιμός^{ndmsc} καί^{cc} ἐν^{pd} δίψος^{ndnsc} καί^{cc} ἐν^{pd} γυμνότης^{ndfsc} καί^{cc} ἐν^{pd} ἔκλειψις^{ndfsc} πᾶς^{aignpn} καί^{cc} ἐπιτίθημι^{vifa3s} κλοιός^{namsc} σιδηροῦς^{anamsn} ἐπί^{pa} ὁ^{dams} τράχηλος^{namsc} σύ$^{rpg-s}$ ἕως^{cs} ἄν^{x} ἐξολεθρεύω^{vsaa3s} σύ$^{rpa-s}$. **v.49** ἐπάγω^{vifa3s} κύριος^{nnmsc} ἐπί^{pa} σύ$^{rpa-s}$ ἔθνος^{nansc} μακρόθεν^{b} ἀπό^{pg} ἔσχατος^{angnsn} ὁ^{dgfs} γῆ^{ngfsc} ὡσεί^{x} ὅρμημα^{nansc} ἀετός^{ngmsc} ἔθνος^{nansc} ὅς^{rrans} οὐ^{b} ἀκούω^{vifm2s} ὁ^{dgfs} φωνή^{ngfsc} αὐτός^{rpgns}.

51 οὐ θαυμάσει πρόσωπον πρεσβύτου καὶ νέον οὐκ ἐλεήσει. καὶ
κατέδεται τὰ ἔκγονα τῶν κτηνῶν σου καὶ τὰ γενήματα τῆς γῆς σου
ὥστε μὴ καταλιπεῖν σοι σῖτον οἶνον ἔλαιον τὰ βουκόλια τῶν βοῶν
52 σου καὶ τὰ ποίμνια τῶν προβάτων σου ἕως ἂν ἀπολέσῃ σε. καὶ
ἐκτρίψῃ σε ἐν πάσαις ταῖς πόλεσίν σου ἕως ἂν καθαιρεθῶσιν τὰ
τείχη σου τὰ ὑψηλὰ καὶ τὰ ὀχυρά ἐφ᾽ οἷς σὺ πέποιθας ἐπ᾽ αὐτοῖς
ἐν πάσῃ τῇ γῇ σου καὶ θλίψει σε ἐν πάσαις ταῖς πόλεσίν σου αἷς
53 ἔδωκέν σοι κύριος ὁ θεός σου. καὶ φάγῃ τὰ ἔκγονα τῆς κοιλίας
σου κρέα υἱῶν σου καὶ θυγατέρων σου ὅσα ἔδωκέν σοι κύριος ὁ
θεός σου ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου ᾗ θλίψει σε ὁ
54 ἐχθρός σου. ὁ ἁπαλὸς ἐν σοὶ καὶ ὁ τρυφερὸς σφόδρα βασκανεῖ
τῷ ὀφθαλμῷ τὸν ἀδελφὸν καὶ τὴν γυναῖκα τὴν ἐν τῷ κόλπῳ αὐ-
55 τοῦ καὶ τὰ καταλελειμμένα τέκνα ἃ ἂν καταλειφθῇ. ὥστε δοῦναι
ἑνὶ αὐτῶν ἀπὸ τῶν σαρκῶν τῶν τέκνων αὐτοῦ ὧν ἂν κατέσθῃ διὰ
τὸ μὴ καταλειφθῆναι αὐτῷ μηθὲν ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ
θλίψει σου ᾗ ἂν θλίψωσίν σε οἱ ἐχθροί σου ἐν πάσαις ταῖς πόλεσίν
56 σου. καὶ ἡ ἁπαλὴ ἐν ὑμῖν καὶ ἡ τρυφερὰ σφόδρα ἧς οὐχὶ πεῖραν
ἔλαβεν ὁ ποὺς αὐτῆς βαίνειν ἐπὶ τῆς γῆς διὰ τὴν τρυφερότητα καὶ
διὰ τὴν ἁπαλότητα βασκανεῖ τῷ ὀφθαλμῷ αὐτῆς τὸν ἄνδρα αὐτῆς
57 τὸν ἐν τῷ κόλπῳ αὐτῆς καὶ τὸν υἱὸν καὶ τὴν θυγατέρα αὐτῆς. καὶ

---

v.50 ἔθνος^{nansc} ἀναιδὴς^{anansn} πρόσωπον^{ndnsc} ὅστις^{rrnms} οὐ^{b} θαυμάζω^{vifa3s} πρόσωπον^{nansc} πρεσβύτης^{ngmsc} καί^{cc} νέος^{anamsn} οὐ^{b} ἐλεέω^{vifa3s}. **v.51** καί^{cc} κατεσθίω^{vifm3s} ὁ^{danp} ἔκγονος^{ananpn} ὁ^{dgnp} κτῆνος^{ngnpc} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{danp} γένημα^{nanpc} ὁ^{dgfs} γῆ^{ngfsc} σύ$^{rpg-s}$ ὥστε^{cs} μή^{x} καταλείπω^{vnaa} σύ$^{rpd-s}$ σῖτος^{namsc} οἶνος^{namsc} ἔλαιον^{nansc} ὁ^{danp} βουκόλιον^{nanpc} ὁ^{dgmp} βοῦς^{ngmpc} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{danp} ποίμνιον^{nanpc} ὁ^{dgnp} πρόβατον^{ngnpc} σύ$^{rpg-s}$ ἕως^{cs} ἄν^{x} ἀπόλλυμι^{vsaa3s} σύ$^{rpa-s}$. **v.52** καί^{cc} ἐκτρίβω^{vsaa3s} σύ$^{rpa-s}$ ἐν^{pd} πᾶς^{aidfpn} ὁ^{ddfp} πόλις^{ndfpc} σύ$^{rpg-s}$ ἕως^{cs} ἄν^{x} καθαιρέω^{vsap3p} ὁ^{dnnp} τεῖχος^{nnnpc} σύ$^{rpg-s}$ ὁ^{dnnp} ὑψηλός^{annnpn} καί^{cc} ὁ^{dnnp} ὀχυρός^{annnpn} ἐπί^{pd} ὅς^{rrdnp} σύ$^{rpn-s}$ πείθω^{vixa2s} ἐπί^{pd} αὐτός^{rpdnp} ἐν^{pd} πᾶς^{aidfsn} ὁ^{ddfs} γῆ^{ndfsc} σύ$^{rpg-s}$ καί^{cc} θλίβω^{vifa3s} σύ$^{rpa-s}$ ἐν^{pd} πᾶς^{aidfpn} ὁ^{ddfp} πόλις^{ndfpc} σύ$^{rpg-s}$ ὅς^{rrdfp} δίδωμι^{viaa3s} σύ$^{rpd-s}$ κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg-s}$. **v.53** καί^{cc} ἐσθίω^{vifm2s} ὁ^{danp} ἔκγονος^{ananpn} ὁ^{dgfs} κοιλία^{ngfsc} σύ$^{rpg-s}$ κρέας^{nanpc} υἱός^{ngmpc} σύ$^{rpg-s}$ καί^{cc} θυγάτηρ^{ngfpc} σύ$^{rpg-s}$ ὅσος^{aranpn} δίδωμι^{viaa3s} σύ$^{rpd-s}$ κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddfs} στενοχωρία^{ndfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfs} θλῖψις^{ndfsc} σύ$^{rpg-s}$ ὅς^{rrdfs} θλίβω^{vifa3s} σύ$^{rpa-s}$ ὁ^{dnms} ἐχθρός^{annmsn} σύ$^{rpg-s}$. **v.54** ὁ^{dnms} ἁπαλός^{annmsn} ἐν^{pd} σύ$^{rpd-s}$ καί^{cc} ὁ^{dnms} τρυφερός^{annmsn} σφόδρα^{b} βασκαίνω^{vifa3s} ὁ^{ddms} ὀφθαλμός^{ndmsc} ὁ^{dams} ἀδελφός^{namsc} καί^{cc} ὁ^{dafs} γυνή^{nafsc} ὁ^{dafs} ἐν^{pd} ὁ^{ddms} κόλπος^{ndmsc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} καταλείπω^{vpxpanp} τέκνον^{nanpc} ὅς^{rrnnp} ἄν^{x} καταλείπω^{vsap3s}. **v.55** ὥστε^{cs} δίδωμι^{vnaa} εἷς^{acdmsn} αὐτός^{rpgmp} ἀπό^{pg} ὁ^{dgfp} σάρξ^{ngfpc} ὁ^{dgnp} τέκνον^{ngnpc} αὐτός^{rpgms} ὅς^{rrgnp} ἄν^{x} κατέσθω^{vspa3s} διά^{pa} ὁ^{dans} μή^{x} καταλείπω^{vnap} αὐτός^{rpdms} μηθείς^{rinns} ἐν^{pd} ὁ^{ddfs} στενοχωρία^{ndfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfs} θλῖψις^{ndfsc} σύ$^{rpg-s}$ ὅς^{rrdfs} ἄν^{x} θλίβω^{vsaa3p} σύ$^{rpa-s}$ ὁ^{dnmp} ἐχθρός^{annmpn} σύ$^{rpg-s}$ ἐν^{pd} πᾶς^{aidfpn} ὁ^{ddfp} πόλις^{ndfpc} σύ$^{rpg-s}$. **v.56** καί^{cc} ὁ^{dnfs} ἁπαλός^{annfsn} ἐν^{pd} σύ$^{rpd-p}$ καί^{cc} ὁ^{dnfs} τρυφερός^{annfsn} σφόδρα^{b} ὅς^{rrgfs} οὐχί^{b} πεῖρα^{nafsc} λαμβάνω^{viaa3s} ὁ^{dnms} πούς^{nnmsc} αὐτός^{rpgfs} βαίνω^{vnpa} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} διά^{pa} ὁ^{dafs} τρυφερότης^{nafsc} καί^{cc} διά^{pa} ὁ^{dafs} ἁπαλότης^{nafsc} βασκαίνω^{vifa3s} ὁ^{ddms} ὀφθαλμός^{ndmsc} αὐτός^{rpgfs} ὁ^{dams} ἀνήρ^{namsc} αὐτός^{rpgfs} ὁ^{dams} ἐν^{pd} ὁ^{ddms} κόλπος^{ndmsc} αὐτός^{rpgfs} καί^{cc} ὁ^{dams} υἱός^{namsc} καί^{cc} ὁ^{dafs} θυγάτηρ^{nafsc} αὐτός^{rpgfs}.

τὸ χόριον αὐτῆς τὸ ἐξελθὸν διὰ τῶν μηρῶν αὐτῆς καὶ τὸ τέκνον
ὃ ἂν τέκῃ καταφάγεται γὰρ αὐτὰ διὰ τὴν ἔνδειαν πάντων κρυφῇ
ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου ᾗ θλίψει σε ὁ ἐχθρός
σου ἐν πάσαις ταῖς πόλεσίν σου. ἐὰν μὴ εἰσακούσητε ποιεῖν 58
πάντα τὰ ῥήματα τοῦ νόμου τούτου τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ
τούτῳ φοβεῖσθαι τὸ ὄνομα τὸ ἔντιμον καὶ τὸ θαυμαστὸν τοῦτο κύ-
ριον τὸν θεόν σου. καὶ παραδοξάσει κύριος τὰς πληγάς σου καὶ 59
τὰς πληγὰς τοῦ σπέρματός σου πληγὰς μεγάλας καὶ θαυμαστάς
καὶ νόσους πονηρὰς καὶ πιστάς. καὶ ἐπιστρέψει ἐπὶ σὲ πᾶσαν 60
τὴν ὀδύνην Αἰγύπτου τὴν πονηράν ἣν διευλαβοῦ ἀπὸ προσώπου
αὐτῶν καὶ κολληθήσονται ἐν σοί. καὶ πᾶσαν μαλακίαν καὶ πᾶ- 61
σαν πληγὴν τὴν μὴ γεγραμμένην ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου
ἐπάξει κύριος ἐπὶ σέ ἕως ἂν ἐξολεθρεύσῃ σε. καὶ καταλειφθήσε- 62
σθε ἐν ἀριθμῷ βραχεῖ ἀνθ' ὧν ὅτι ἦτε ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ
τῷ πλήθει ὅτι οὐκ εἰσηκούσατε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑ-
μῶν. καὶ ἔσται ὃν τρόπον εὐφράνθη κύριος ἐφ' ὑμῖν εὖ ποιῆσαι 63
ὑμᾶς καὶ πληθῦναι ὑμᾶς οὕτως εὐφρανθήσεται κύριος ἐφ' ὑμῖν
ἐξολεθρεῦσαι ὑμᾶς καὶ ἐξαρθήσεσθε ἀπὸ τῆς γῆς εἰς ἣν ὑμεῖς εἰ-
σπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν. καὶ διασπερεῖ σε κύριος 64
ὁ θεός σου εἰς πάντα τὰ ἔθνη ἀπ' ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς
γῆς καὶ δουλεύσεις ἐκεῖ θεοῖς ἑτέροις ξύλοις καὶ λίθοις οὓς οὐκ

---

v.57 καί^{cc} ὁ^{dans} χόριον^{nansc} αὐτός^{rpgfs} ὁ^{dans} ἐξέρχομαι^{vpaaans} διά^{pg} ὁ^{dgmp} μηρός^{ngmpc} αὐτός^{rpgfs} καί^{cc} ὁ^{dans} τέκνον^{nansc} ὅς^{rrans} ἄν^{x} τίκτω^{vsaa3s} κατεσθίω^{vifm3s} γάρ^{cc} αὐτός^{rpanp} διά^{pa} ὁ^{dafs} ἔνδεια^{nafsc} πᾶς^{aignpn} κρυφῇ^{b} ἐν^{pd} ὁ^{ddfs} στενοχωρία^{ndfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfs} θλῖψις^{ndfsc} σύ$^{rpg-s}$ ὅς^{rrdfs} θλίβω^{vifa3s} σύ$^{rpa-s}$ ὁ^{dnms} ἐχθρός^{annmsn} σύ$^{rpg-s}$ ἐν^{pd} πᾶς^{aidfpn} ὁ^{ddfp} πόλις^{ndfpc} σύ$^{rpg-s}$. **v.58** ἐάν^{cs} μή^{x} εἰσακούω^{vsaa2p} ποιέω^{vnpa} πᾶς^{aianpn} ὁ^{danp} ῥῆμα^{nanpc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms} ὁ^{danp} γράφω^{vpxpanp} ἐν^{pd} ὁ^{ddns} βιβλίον^{ndnsc} οὗτος^{rddns} φοβέω^{vnpm} ὁ^{dans} ὄνομα^{nansc} ὁ^{dans} ἔντιμος^{anansn} καί^{cc} ὁ^{dans} θαυμαστός^{anansn} οὗτος^{rdans} κύριος^{namsc} ὁ^{dams} θεός^{namsc} σύ$^{rpg-s}$. **v.59** καί^{cc} παραδοξάζω^{vifa3s} κύριος^{nnmsc} ὁ^{dafp} πληγή^{nafpc} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{dafp} πληγή^{nafpc} ὁ^{dgns} σπέρμα^{ngnsc} σύ$^{rpg-s}$ πληγή^{nafpc} μέγας^{anafpn} καί^{cc} θαυμαστός^{anafpn} καί^{cc} νόσος^{nafpc} πονηρός^{anafpn} καί^{cc} πιστός^{anafpn}. **v.60** καί^{cc} ἐπιστρέφω^{vifa3s} ἐπί^{pa} σύ$^{rpa-s}$ πᾶς^{aiafsn} ὁ^{dafs} ὀδύνη^{nafsc} Αἴγυπτος^{ngfsp} ὁ^{dafs} πονηρός^{anafsn} ὅς^{rrafs} διευλαβέομαι^{viim2s} ἀπό^{pg} πρόσωπον^{ngnsc} αὐτός^{rpgmp} καί^{cc} κολλάω^{vifp3p} ἐν^{pd} σύ$^{rpd-s}$. **v.61** καί^{cc} πᾶς^{aiafsn} μαλακία^{nafsc} καί^{cc} πᾶς^{aiafsn} πληγή^{nafsc} ὁ^{dafs} μή^{x} γράφω^{vpxpafs} ἐν^{pd} ὁ^{ddns} βιβλίον^{ndnsc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms} ἐπάγω^{vifa3s} κύριος^{nnmsc} ἐπί^{pa} σύ$^{rpa-s}$ ἕως^{cs} ἄν^{x} ἐξολεθρεύω^{vsaa3s} σύ$^{rpa-s}$. **v.62** καί^{cc} καταλείπω^{vifp2p} ἐν^{pd} ἀριθμός^{ndmsc} βραχύς^{andmsn} ἀντί^{pg} ὅς^{rrgnp} ὅτι^{cs} εἰμί^{viia2p} ὡσεί^{x} ὁ^{dnnp} ἄστρον^{nnnpc} ὁ^{dgms} οὐρανός^{ngmsc} ὁ^{ddns} πλῆθος^{ndnsc} ὅτι^{cs} οὐ^{b} εἰσακούω^{viaa2p} ὁ^{dgfs} φωνή^{ngfsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg-p}$. **v.63** καί^{cc} εἰμί^{vifm3s} ὅς^{rrams} τρόπος^{namsc} εὐφραίνω^{viap3s} κύριος^{nnmsc} ἐπί^{pd} σύ$^{rpd-p}$ εὖ^{b} ποιέω^{vnaa} σύ$^{rpa-p}$ καί^{cc} πληθύνω^{vnaa} σύ$^{rpa-p}$ οὕτως^{b} εὐφραίνω^{vifp3s} κύριος^{nnmsc} ἐπί^{pd} σύ$^{rpd-p}$ ἐξολεθρεύω^{vnaa} σύ$^{rpa-p}$ καί^{cc} ἐξαίρω^{vifp2p} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} εἰς^{pa} ὅς^{rrafs} σύ$^{rpn-p}$ εἰσπορεύομαι^{vipm2p} ἐκεῖ^{b} κληρονομέω^{vnaa} αὐτός^{rpafs}.

65 ἠπίστω σὺ καὶ οἱ πατέρες σου. ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν ἐκείνοις
οὐκ ἀναπαύσει σε οὐδ᾽ οὐ μὴ γένηται στάσις τῷ ἴχνει τοῦ ποδός
σου καὶ δώσει σοι κύριος ἐκεῖ καρδίαν ἀθυμοῦσαν καὶ ἐκλεί-
66 ποντας ὀφθαλμοὺς καὶ τηκομένην ψυχήν. καὶ ἔσται ἡ ζωή σου
κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου καὶ φοβηθήσῃ ἡμέρας
67 καὶ νυκτὸς καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου. τὸ πρωὶ ἐρεῖς πῶς ἂν
γένοιτο ἑσπέρα καὶ τὸ ἑσπέρας ἐρεῖς πῶς ἂν γένοιτο πρωί ἀπὸ τοῦ
φόβου τῆς καρδίας σου ἃ φοβηθήσῃ καὶ ἀπὸ τῶν ὁραμάτων τῶν
68 ὀφθαλμῶν σου ὧν ὄψῃ. καὶ ἀποστρέψει σε κύριος εἰς Αἴγυπτον
ἐν πλοίοις καὶ ἐν τῇ ὁδῷ ᾗ εἶπα οὐ προσθήσεσθε ἔτι ἰδεῖν αὐτήν
καὶ πραθήσεσθε ἐκεῖ τοῖς ἐχθροῖς ὑμῶν εἰς παῖδας καὶ παιδίσκας
69 καὶ οὐκ ἔσται ὁ κτώμενος. οὗτοι οἱ λόγοι τῆς διαθήκης οὓς ἐνε-
τείλατο κύριος Μωυσῇ στῆσαι τοῖς υἱοῖς Ισραηλ ἐν γῇ Μωαβ πλὴν
τῆς διαθήκης ἧς διέθετο αὐτοῖς ἐν Χωρηβ.

29 καὶ ἐκάλεσεν Μωυσῆς πάντας τοὺς υἱοὺς Ισραηλ καὶ εἶπεν
πρὸς αὐτούς ὑμεῖς ἑωράκατε πάντα ὅσα ἐποίησεν κύριος ἐν γῇ
Αἰγύπτῳ ἐνώπιον ὑμῶν Φαραω καὶ τοῖς θεράπουσιν αὐτοῦ καὶ
2 πάσῃ τῇ γῇ αὐτοῦ. τοὺς πειρασμοὺς τοὺς μεγάλους οὓς ἑω-
ράκασιν οἱ ὀφθαλμοί σου τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα
3 ἐκεῖνα. καὶ οὐκ ἔδωκεν κύριος ὁ θεὸς ὑμῖν καρδίαν εἰδέναι καὶ

---

v.64 καί^{cc} διασπείρω^{vifa3s} σύ$^{rpa\text{-}s}$ κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg\text{-}s}$ εἰς^{pa} πᾶς^{aianpn} ὁ^{danp} ἔθνος^{nanpc} ἀπό^{pg} ἄκρος^{angnsn} ὁ^{dgfs} γῆ^{ngfsc} ἕως^{pg} ἄκρος^{angnsn} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} δουλεύω^{vifa2s} ἐκεῖ^{b} θεός^{ndmpc} ἕτερος^{aidmpn} ξύλον^{ndnpc} καί^{cc} λίθος^{ndmpc} ὅς^{rramp} οὐ^{b} ἐπίσταμαι^{viim2s} σύ$^{rpn\text{-}s}$ καί^{cc} ὁ^{dnmp} πατήρ^{nnmpc} σύ$^{rpg\text{-}s}$. **v.65** ἀλλά^{cc} καί^{b} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc} ἐκεῖνος^{rddnp} οὐ^{b} ἀναπαύω^{vifa3s} σύ$^{rpa\text{-}s}$ οὐδέ^{cc} οὐ^{b} μή^{x} γίνομαι^{vsam3s} στάσις^{nnfsc} ὁ^{ddns} ἴχνος^{ndnsc} ὁ^{dgms} πούς^{ngmsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} δίδωμι^{vifa3s} σύ$^{rpd\text{-}s}$ κύριος^{nnmsc} ἐκεῖ^{b} καρδία^{nafsc} ἀθυμέω^{vppaafs} καί^{cc} ἐκλείπω^{vppaamp} ὀφθαλμός^{nampc} καί^{cc} τήκω^{vpppafs} ψυχή^{nafsc}. **v.66** καί^{cc} εἰμί^{vifm3s} ὁ^{dnfs} ζωή^{nnfsc} σύ$^{rpg\text{-}s}$ κρεμάννυμι^{vpppnfs} ἀπέναντι^{pg} ὁ^{dgmp} ὀφθαλμός^{ngmpc} σύ$^{rpg\text{-}s}$ καί^{cc} φοβέω^{vifp2s} ἡμέρα^{ngfsc} καί^{cc} νύξ^{ngfsc} καί^{cc} οὐ^{b} πιστεύω^{vifa2s} ὁ^{ddfs} ζωή^{ndfsc} σύ$^{rpg\text{-}s}$. **v.67** ὁ^{dans} πρωΐ^{b} λέγω^{vifa2s} πῶς^{b} ἄν^{x} γίνομαι^{voam3s} ἑσπέρα^{nnfsc} καί^{cc} ὁ^{dans} ἑσπέρα^{ngfsc} λέγω^{vifa2s} πῶς^{b} ἄν^{x} γίνομαι^{voam3s} πρωΐ^{b} ἀπό^{pg} ὁ^{dgms} φόβος^{ngmsc} ὁ^{dgfs} καρδία^{ngfsc} σύ$^{rpg\text{-}s}$ ὅς^{rranp} φοβέω^{vifp2s} καί^{cc} ἀπό^{pg} ὁ^{dgnp} ὅραμα^{ngnpc} ὁ^{dgmp} ὀφθαλμός^{ngmpc} σύ$^{rpg\text{-}s}$ ὅς^{rrgnp} ὁράω^{vifm2s}. **v.68** καί^{cc} ἀποστρέφω^{vifa3s} σύ$^{rpa\text{-}s}$ κύριος^{nnmsc} εἰς^{pa} Αἴγυπτος^{nafsp} ἐν^{pd} πλοῖον^{ndnpc} καί^{cc} ἐν^{pd} ὁ^{ddfs} ὁδός^{ndfsc} ὅς^{rrdfs} λέγω^{viaa1s} οὐ^{b} προστίθημι^{vifm2p} ἔτι^{b} ὁράω^{vnaa} αὐτός^{rpafs} καί^{cc} πιπράσκω^{vifp2p} ἐκεῖ^{b} ὁ^{ddmp} ἐχθρός^{andmpn} σύ$^{rpg\text{-}p}$ εἰς^{pa} παῖς^{nampc} καί^{cc} παιδίσκη^{nafpc} καί^{cc} οὐ^{b} εἰμί^{vifm3s} ὁ^{dnms} κτάομαι^{vppmnms}. **v.69** οὗτος^{rdnmp} ὁ^{dnmp} λόγος^{nnmpc} ὁ^{dgfs} διαθήκη^{ngfsc} ὅς^{rramp} ἐντέλλομαι^{viam3s} κύριος^{nnmsc} Μωϋσῆς^{ndmsp} ἵστημι^{vnaa} ὁ^{ddmp} υἱός^{ndmpc} Ἰσραήλ^{ngmsp} ἐν^{pd} γῆ^{ndfsc} Μωαβ^{ngfsp} πλήν^{pg} ὁ^{dgfs} διαθήκη^{ngfsc} ὅς^{rrgfs} διατίθημι^{viam3s} αὐτός^{rpdmp} ἐν^{pd} Χωρήβ$^{nd\text{-}sp}$. **29. v.1** καί^{cc} καλέω^{viaa3s} Μωϋσῆς^{nnmsp} πᾶς^{aiampn} ὁ^{damp} υἱός^{nampc} Ἰσραήλ^{ngmsp} καί^{cc} λέγω^{viaa3s} πρός^{pa} αὐτός^{rpamp} σύ$^{rpn\text{-}p}$ ὁράω^{vixa2p} πᾶς^{aianpn} ὅσος^{aranpn} ποιέω^{viaa3s} κύριος^{nnmsc} ἐν^{pd} γῆ^{ndfsc} Αἴγυπτος^{ndfsp} ἐνώπιον^{pg} σύ$^{rpg\text{-}p}$ Φαραώ^{ndmsp} καί^{cc} ὁ^{ddmp} θεράπων^{ndmpc} αὐτός^{rpgms} καί^{cc} πᾶς^{aidfsn} ὁ^{ddfs} γῆ^{ndfsc} αὐτός^{rpgms}. **v.2** ὁ^{damp} πειρασμός^{nampc} ὁ^{damp} μέγας^{anampn} ὅς^{rramp} ὁράω^{vixa3p} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} σύ$^{rpg\text{-}s}$ ὁ^{danp} σημεῖον^{nanpc} καί^{cc} ὁ^{danp} τέρας^{nanpc} ὁ^{danp} μέγας^{ananpn} ἐκεῖνος^{rdanp}.

ὀφθαλμοὺς βλέπειν καὶ ὦτα ἀκούειν ἕως τῆς ἡμέρας ταύτης. καὶ 4
ἤγαγεν ὑμᾶς τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ οὐκ ἐπαλαιώθη τὰ ἱ-
μάτια ὑμῶν καὶ τὰ ὑποδήματα ὑμῶν οὐ κατετρίβη ἀπὸ τῶν ποδῶν
ὑμῶν. ἄρτον οὐκ ἐφάγετε οἶνον καὶ σικερα οὐκ ἐπίετε ἵνα γνῶτε 5
ὅτι οὗτος κύριος ὁ θεὸς ὑμῶν. καὶ ἤλθετε ἕως τοῦ τόπου τούτου 6
καὶ ἐξῆλθεν Σηων βασιλεὺς Εσεβων καὶ Ωγ βασιλεὺς τῆς Βασαν
εἰς συνάντησιν ἡμῖν ἐν πολέμῳ καὶ ἐπατάξαμεν αὐτούς. καὶ ἐ- 7
λάβομεν τὴν γῆν αὐτῶν καὶ ἔδωκα αὐτὴν ἐν κλήρῳ τῷ Ρουβην καὶ
τῷ Γαδδι καὶ τῷ ἡμίσει φυλῆς Μανασση. καὶ φυλάξεσθε ποιεῖν 8
πάντας τοὺς λόγους τῆς διαθήκης ταύτης ἵνα συνῆτε πάντα ὅσα
ποιήσετε. ὑμεῖς ἑστήκατε πάντες σήμερον ἐναντίον κυρίου τοῦ 9
θεοῦ ὑμῶν οἱ ἀρχίφυλοι ὑμῶν καὶ ἡ γερουσία ὑμῶν καὶ οἱ κριταὶ
ὑμῶν καὶ οἱ γραμματοεισαγωγεῖς ὑμῶν πᾶς ἀνὴρ Ισραηλ. αἱ 10
γυναῖκες ὑμῶν καὶ τὰ ἔκγονα ὑμῶν καὶ ὁ προσήλυτος ὁ ἐν μέσῳ
τῆς παρεμβολῆς ὑμῶν ἀπὸ ξυλοκόπου ὑμῶν καὶ ἕως ὑδροφόρου
ὑμῶν. παρελθεῖν ἐν τῇ διαθήκῃ κυρίου τοῦ θεοῦ σου καὶ ἐν ταῖς 11
ἀραῖς αὐτοῦ ὅσα κύριος ὁ θεός σου διατίθεται πρὸς σὲ σήμερον.
ἵνα στήσῃ σε αὐτῷ εἰς λαόν καὶ αὐτὸς ἔσται σου θεός ὃν τρόπον 12
εἶπέν σοι καὶ ὃν τρόπον ὤμοσεν τοῖς πατράσιν σου Αβρααμ καὶ
Ισαακ καὶ Ιακωβ. καὶ οὐχ ὑμῖν μόνοις ἐγὼ διατίθεμαι τὴν δια- 13

---

v.3 καί^{cc} οὐ^{b} δίδωμι^{viaa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpd\text{-}p}$ καρδία^{nafsc} οἶδα^{vnxa} καί^{cc} ὀφθαλμός^{nampc} βλέπω^{vnpa} καί^{cc} οὖς^{nanpc} ἀκούω^{vnpa} ἕως^{pg} ὁ^{dgfs} ἡμέρα^{ngfsc} οὗτος^{rdgfs}. **v.4** καί^{cc} ἄγω^{viaa3s} σύ$^{rpa\text{-}p}$ τεσσαράκοντα$^{ac\text{--}n}$ ἔτος^{nanpc} ἐν^{pd} ὁ^{ddfs} ἔρημος^{ndfsc} οὐ^{b} παλαιόω^{viap3s} ὁ^{dnnp} ἱμάτιον^{nnnpc} σύ$^{rpg\text{-}p}$ καί^{cc} ὁ^{dnnp} ὑπόδημα^{nnnpc} σύ$^{rpg\text{-}p}$ οὐ^{b} κατατρίβω^{viap3s} ἀπό^{pg} ὁ^{dgmp} πούς^{ngmpc} σύ$^{rpg\text{-}p}$. **v.5** ἄρτος^{namsc} οὐ^{b} ἐσθίω^{viaa2p} οἶνος^{namsc} καί^{cc} σίκερα^{nansc} οὐ^{b} πίνω^{viaa2p} ἵνα^{cs} γινώσκω^{vsaa2p} ὅτι^{cs} οὗτος^{rdnms} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg\text{-}p}$. **v.6** καί^{cc} ἔρχομαι^{viaa2p} ἕως^{pg} ὁ^{dgms} τόπος^{ngmsc} οὗτος^{rdgms} καί^{cc} ἐξέρχομαι^{viaa3s} Σηων^{nnmsp} βασιλεύς^{nnmsc} Εσεβων^{ngfsp} καί^{cc} Ωγ^{nnmsp} βασιλεύς^{nnmsc} ὁ^{dgfs} Βασαν^{ngfsp} εἰς^{pa} συνάντησις^{nafsc} ἐγώ$^{rpd\text{-}p}$ ἐν^{pd} πόλεμος^{ndmsc} καί^{cc} πατάσσω^{viaa1p} αὐτός^{rpamp}. **v.7** καί^{cc} λαμβάνω^{viaa1p} ὁ^{dafs} γῆ^{nafsc} αὐτός^{rpgmp} καί^{cc} δίδωμι^{viaa1s} αὐτός^{rpafs} ἐν^{pd} κλῆρος^{ndmsc} ὁ^{ddms} Ῥουβήν^{ndmsp} καί^{cc} ὁ^{ddms} Γάδ^{ndmsp} καί^{cc} ὁ^{ddns} ἥμισυς^{andnsn} φυλή^{ngfsc} Μανασσῆ^{ngmsp}. **v.8** καί^{cc} φυλάσσω^{vifm2p} ποιέω^{vnpa} πᾶς^{aiampn} ὁ^{damp} λόγος^{nampc} ὁ^{dgfs} διαθήκη^{ngfsc} οὗτος^{rdgfs} ἵνα^{cs} συνίημι^{vsaa2p} πᾶς^{aianpn} ὅσος^{aranpn} ποιέω^{vifa2p}. **v.9** σύ$^{rpn\text{-}p}$ ἵστημι^{vixa2p} πᾶς^{ainmpn} σήμερον^{b} ἐναντίον^{pg} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg\text{-}p}$ ὁ^{dnmp} ἀρχίφυλος^{nnmpc} σύ$^{rpg\text{-}p}$ καί^{cc} ὁ^{dnfs} γερουσία^{nnfsc} σύ$^{rpg\text{-}p}$ καί^{cc} ὁ^{dnmp} κριτής^{nnmpc} σύ$^{rpg\text{-}p}$ καί^{cc} ὁ^{dnmp} γραμματοεισαγωγεύς^{nnmpc} σύ$^{rpg\text{-}p}$ πᾶς^{ainmsn} ἀνήρ^{nnmsc} Ἰσραήλ^{ngmsp}. **v.10** ὁ^{dnfp} γυνή^{nnfpc} σύ$^{rpg\text{-}p}$ καί^{cc} ὁ^{dnnp} ἔκγονος^{annnpn} σύ$^{rpg\text{-}p}$ καί^{cc} ὁ^{dnms} προσήλυτος^{nnmsc} ὁ^{dnms} ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgfs} παρεμβολή^{ngfsc} σύ$^{rpg\text{-}p}$ ἀπό^{pg} ξυλοκόπος^{ngmsc} σύ$^{rpg\text{-}p}$ καί^{cc} ἕως^{pg} ὑδροφόρος^{ngmsc} σύ$^{rpg\text{-}p}$. **v.11** παρέρχομαι^{vnaa} ἐν^{pd} ὁ^{ddfs} διαθήκη^{ndfsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfp} ἀρά^{ndfpc} αὐτός^{rpgms} ὅσος^{aranpn} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg\text{-}s}$ διατίθημι^{vipm3s} πρός^{pa} σύ$^{rpa\text{-}s}$ σήμερον^{b}. **v.12** ἵνα^{cs} ἵστημι^{vsaa3s} σύ$^{rpa\text{-}s}$ αὐτός^{rpdms} εἰς^{pa} λαός^{namsc} καί^{cc} αὐτός^{rpnms} εἰμί^{vifm3s} σύ$^{rpg\text{-}s}$ θεός^{nnmsc} ὅς^{rrams} τρόπος^{namsc} λέγω^{viaa3s} σύ$^{rpd\text{-}s}$ καί^{cc} ὅς^{rrams} τρόπος^{namsc} ὄμνυμι^{viaa3s} ὁ^{ddmp} πατήρ^{ndmpc} σύ$^{rpg\text{-}s}$ Ἀβραάμ^{ndmsp} καί^{cc} Ἰσαάκ^{ndmsp} καί^{cc} Ἰακώβ^{ndmsp}.

14 θήκην ταύτην καὶ τὴν ἀρὰν ταύτην. ἀλλὰ καὶ τοῖς ὧδε οὖσι μεθ'
ἡμῶν σήμερον ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν καὶ τοῖς μὴ οὖσιν
15 μεθ' ἡμῶν ὧδε σήμερον. ὅτι ὑμεῖς οἴδατε ὡς κατῳκήσαμεν ἐν
γῇ Αἰγύπτῳ καὶ παρήλθομεν ἐν μέσῳ τῶν ἐθνῶν οὓς παρήλθετε.
16 καὶ εἴδετε τὰ βδελύγματα αὐτῶν καὶ τὰ εἴδωλα αὐτῶν ξύλον καὶ
17 λίθον ἀργύριον καὶ χρυσίον ἅ ἐστιν παρ' αὐτοῖς. μή τίς ἐστιν
ἐν ὑμῖν ἀνὴρ ἢ γυνὴ ἢ πατριὰ ἢ φυλή τίνος ἡ διάνοια ἐξέκλινεν
ἀπὸ κυρίου τοῦ θεοῦ ὑμῶν πορεύεσθαι λατρεύειν τοῖς θεοῖς τῶν
ἐθνῶν ἐκείνων μή τίς ἐστιν ἐν ὑμῖν ῥίζα ἄνω φύουσα ἐν χολῇ καὶ
18 πικρίᾳ. καὶ ἔσται ἐὰν ἀκούσῃ τὰ ῥήματα τῆς ἀρᾶς ταύτης καὶ
ἐπιφημίσηται ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων ὅσιά μοι γένοιτο ὅτι ἐν τῇ
ἀποπλανήσει τῆς καρδίας μου πορεύσομαι ἵνα μὴ συναπολέσῃ ὁ
19 ἁμαρτωλὸς τὸν ἀναμάρτητον. οὐ μὴ θελήσῃ ὁ θεὸς εὐιλατεῦσαι
αὐτῷ ἀλλ' ἢ τότε ἐκκαυθήσεται ὀργὴ κυρίου καὶ ὁ ζῆλος αὐτοῦ
ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ καὶ κολληθήσονται ἐν αὐτῷ πᾶσαι αἱ ἀ-
ραὶ τῆς διαθήκης ταύτης αἱ γεγραμμέναι ἐν τῷ βιβλίῳ τοῦ νόμου
τούτου καὶ ἐξαλείψει κύριος τὸ ὄνομα αὐτοῦ ἐκ τῆς ὑπὸ τὸν οὐ-
20 ρανόν. καὶ διαστελεῖ αὐτὸν κύριος εἰς κακὰ ἐκ πάντων τῶν υἱῶν
Ισραηλ κατὰ πάσας τὰς ἀρὰς τῆς διαθήκης τὰς γεγραμμένας ἐν
21 τῷ βιβλίῳ τοῦ νόμου τούτου. καὶ ἐροῦσιν ἡ γενεὰ ἡ ἑτέρα οἱ υἱοὶ
ὑμῶν οἳ ἀναστήσονται μεθ' ὑμᾶς καὶ ὁ ἀλλότριος ὃς ἂν ἔλθῃ ἐκ

---

v.13 καί^{cc} οὐ^{b} σύ$^{rpd-p}$ μόνος^{andmpn} ἐγώ^{rpnms} διατίθημι^{vipm1s} ὁ^{dafs} διαθήκη^{nafsc} οὗτος^{rdafs} καί^{cc} ὁ^{dafs} ἀρά^{nafsc} οὗτος^{rdafs}. **v.14** ἀλλά^{cc} καί^{b} ὁ^{ddmp} ὧδε^{b} εἰμί^{vppadmp} μετά^{pg} ἐγώ$^{rpg-p}$ σήμερον^{b} ἐναντίον^{pg} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg-p}$ καί^{cc} ὁ^{ddmp} μή^{x} εἰμί^{vppadmp} μετά^{pg} ἐγώ$^{rpg-p}$ ὧδε^{b} σήμερον^{b}. **v.15** ὅτι^{cs} σύ$^{rpn-p}$ οἶδα^{vixa2p} ὡς^{cs} κατοικέω^{viaa1p} ἐν^{pd} γῆ^{ndfsc} Αἴγυπτος^{ndfsp} καί^{cc} παρέρχομαι^{viaa1p} ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgnp} ἔθνος^{ngnpc} ὅς^{rramp} παρέρχομαι^{viaa2p}. **v.16** καί^{cc} ὁράω^{viaa2p} ὁ^{danp} βδέλυγμα^{nanpc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{danp} εἴδωλον^{nanpc} αὐτός^{rpgmp} ξύλον^{nansc} καί^{cc} λίθος^{namsc} ἀργύριον^{nansc} καί^{cc} χρυσίον^{nansc} ὅς^{rrnnp} εἰμί^{vipa3s} παρά^{pd} αὐτός^{rpdmp}. **v.17** μή^{x} τι-σρινμς εἰμί^{vipa3s} ἐν^{pd} σύ$^{rpd-p}$ ἀνήρ^{nnmsc} ἤ^{cc} γυνή^{nnfsc} ἤ^{cc} πατριά^{nnfsc} ἤ^{cc} φυλή^{nnfsc} τίς^{rqgns} ὁ^{dnfs} διάνοια^{nnfsc} ἐκκλίνω^{viaa3s} ἀπό^{pg} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg-p}$ πορεύομαι^{vnpm} λατρεύω^{vnpa} ὁ^{ddmp} θεός^{ndmpc} ὁ^{dgnp} ἔθνος^{ngnpc} ἐκεῖνος^{rdgnp} μή^{x} τι-σαινφς εἰμί^{vipa3s} ἐν^{pd} σύ$^{rpd-p}$ ῥίζα^{nnfsc} ἄνω^{b} φύω^{vppanfs} ἐν^{pd} χολή^{ndfsc} καί^{cc} πικρία^{ndfsc}. **v.18** καί^{cc} εἰμί^{vifm3s} ἐάν^{cs} ἀκούω^{vsaa3s} ὁ^{danp} ῥῆμα^{nanpc} ὁ^{dgfs} ἀρά^{ngfsc} οὗτος^{rdgfs} καί^{cc} ἐπιφημίζω^{vsam3s} ἐν^{pd} ὁ^{ddfs} καρδία^{ndfsc} αὐτός^{rpgms} λέγω^{vppanms} ὅσιος^{annnpn} ἐγώ$^{rpd-s}$ γίνομαι^{voam3s} ὅτι^{cs} ἐν^{pd} ὁ^{ddfs} ἀποπλάνησις^{ndfsc} ὁ^{dgfs} καρδία^{ngfsc} ἐγώ$^{rpg-s}$ πορεύομαι^{vifm1s} ἵνα^{cs} μή^{x} συναπόλλυμι^{vsaa3s} ὁ^{dnms} ἁμαρτωλός^{annmsn} ὁ^{dams} ἀναμάρτητος^{anamsn}. **v.19** οὐ^{b} μή^{x} θέλω^{vsaa3s} ὁ^{dnms} θεός^{nnmsc} εὐιλατεύω^{vnaa} αὐτός^{rpdms} ἀλλά^{cc} ἤ^{cc} τότε^{b} ἐκκαίω^{vifp3s} ὀργή^{nnfsc} κύριος^{ngmsc} καί^{cc} ὁ^{dnms} ζῆλος^{nnmsc} αὐτός^{rpgms} ἐν^{pd} ὁ^{ddms} ἄνθρωπος^{ndmsc} ἐκεῖνος^{rddms} καί^{cc} κολλάω^{vifp3p} ἐν^{pd} αὐτός^{rpdms} πᾶς^{ainfpn} ὁ^{dnfp} ἀρά^{nnfpc} ὁ^{dgfs} διαθήκη^{ngfsc} οὗτος^{rdgfs} ὁ^{dnfp} γράφω^{vpxpnfp} ἐν^{pd} ὁ^{ddns} βιβλίον^{ndnsc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms} καί^{cc} ἐξαλείφω^{vifa3s} κύριος^{nnmsc} ὁ^{dans} ὄνομα^{nansc} αὐτός^{rpgms} ἐκ^{pg} ὁ^{dgfs} ὑπό^{pa} ὁ^{dams} οὐρανός^{namsc}. **v.20** καί^{cc} διαστέλλω^{vifa3s} αὐτός^{rpams} κύριος^{nnmsc} εἰς^{pa} κακός^{ananpn} ἐκ^{pg} πᾶς^{aigmpn} ὁ^{dgmp} υἱός^{ngmpc} Ἰσραήλ^{ngmsp} κατά^{pa} πᾶς^{aiafpn} ὁ^{dafp} ἀρά^{nafpc} ὁ^{dgfs} διαθήκη^{ngfsc} ὁ^{dafp} γράφω^{vpxpafp} ἐν^{pd} ὁ^{ddns} βιβλίον^{ndnsc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms}.

γῆς μακρόθεν καὶ ὄψονται τὰς πληγὰς τῆς γῆς ἐκείνης καὶ τὰς
νόσους αὐτῆς ἃς ἀπέστειλεν κύριος ἐπ᾽ αὐτήν. θεῖον καὶ ἅλα 22
κατακεκαυμένον πᾶσα ἡ γῆ αὐτῆς οὐ σπαρήσεται οὐδὲ ἀνατελεῖ
οὐδὲ μὴ ἀναβῇ ἐπ᾽ αὐτὴν πᾶν χλωρόν ὥσπερ κατεστράφη Σοδομα
καὶ Γομορρα Αδαμα καὶ Σεβωιμ ἃς κατέστρεψεν κύριος ἐν θυμῷ
καὶ ὀργῇ. καὶ ἐροῦσιν πάντα τὰ ἔθνη διὰ τί ἐποίησεν κύριος 23
οὕτως τῇ γῇ ταύτῃ τίς ὁ θυμὸς τῆς ὀργῆς ὁ μέγας οὗτος. καὶ 24
ἐροῦσιν ὅτι κατελίποσαν τὴν διαθήκην κυρίου τοῦ θεοῦ τῶν πα-
τέρων αὐτῶν ἃ διέθετο τοῖς πατράσιν αὐτῶν ὅτε ἐξήγαγεν αὐτοὺς
ἐκ γῆς Αἰγύπτου. καὶ πορευθέντες ἐλάτρευσαν θεοῖς ἑτέροις καὶ 25
προσεκύνησαν αὐτοῖς οἷς οὐκ ἠπίσταντο οὐδὲ διένειμεν αὐτοῖς.
καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὴν γῆν ἐκείνην ἐπαγαγεῖν ἐπ᾽ αὐ- 26
τὴν κατὰ πάσας τὰς κατάρας τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ
νόμου τούτου. καὶ ἐξῆρεν αὐτοὺς κύριος ἀπὸ τῆς γῆς αὐτῶν ἐν 27
θυμῷ καὶ ὀργῇ καὶ παροξυσμῷ μεγάλῳ σφόδρα καὶ ἐξέβαλεν αὐ-
τοὺς εἰς γῆν ἑτέραν ὡσεὶ νῦν. τὰ κρυπτὰ κυρίῳ τῷ θεῷ ἡμῶν τὰ 28
δὲ φανερὰ ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν εἰς τὸν αἰῶνα ποιεῖν πάντα
τὰ ῥήματα τοῦ νόμου τούτου.

καὶ ἔσται ὡς ἂν ἔλθωσιν ἐπὶ σὲ πάντα τὰ ῥήματα ταῦτα ἡ εὐλο- **30**
γία καὶ ἡ κατάρα ἣν ἔδωκα πρὸ προσώπου σου καὶ δέξῃ εἰς τὴν
καρδίαν σου ἐν πᾶσιν τοῖς ἔθνεσιν οὗ ἐάν σε διασκορπίσῃ κύριος

---

v.21 καί^{cc} λέγω^{vifa3p} ὁ^{dnfs} γενεά^{nnfsc} ὁ^{dnfs} ἕτερος^{ainfsn} ὁ^{dnmp} υἱός^{nnmpc} σύ$^{rpg-p}$ ὅς^{rrnmp} ἀνίστημι^{vifm3p} μετά^{pa} σύ$^{rpa-p}$ καί^{cc} ὁ^{dnms} ἀλλότριος^{annmsn} ὅς^{rrnms} ἄν^{x} ἔρχομαι^{vsaa3s} ἐκ^{pg} γῆ^{ngfsc} μακρόθεν^{b} καί^{cc} ὁράω^{vifm3p} ὁ^{dafp} πληγή^{nafpc} ὁ^{dgfs} γῆ^{ngfsc} ἐκεῖνος^{rdgfs} καί^{cc} ὁ^{dafp} νόσος^{nafpc} αὐτός^{rpgfs} ὅς^{rrafp} ἀποστέλλω^{viaa3s} κύριος^{nnmsc} ἐπί^{pa} αὐτός^{rpafs}. **v.22** θεῖον^{namsc} καί^{cc} ἅλς^{namsc} κατακαίω^{vpxmams} πᾶς^{ainfsn} ὁ^{dnfs} γῆ^{nnfsc} αὐτός^{rpgfs} οὐ^{b} σπείρω^{vifp3s} οὐδέ^{cc} ἀνατέλλω^{vifa3s} οὐδέ^{cc} μή^{x} ἀναβαίνω^{vsaa3s} ἐπί^{pa} αὐτός^{rpafs} πᾶς^{ainnsn} χλωρός^{annnsn} ὥσπερ^{cs} καταστρέφω^{viap3s} Σόδομα^{nnnpp} καί^{cc} Γόμορρα^{nnfsp} Αδαμα^{nn-sp} καί^{cc} Σεβωιμ^{nn-sp} ὅς^{rrafp} καταστρέφω^{viaa3s} κύριος^{nnmsc} ἐν^{pd} θυμός^{ndmsc} καί^{cc} ὀργή^{ndfsc}. **v.23** καί^{cc} λέγω^{vifa3p} πᾶς^{aianpn} ὁ^{danp} ἔθνος^{nanpc} διά^{pa} τίς^{rqans} ποιέω^{viaa3s} κύριος^{nnmsc} οὕτως^{b} ὁ^{ddfs} γῆ^{ndfsc} οὗτος^{rddfs} τίς^{aqnmsn} ὁ^{dnms} θυμός^{nnmsc} ὁ^{dgfs} ὀργή^{ngfsc} ὁ^{dnms} μέγας^{annmsn} οὗτος^{rdnms}. **v.24** καί^{cc} λέγω^{vifa3p} ὅτι^{cs} καταλείπω^{viaa3p} ὁ^{dafs} διαθήκη^{nafsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} ὁ^{dgmp} πατήρ^{ngmpc} αὐτός^{rpgmp} ὅς^{rranp} διατίθημι^{viam3s} ὁ^{ddmp} πατήρ^{ndmpc} αὐτός^{rpgmp} ὅτε^{cs} ἐξάγω^{viaa3s} αὐτός^{rpamp} ἐκ^{pg} γῆ^{ngfsc} Αἴγυπτος^{ngfsp}. **v.25** καί^{cc} πορεύομαι^{vpapnmp} λατρεύω^{viaa3p} θεός^{ndmpc} ἕτερος^{aidmpn} καί^{cc} προσκυνέω^{viaa3p} αὐτός^{rpdmp} ὅς^{rrdmp} οὐ^{b} ἐπίσταμαι^{viim3p} οὐδέ^{cc} διανέμω^{viaa3s} αὐτός^{rpdmp}. **v.26** καί^{cc} ὀργίζω^{viap3s} θυμός^{ndmsc} κύριος^{nnmsc} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} ἐκεῖνος^{rdafs} ἐπάγω^{vnaa} ἐπί^{pa} αὐτός^{rpafs} κατά^{pa} πᾶς^{aiafpn} ὁ^{dafp} κατάρα^{nafpc} ὁ^{dafp} γράφω^{vpxpafp} ἐν^{pd} ὁ^{ddns} βιβλίον^{ndnsc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms}. **v.27** καί^{cc} ἐξαίρω^{viaa3s} αὐτός^{rpamp} κύριος^{nnmsc} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} αὐτός^{rpgmp} ἐν^{pd} θυμός^{ndmsc} καί^{cc} ὀργή^{ndfsc} καί^{cc} παροξυσμός^{ndmsc} μέγας^{andmsn} σφόδρα^{b} καί^{cc} ἐκβάλλω^{viaa3s} αὐτός^{rpamp} εἰς^{pa} γῆ^{nafsc} ἕτερος^{aiafsn} ὡσεί^{x} νῦν^{b}. **v.28** ὁ^{dnnp} κρυπτός^{annnpn} κύριος^{ndmsc} ὁ^{ddms} θεός^{ndmsc} ἐγώ$^{rpg-p}$ ὁ^{dnnp} δέ^{cc} φανερός^{annnpn} ἐγώ$^{rpd-p}$ καί^{cc} ὁ^{ddnp} τέκνον^{ndnpc} ἐγώ$^{rpg-p}$ εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ποιέω^{vnpa} πᾶς^{aianpn} ὁ^{danp} ῥῆμα^{nanpc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms}.

2 ἐκεῖ. καὶ ἐπιστραφήσῃ ἐπὶ κύριον τὸν θεόν σου καὶ ὑπακούσῃ
τῆς φωνῆς αὐτοῦ κατὰ πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ἐξ
3 ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου. καὶ ἰάσεται
κύριος τὰς ἁμαρτίας σου καὶ ἐλεήσει σε καὶ πάλιν συνάξει σε ἐκ
4 πάντων τῶν ἐθνῶν εἰς οὓς διεσκόρπισέν σε κύριος ἐκεῖ. ἐὰν ᾖ
ἡ διασπορά σου ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ
ἐκεῖθεν συνάξει σε κύριος ὁ θεός σου καὶ ἐκεῖθεν λήμψεταί σε
5 κύριος ὁ θεός σου. καὶ εἰσάξει σε κύριος ὁ θεός σου εἰς τὴν γῆν
ἣν ἐκληρονόμησαν οἱ πατέρες σου καὶ κληρονομήσεις αὐτήν καὶ
εὖ σε ποιήσει καὶ πλεοναστόν σε ποιήσει ὑπὲρ τοὺς πατέρας σου.
6 καὶ περικαθαριεῖ κύριος τὴν καρδίαν σου καὶ τὴν καρδίαν τοῦ
σπέρματός σου ἀγαπᾶν κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας
7 σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου ἵνα ζῇς σύ. καὶ δώσει κύριος
ὁ θεός σου τὰς ἀρὰς ταύτας ἐπὶ τοὺς ἐχθρούς σου καὶ ἐπὶ τοὺς
8 μισοῦντάς σε οἳ ἐδίωξάν σε. καὶ σὺ ἐπιστραφήσῃ καὶ εἰσακούσῃ
τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου καὶ ποιήσεις τὰς ἐντολὰς αὐτοῦ
9 ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον. καὶ πολυωρήσει σε κύριος ὁ
θεός σου ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου ἐν τοῖς ἐκγόνοις τῆς κοι-
λίας σου καὶ ἐν τοῖς γενήμασιν τῆς γῆς σου καὶ ἐν τοῖς ἐκγόνοις
τῶν κτηνῶν σου ὅτι ἐπιστρέψει κύριος ὁ θεός σου εὐφρανθῆναι

---

30. **v.1** καί[cc] εἰμί[vifm3s] ὡς[cs] ἄν[x] ἔρχομαι[vsaa3p] ἐπί[pa] σύ[rpa-s] πᾶς[ainnpn] ὁ[dnnp] ῥῆμα[nnnpc] οὗτος[rdnnp] ὁ[dnfs] εὐλογία[nnfsc] καί[cc] ὁ[dnfs] κατάρα[nnfsc] ὅς[rrafs] δίδωμι[viaa1s] πρό[pg] πρόσωπον[ngnsc] σύ[rpg-s] καί[cc] δέχομαι[vifm2s] εἰς[pa] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ἔθνος[ndnpc] ὅς[b] ἐάν[cs] σύ[rpa-s] διασκορπίζω[vsaa3s] κύριος[nnmsc] ἐκεῖ[b]. **v.2** καί[cc] ἐπιστρέφω[vifp2s] ἐπί[pa] κύριος[namsc] ὁ[dams] θεός[namsc] σύ[rpg-s] καί[cc] ὑπακούω[vifm2s] ὁ[dgfs] φωνή[ngfsc] αὐτός[rpgms] κατά[pa] πᾶς[aianpn] ὅσος[aranpn] ἐγώ[rpnms] ἐντέλλομαι[vipm1s] σύ[rpd-s] σήμερον[b] ἐκ[pg] ὅλος[angfsn] ὁ[dgfs] καρδία[ngfsc] σύ[rpg-s] καί[cc] ἐκ[pg] ὅλος[angfsn] ὁ[dgfs] ψυχή[ngfsc] σύ[rpg-s]. **v.3** καί[cc] ἰάομαι[vifm3s] κύριος[nnmsc] ὁ[dafp] ἁμαρτία[nafpc] σύ[rpg-s] καί[cc] ἐλεέω[vifa3s] σύ[rpa-s] καί[cc] πάλιν[b] συνάγω[vifa3s] σύ[rpa-s] ἐκ[pg] πᾶς[aignpn] ὁ[dgnp] ἔθνος[ngnpc] εἰς[pa] ὅς[rramp] διασκορπίζω[viaa3s] σύ[rpa-s] κύριος[nnmsc] ἐκεῖ[b]. **v.4** ἐάν[cs] εἰμί[vspa3s] ὁ[dnfs] διασπορά[nnfsc] σύ[rpg-s] ἀπό[pg] ἄκρος[angnsn] ὁ[dgms] οὐρανός[ngmsc] ἕως[pg] ἄκρος[angnsn] ὁ[dgms] οὐρανός[ngmsc] ἐκεῖθεν[b] συνάγω[vifa3s] σύ[rpa-s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] καί[cc] ἐκεῖθεν[b] λαμβάνω[vifm3s] σύ[rpa-s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s]. **v.5** καί[cc] εἰσάγω[vifa3s] σύ[rpa-s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] ὅς[rrafs] κληρονομέω[viaa3p] ὁ[dnmp] πατήρ[nnmpc] σύ[rpg-s] καί[cc] κληρονομέω[vifa2s] αὐτός[rpafs] καί[cc] εὖ[b] σύ[rpa-s] ποιέω[vifa3s] καί[cc] πλεοναστός[anamsn] σύ[rpa-s] ποιέω[vifa3s] ὑπέρ[pa] ὁ[damp] πατήρ[nampc] σύ[rpg-s]. **v.6** καί[cc] περικαθαρίζω[vifa3s] κύριος[nnmsc] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] καί[cc] ὁ[dafs] καρδία[nafsc] ὁ[dgns] σπέρμα[ngnsc] σύ[rpg-s] ἀγαπάω[vnpa] κύριος[namsc] ὁ[dams] θεός[namsc] σύ[rpg-s] ἐκ[pg] ὅλος[angfsn] ὁ[dgfs] καρδία[ngfsc] σύ[rpg-s] καί[cc] ἐκ[pg] ὅλος[angfsn] ὁ[dgfs] ψυχή[ngfsc] σύ[rpg-s] ἵνα[cs] ζάω[vspa2s] σύ[rpn-s]. **v.7** καί[cc] δίδωμι[vifa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] ὁ[dafp] ἀρά[nafpc] οὗτος[rdafp] ἐπί[pa] ὁ[damp] ἐχθρός[anampn] σύ[rpg-s] καί[cc] ἐπί[pa] ὁ[damp] μισέω[vppaamp] σύ[rpa-s] ὅς[rrnmp] διώκω[viaa3p] σύ[rpa-s]. **v.8** καί[cc] σύ[rpn-s] ἐπιστρέφω[vifp2s] καί[cc] εἰσακούω[vifm2s] ὁ[dgfs] φωνή[ngfsc] κύριος[ngmsc] ὁ[dgms] θεός[ngmsc] σύ[rpg-s] καί[cc] ποιέω[vifa2s] ὁ[dafp] ἐντολή[nafpc] αὐτός[rpgms] ὅσος[rrafpn] ἐγώ[rpnms] ἐντέλλομαι[vipm1s] σύ[rpd-s] σήμερον[b].

ἐπὶ σὲ εἰς ἀγαθά καθότι ηὐφράνθη ἐπὶ τοῖς πατράσιν σου. 10 ἐὰν
εἰσακούσῃς τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου φυλάσσεσθαι καὶ
ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ καὶ τὰς
κρίσεις αὐτοῦ τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου
ἐὰν ἐπιστραφῇς ἐπὶ κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου
καὶ ἐξ ὅλης τῆς ψυχῆς σου. ὅτι ἡ ἐντολὴ αὕτη ἣν ἐγὼ ἐντέλλομαί 11
σοι σήμερον οὐχ ὑπέρογκός ἐστιν οὐδὲ μακρὰν ἀπὸ σοῦ. οὐκ 12
ἐν τῷ οὐρανῷ ἄνω ἐστὶν λέγων τίς ἀναβήσεται ἡμῖν εἰς τὸν οὐρα-
νὸν καὶ λήμψεται αὐτὴν ἡμῖν καὶ ἀκούσαντες αὐτὴν ποιήσομεν.
οὐδὲ πέραν τῆς θαλάσσης ἐστὶν λέγων τίς διαπεράσει ἡμῖν εἰς τὸ 13
πέραν τῆς θαλάσσης καὶ λήμψεται ἡμῖν αὐτήν καὶ ἀκουστὴν ἡμῖν
ποιήσει αὐτήν καὶ ποιήσομεν. ἔστιν σου ἐγγὺς τὸ ῥῆμα σφόδρα 14
ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου καὶ ἐν ταῖς χερσίν σου
αὐτὸ ποιεῖν. ἰδοὺ δέδωκα πρὸ προσώπου σου σήμερον τὴν ζω- 15
ὴν καὶ τὸν θάνατον τὸ ἀγαθὸν καὶ τὸ κακόν. ἐὰν εἰσακούσῃς 16
τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ σου ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον
ἀγαπᾶν κύριον τὸν θεόν σου πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐ-
τοῦ φυλάσσεσθαι τὰ δικαιώματα αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ καὶ
ζήσεσθε καὶ πολλοὶ ἔσεσθε καὶ εὐλογήσει σε κύριος ὁ θεός σου ἐν

---

v.9 καί^{cc} πολυωρέω^{vifa3s} σύ$^{rpa-s}$ κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg-s}$ ἐν^{pd} πᾶς^{aidnsn} ἔργον^{ndnsc} ὁ^{dgfp} χείρ^{ngfpc} σύ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddnp} ἔκγονος^{andnpn} ὁ^{dgfs} κοιλία^{ngfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddnp} γένημα^{ndnpc} ὁ^{dgfs} γῆ^{ngfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddnp} ἔκγονος^{andnpn} ὁ^{dgnp} κτῆνος^{ngnpc} σύ$^{rpg-s}$ ὅτι^{cs} ἐπιστρέφω^{vifa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg-s}$ εὐφραίνω^{vnap} ἐπί^{pa} σύ$^{rpa-s}$ εἰς^{pa} ἀγαθός^{ananpn} καθότι^{cs} εὐφραίνω^{viap3s} ἐπί^{pd} ὁ^{ddmp} πατήρ^{ndmpc} σύ$^{rpg-s}$. **v.10** ἐάν^{cs} εἰσακούω^{vsaa2s} ὁ^{dgfs} φωνή^{ngfsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg-s}$ φυλάσσω^{vnpm} καί^{cc} ποιέω^{vnpa} πᾶς^{aiafpn} ὁ^{dafp} ἐντολή^{nafpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} δικαίωμα^{nanpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{dafp} κρίσις^{nafpc} αὐτός^{rpgms} ὁ^{dafp} γράφω^{vpxpafp} ἐν^{pd} ὁ^{ddns} βιβλίον^{ndnsc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms} ἐάν^{cs} ἐπιστρέφω^{vsap2s} ἐπί^{pa} κύριος^{namsc} ὁ^{dams} θεός^{namsc} σύ$^{rpg-s}$ ἐκ^{pg} ὅλος^{angfsn} ὁ^{dgfs} καρδία^{ngfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐκ^{pg} ὅλος^{angfsn} ὁ^{dgfs} ψυχή^{ngfsc} σύ$^{rpg-s}$. **v.11** ὅτι^{cs} ὁ^{dnfs} ἐντολή^{nnfsc} οὗτος^{rdnfs} ὅς^{rrafs} ἐγώ^{rpnms} ἐντέλλομαι^{vipm1s} σύ$^{rpd-s}$ σήμερον^{b} οὐ^{b} ὑπέρογκος^{annmsn} εἰμί^{vipa3s} οὐδέ^{cc} μακράν^{b} ἀπό^{pg} σύ$^{rpg-s}$. **v.12** οὐ^{b} ἐν^{pd} ὁ^{ddms} οὐρανός^{ndmsc} ἄνω^{b} εἰμί^{vipa3s} λέγω^{vppanms} τίς^{rqnms} ἀναβαίνω^{vifm3s} ἐγώ$^{rpd-p}$ εἰς^{pa} ὁ^{dams} οὐρανός^{namsc} καί^{cc} λαμβάνω^{vifm3s} αὐτός^{rpafs} ἐγώ$^{rpd-p}$ καί^{cc} ἀκούω^{vpaanmp} αὐτός^{rpafs} ποιέω^{vifa1p}. **v.13** οὐδέ^{cc} πέραν^{pg} ὁ^{dgfs} θάλασσα^{ngfsc} εἰμί^{vipa3s} λέγω^{vppanms} τίς^{rqnms} διαπεράω^{vifa3s} ἐγώ$^{rpd-p}$ εἰς^{pa} ὁ^{dans} πέραν^{b} ὁ^{dgfs} θάλασσα^{ngfsc} καί^{cc} λαμβάνω^{vifm3s} ἐγώ$^{rpd-p}$ αὐτός^{rpafs} καί^{cc} ἀκουστός^{anafsn} ἐγώ$^{rpd-p}$ ποιέω^{vifa3s} αὐτός^{rpafs} καί^{cc} ποιέω^{vifa1p}. **v.14** εἰμί^{vipa3s} σύ$^{rpg-s}$ ἐγγύς^{b} ὁ^{dnns} ῥῆμα^{nnnsc} σφόδρα^{b} ἐν^{pd} ὁ^{ddns} στόμα^{ndnsc} σύ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfs} καρδία^{ndfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfp} χείρ^{ndfpc} σύ$^{rpg-s}$ αὐτός^{rpans} ποιέω^{vnpa}. **v.15** ἰδού^{i} δίδωμι^{vixa1s} πρό^{pg} πρόσωπον^{ngnsc} σύ$^{rpg-s}$ σήμερον^{b} ὁ^{dafs} ζωή^{nafsc} καί^{cc} ὁ^{dams} θάνατος^{namsc} ὁ^{dans} ἀγαθός^{anansn} καί^{cc} ὁ^{dans} κακός^{anansn}.

17 πάσῃ τῇ γῇ εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. καὶ ἐὰν
μεταστῇ ἡ καρδία σου καὶ μὴ εἰσακούσῃς καὶ πλανηθεὶς προ-
18 σκυνήσῃς θεοῖς ἑτέροις καὶ λατρεύσῃς αὐτοῖς. ἀναγγέλλω σοι
σήμερον ὅτι ἀπωλείᾳ ἀπολεῖσθε καὶ οὐ μὴ πολυήμεροι γένησθε
ἐπὶ τῆς γῆς ἧς κύριος ὁ θεός σου δίδωσίν σοι εἰς ἣν ὑμεῖς δια-
19 βαίνετε τὸν Ιορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν. διαμαρτύρομαι
ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν τὴν ζωὴν καὶ τὸν θάνα-
τον δέδωκα πρὸ προσώπου ὑμῶν τὴν εὐλογίαν καὶ τὴν κατάραν
20 ἔκλεξαι τὴν ζωήν ἵνα ζῇς σὺ καὶ τὸ σπέρμα σου. ἀγαπᾶν κύριον
τὸν θεόν σου εἰσακούειν τῆς φωνῆς αὐτοῦ καὶ ἔχεσθαι αὐτοῦ ὅτι
τοῦτο ἡ ζωή σου καὶ ἡ μακρότης τῶν ἡμερῶν σου κατοικεῖν σε ἐπὶ
τῆς γῆς ἧς ὤμοσεν κύριος τοῖς πατράσιν σου Αβρααμ καὶ Ισαακ
καὶ Ιακωβ δοῦναι αὐτοῖς.

31 καὶ συνετέλεσεν Μωυσῆς λαλῶν πάντας τοὺς λόγους τούτους
2 πρὸς πάντας υἱοὺς Ισραηλ. καὶ εἶπεν πρὸς αὐτούς ἑκατὸν καὶ
εἴκοσι ἐτῶν ἐγώ εἰμι σήμερον οὐ δυνήσομαι ἔτι εἰσπορεύεσθαι
καὶ ἐκπορεύεσθαι κύριος δὲ εἶπεν πρός με οὐ διαβήσῃ τὸν Ιορ-
3 δάνην τοῦτον. κύριος ὁ θεός σου ὁ προπορευόμενος πρὸ προ-
σώπου σου αὐτὸς ἐξολεθρεύσει τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου
σου καὶ κατακληρονομήσεις αὐτούς καὶ Ἰησοῦς ὁ προπορευό-

---

v.16 ἐάν^{cs} εἰσακούω^{vsaa2s} ὁ^{dafp} ἐντολή^{nafpc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg\text{-}s}$ ὅς^{rrafp} ἐγώ^{rpnms} ἐντέλλομαι^{vipm1s} σύ$^{rpd\text{-}s}$ σήμερον^{b} ἀγαπάω^{vnpa} κύριος^{namsc} ὁ^{dams} θεός^{namsc} σύ$^{rpg\text{-}s}$ πορεύομαι^{vnpm} ἐν^{pd} πᾶς^{aidfpn} ὁ^{ddfp} ὁδός^{ndfpc} αὐτός^{rpgms} φυλάσσω^{vnpm} ὁ^{danp} δικαίωμα^{nanpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{dafp} κρίσις^{nafpc} αὐτός^{rpgms} καί^{cc} ζάω^{vifm2p} καί^{cc} πολύς^{annmpn} εἰμί^{vifm2p} καί^{cc} εὐλογέω^{vifa3s} σύ$^{rpa\text{-}s}$ κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg\text{-}s}$ ἐν^{pd} πᾶς^{aidfsn} ὁ^{ddfs} γῆ^{ndfsc} εἰς^{pa} ὅς^{rrafs} εἰσπορεύομαι^{vipm2s} ἐκεῖ^{b} κληρονομέω^{vnaa} αὐτός^{rpafs}. **v.17** καί^{cc} ἐάν^{cs} μεθίστημι^{vsaa3s} ὁ^{dnfs} καρδία^{nnfsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} μή^{x} εἰσακούω^{vsaa2s} καί^{cc} πλανάω^{vpapnms} προσκυνέω^{vsaa2s} θεός^{ndmpc} ἕτερος^{aidmpn} καί^{cc} λατρεύω^{vsaa2s} αὐτός^{rpdmp}. **v.18** ἀναγγέλλω^{vipa1s} σύ$^{rpd\text{-}s}$ σήμερον^{b} ὅτι^{cs} ἀπώλεια^{ndfsc} ἀπόλλυμι^{vifm2p} καί^{cc} οὐ^{b} μή^{x} πολυήμερος^{annmpn} γίνομαι^{vsam2p} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ὅς^{rrgfs} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg\text{-}s}$ δίδωμι^{vipa3s} σύ$^{rpd\text{-}s}$ εἰς^{pa} ὅς^{rrafs} σύ$^{rpn\text{-}p}$ διαβαίνω^{vipa2p} ὁ^{dams} Ἰορδάνης^{namsp} ἐκεῖ^{b} κληρονομέω^{vnaa} αὐτός^{rpafs}. **v.19** διαμαρτύρομαι^{vipm1s} σύ$^{rpd\text{-}p}$ σήμερον^{b} ὁ^{dams} τέ^{cc} οὐρανός^{namsc} καί^{cc} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dafs} ζωή^{nafsc} καί^{cc} ὁ^{dams} θάνατος^{namsc} δίδωμι^{vixa1s} πρό^{pg} πρόσωπον^{ngnsc} σύ$^{rpg\text{-}p}$ ὁ^{dafs} εὐλογία^{nafsc} καί^{cc} ὁ^{dafs} κατάρα^{nafsc} ἐκλέγω^{vdam2s} ὁ^{dafs} ζωή^{nafsc} ἵνα^{cs} ζάω^{vspa2s} σύ$^{rpn\text{-}s}$ καί^{cc} ὁ^{dnns} σπέρμα^{nnnsc} σύ$^{rpg\text{-}s}$. **v.20** ἀγαπάω^{vnpa} κύριος^{namsc} ὁ^{dams} θεός^{namsc} σύ$^{rpg\text{-}s}$ εἰσακούω^{vnpa} ὁ^{dgfs} φωνή^{ngfsc} αὐτός^{rpgms} καί^{cc} ἔχω^{vnpm} αὐτός^{rpgms} ὅτι^{cs} οὗτος^{rdnns} ὁ^{dnfs} ζωή^{nnfsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} ὁ^{dnfs} μακρότης^{nnfsc} ὁ^{dgfp} ἡμέρα^{ngfpc} σύ$^{rpg\text{-}s}$ κατοικέω^{vnpa} σύ$^{rpa\text{-}s}$ ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ὅς^{rrgfs} ὄμνυμι^{viaa3s} κύριος^{nnmsc} ὁ^{ddmp} πατήρ^{ndmpc} σύ$^{rpg\text{-}s}$ Ἀβραάμ^{ndmsp} καί^{cc} Ἰσαάκ^{ndmsp} καί^{cc} Ἰακώβ^{ndmsp} δίδωμι^{vnaa} αὐτός^{rpdmp}. **31. v.1** καί^{cc} συντελέω^{viaa3s} Μωϋσῆς^{nnmsp} λαλέω^{vppanms} πᾶς^{aiampn} ὁ^{damp} λόγος^{nampc} οὗτος^{rdamp} πρός^{pa} πᾶς^{aiampn} υἱός^{nampc} Ἰσραήλ^{ngmsp}. **v.2** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} αὐτός^{rpamp} ἑκατόν$^{ac\text{—}n}$ καί^{cc} εἴκοσι$^{ac\text{—}n}$ ἔτος^{ngnpc} ἐγώ^{rpnms} εἰμί^{vipa1s} σήμερον^{b} οὐ^{b} δύναμαι^{vifm1s} ἔτι^{b} εἰσπορεύομαι^{vnpm} καί^{cc} ἐκπορεύομαι^{vnpm} κύριος^{nnmsc} δέ^{cc} λέγω^{viaa3s} πρός^{pa} ἐγώ^{rpams} οὐ^{b} διαβαίνω^{vifm2s} ὁ^{dams} Ἰορδάνης^{namsp} οὗτος^{rdams}.

μενος πρὸ προσώπου σου καθὰ ἐλάλησεν κύριος. καὶ ποιήσει 4
κύριος αὐτοῖς καθὰ ἐποίησεν Σηων καὶ Ωγ τοῖς δυσὶ βασιλεῦσιν
τῶν Αμορραίων οἳ ἦσαν πέραν τοῦ Ιορδάνου καὶ τῇ γῇ αὐτῶν κα-
θότι ἐξωλέθρευσεν αὐτούς. καὶ παρέδωκεν αὐτοὺς κύριος ὑμῖν 5
καὶ ποιήσετε αὐτοῖς καθότι ἐνετειλάμην ὑμῖν. ἀνδρίζου καὶ ἴ- 6
σχυε μὴ φοβοῦ μηδὲ δειλία μηδὲ πτοηθῇς ἀπὸ προσώπου αὐτῶν
ὅτι κύριος ὁ θεός σου ὁ προπορευόμενος μεθ' ὑμῶν ἐν ὑμῖν οὐ
μή σε ἀνῇ οὔτε μή σε ἐγκαταλίπῃ. καὶ ἐκάλεσεν Μωυσῆς Ἰ- 7
ησοῦν καὶ εἶπεν αὐτῷ ἔναντι παντὸς Ισραηλ ἀνδρίζου καὶ ἴσχυε
σὺ γὰρ εἰσελεύσῃ πρὸ προσώπου τοῦ λαοῦ τούτου εἰς τὴν γῆν
ἣν ὤμοσεν κύριος τοῖς πατράσιν ἡμῶν δοῦναι αὐτοῖς καὶ σὺ κα-
τακληρονομήσεις αὐτὴν αὐτοῖς. καὶ κύριος ὁ συμπορευόμενος 8
μετὰ σοῦ οὐκ ἀνήσει σε οὐδὲ μὴ ἐγκαταλίπῃ σε μὴ φοβοῦ μη-
δὲ δειλία. καὶ ἔγραψεν Μωυσῆς τὰ ῥήματα τοῦ νόμου τούτου 9
εἰς βιβλίον καὶ ἔδωκεν τοῖς ἱερεῦσιν τοῖς υἱοῖς Λευι τοῖς αἴρου-
σιν τὴν κιβωτὸν τῆς διαθήκης κυρίου καὶ τοῖς πρεσβυτέροις τῶν
υἱῶν Ισραηλ. καὶ ἐνετείλατο αὐτοῖς Μωυσῆς ἐν τῇ ἡμέρᾳ ἐ- 10
κείνῃ λέγων μετὰ ἑπτὰ ἔτη ἐν καιρῷ ἐνιαυτοῦ ἀφέσεως ἐν ἑορτῇ
σκηνοπηγίας. ἐν τῷ συμπορεύεσθαι πάντα Ισραηλ ὀφθῆναι ἐ- 11
νώπιον κυρίου τοῦ θεοῦ σου ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος
ἀναγνώσεσθε τὸν νόμον τοῦτον ἐναντίον παντὸς Ισραηλ εἰς τὰ ὦτα

---

v.3 κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg\text{-}s}$ ὁ^{dnms} προπορεύομαι^{vppmnms} πρό^{pg} πρόσωπον^{ngnsc} σύ$^{rpg\text{-}s}$ αὐτός^{rpnms} ἐξολεθρεύω^{vifa3s} ὁ^{danp} ἔθνος^{nanpc} οὗτος^{rdanp} ἀπό^{pg} πρόσωπον^{ngnsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} κατακληρονομέω^{vifa2s} αὐτός^{rpamp} καί^{cc} Ἰησοῦς^{nnmsp} ὁ^{dnms} προπορεύομαι^{vppmnms} πρό^{pg} πρόσωπον^{ngnsc} σύ$^{rpg\text{-}s}$ καθά^{cs} λαλέω^{viaa3s} κύριος^{nnmsc}. **v.4** καί^{cc} ποιέω^{vifa3s} κύριος^{nnmsc} αὐτός^{rpdmp} καθά^{cs} ποιέω^{viaa3s} Σηων^{ndmsp} καί^{cc} Ωγ^{ndmsp} ὁ^{ddmp} δύο^{acdmpn} βασιλεύς^{ndmpc} ὁ^{dgmp} Ἀμορραῖος^{ngmpp} ὅς^{rrnmp} εἰμί^{viia3p} πέραν^{pg} ὁ^{dgms} Ἰορδάνης^{ngmsp} καί^{cc} ὁ^{ddfs} γῆ^{ndfsc} αὐτός^{rpgmp} καθότι^{cs} ἐξολεθρεύω^{viaa3s} αὐτός^{rpamp}. **v.5** καί^{cc} παραδίδωμι^{viaa3s} αὐτός^{rpamp} κύριος^{nnmsc} σύ$^{rpd\text{-}p}$ καί^{cc} ποιέω^{vifa2p} αὐτός^{rpdmp} καθότι^{cs} ἐντέλλομαι^{viam1s} σύ$^{rpd\text{-}p}$. **v.6** ἀνδρίζομαι^{vdpm2s} καί^{cc} ἰσχύω^{vdpa2s} μή^{x} φοβέω^{vdpm2s} μηδέ^{x} δειλιάω^{vdpa2s} μηδέ^{x} πτοέω^{vsap2s} ἀπό^{pg} πρόσωπον^{ngnsc} αὐτός^{rpgmp} ὅτι^{cs} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg\text{-}s}$ ὁ^{dnms} προπορεύομαι^{vppmnms} μετά^{pg} σύ$^{rpg\text{-}p}$ ἐν^{pd} σύ$^{rpd\text{-}p}$ οὐ^{b} μή^{x} σύ$^{rpa\text{-}s}$ ἀνίημι^{vsaa3s} οὔτε^{cc} μή^{x} σύ$^{rpa\text{-}s}$ ἐγκαταλείπω^{vsaa3s}. **v.7** καί^{cc} καλέω^{viaa3s} Μωϋσῆς^{nnmsp} Ἰησοῦς^{namsp} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} ἔναντι^{pg} πᾶς^{aigmsn} Ἰσραήλ^{ngmsp} ἀνδρίζομαι^{vdpm2s} καί^{cc} ἰσχύω^{vdpa2s} σύ$^{rpn\text{-}s}$ γάρ^{cc} εἰσέρχομαι^{vifm2s} πρό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgms} λαός^{ngmsc} οὗτος^{rdgms} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} ὅς^{rrafs} ὄμνυμι^{viaa3s} κύριος^{nnmsc} ὁ^{ddmp} πατήρ^{ndmpc} ἐγώ$^{rpg\text{-}p}$ δίδωμι^{vnaa} αὐτός^{rpdmp} καί^{cc} σύ$^{rpn\text{-}s}$ κατακληρονομέω^{vifa2s} αὐτός^{rpafs} αὐτός^{rpdmp}. **v.8** καί^{cc} κύριος^{nnmsc} ὁ^{dnms} συμπορεύομαι^{vppmnms} μετά^{pg} σύ$^{rpg\text{-}s}$ οὐ^{b} ἀνίημι^{vifa3s} σύ$^{rpa\text{-}s}$ οὐδέ^{cc} μή^{x} ἐγκαταλείπω^{vsaa3s} σύ$^{rpa\text{-}s}$ μή^{x} φοβέω^{vdpm2s} μηδέ^{x} δειλιάω^{vdpa2s}. **v.9** καί^{cc} γράφω^{viaa3s} Μωϋσῆς^{nnmsp} ὁ^{danp} ῥῆμα^{nanpc} ὁ^{dgms} νόμος^{ngmsc} οὗτος^{rdgms} εἰς^{pa} βιβλίον^{nansc} καί^{cc} δίδωμι^{viaa3s} ὁ^{ddmp} ἱερεύς^{ndmpc} ὁ^{ddmp} υἱός^{ndmpc} Λευί^{ngmsp} ὁ^{ddmp} αἴρω^{vppadmp} ὁ^{dafs} κιβωτός^{nafsc} ὁ^{dgfs} διαθήκη^{ngfsc} κύριος^{ngmsc} καί^{cc} ὁ^{ddmp} πρεσβύτερος^{andmpc} ὁ^{dgmp} υἱός^{ngmpc} Ἰσραήλ^{ngmsp}. **v.10** καί^{cc} ἐντέλλομαι^{viam3s} αὐτός^{rpdmp} Μωϋσῆς^{nnmsp} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἐκεῖνος^{rddfs} λέγω^{vppanms} μετά^{pa} ἑπτά$^{ac\text{--}n}$ ἔτος^{nanpc} ἐν^{pd} καιρός^{ndmsc} ἐνιαυτός^{ngmsc} ἄφεσις^{ngfsc} ἐν^{pd} ἑορτή^{ndfsc} σκηνοπηγία^{ngfsc}.

12 αὐτῶν. ἐκκλησιάσας τὸν λαόν τοὺς ἄνδρας καὶ τὰς γυναῖκας
καὶ τὰ ἔκγονα καὶ τὸν προσήλυτον τὸν ἐν ταῖς πόλεσιν ὑμῶν ἵνα
ἀκούσωσιν καὶ ἵνα μάθωσιν φοβεῖσθαι κύριον τὸν θεὸν ὑμῶν καὶ
13 ἀκούσονται ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου τούτου. καὶ
οἱ υἱοὶ αὐτῶν οἳ οὐκ οἴδασιν ἀκούσονται καὶ μαθήσονται φοβεῖ-
σθαι κύριον τὸν θεὸν ὑμῶν πάσας τὰς ἡμέρας ὅσας αὐτοὶ ζῶσιν
ἐπὶ τῆς γῆς εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ιορδάνην ἐκεῖ κληρονο-
14 μῆσαι αὐτήν. καὶ εἶπεν κύριος πρὸς Μωυσῆν ἰδοὺ ἠγγίκασιν
αἱ ἡμέραι τοῦ θανάτου σου κάλεσον Ἰησοῦν καὶ στῆτε παρὰ τὰς
θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ ἐντελοῦμαι αὐτῷ καὶ ἐπο-
ρεύθη Μωυσῆς καὶ Ἰησοῦς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ
15 ἔστησαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ κα-
τέβη κύριος ἐν νεφέλῃ καὶ ἔστη παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ
μαρτυρίου καὶ ἔστη ὁ στῦλος τῆς νεφέλης παρὰ τὰς θύρας τῆς
16 σκηνῆς. καὶ εἶπεν κύριος πρὸς Μωυσῆν ἰδοὺ σὺ κοιμᾷ μετὰ
τῶν πατέρων σου καὶ ἀναστὰς ὁ λαὸς οὗτος ἐκπορνεύσει ὀπίσω
θεῶν ἀλλοτρίων τῆς γῆς εἰς ἣν οὗτος εἰσπορεύεται ἐκεῖ εἰς αὐτήν
καὶ ἐγκαταλείψουσίν με καὶ διασκεδάσουσιν τὴν διαθήκην μου
17 ἣν διεθέμην αὐτοῖς. καὶ ὀργισθήσομαι θυμῷ εἰς αὐτοὺς ἐν τῇ ἡ-
μέρᾳ ἐκείνῃ καὶ καταλείψω αὐτοὺς καὶ ἀποστρέψω τὸ πρόσωπόν
μου ἀπ᾽ αὐτῶν καὶ ἔσται κατάβρωμα καὶ εὑρήσουσιν αὐτὸν κακὰ

---

σον αἰχμαλωσίαν σου υἱὸς Αβινεεμ. τότε κατέβη κατάλειμμα 13
τοῖς ἰσχυροῖς λαὸς κυρίου κατέβη αὐτῷ ἐν τοῖς κραταιοῖς. ἐξ 14
ἐμοῦ Εφραιμ ἐξερρίζωσεν αὐτοὺς ἐν τῷ Αμαληκ ὀπίσω σου Βε-
νιαμιν ἐν τοῖς λαοῖς σου ἐν ἐμοὶ Μαχιρ κατέβησαν ἐξερευνῶντες
καὶ ἀπὸ Ζαβουλων ἕλκοντες ἐν ῥάβδῳ διηγήσεως γραμματέως.
καὶ ἀρχηγοὶ ἐν Ισσαχαρ μετὰ Δεββωρας καὶ Βαρακ οὕτως Βαρακ 15
ἐν κοιλάσιν ἀπέστειλεν ἐν ποσὶν αὐτοῦ εἰς τὰς μερίδας Ρουβην
μεγάλοι ἐξικνούμενοι καρδίαν. εἰς τί ἐκάθισαν ἀνὰ μέσον τῆς 16
διγομίας τοῦ ἀκοῦσαι συρισμοῦ ἀγγέλων εἰς διαιρέσεις Ρουβην

---

v.6 ἐν^{pd} ἡμέρα^{ndfpc} Σαμεγαρ^{ngmsp} υἱός^{ngmsc} Αναθ^{ngmsp} ἐν^{pd} ἡμέρα^{ndfpc} Ιαηλ^{ngfsp} ἐκλείπω^{viaa3p} ὁδός^{nafpc} καί^{cc} πορεύομαι^{viap3p} ἀτραπός^{nafpc} πορεύομαι^{viap3p} ὁδός^{nafpc} διαστρέφω^{vpxpafp}. **v.7** ἐκλείπω^{viaa3p} δυνατός^{annmpn} ἐν^{pd} Ἰσραήλ^{ndmsp} ἐκλείπω^{viaa3p} ἕως^{pg} ὅς^{rrgns} ἀνίστημι^{vsaa3s} Δεββωρα^{nnfsp} ἕως^{pg} ὅς^{rrgns} ἀνίστημι^{vsaa3s} μήτηρ^{nnfsc} ἐν^{pd} Ἰσραήλ^{ndmsp}. **v.8** ἐκλέγω^{viam3p} θεός^{nampc} καινός^{anampn} τότε^{b} πολεμέω^{viaa3p} πόλις^{nnfpc} ἄρχων^{ngmpc} θυρεός^{nnmsc} ἐάν^{cs} ὁράω^{vsap3s} καί^{cc} λόγχη^{nnfsc} ἐν^{pd} τεσσαράκοντα^{ac-n} χιλιάς^{ndfpc} ἐν^{pd} Ἰσραήλ^{ndmsp}. **v.9** ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ εἰς^{pa} ὁ^{danp} διατάσσω^{vpxpanp} ὁ^{ddms} Ἰσραήλ^{ndmsp} ὁ^{dnmp} ἑκουσιάζομαι^{vppmnmp} ἐν^{pd} λαός^{ndmsc} εὐλογέω^{vdpa2p} κύριος^{namsc}. **v.10** ἐπιβαίνω^{vpxanmp} ἐπί^{pg} ὄνος^{ngfsc} θῆλυς^{angfsn} μεσημβρία^{ngfsc} κάθημαι^{vppmnmp} ἐπί^{pg} κριτήριον^{ngnsc} καί^{cc} πορεύομαι^{vppmnmp} ἐπί^{pa} ὁδός^{nafpc} συνδράω^{viia3p} ἐπί^{pd} ὁδός^{ndfsc}. **v.11** διηγέομαι^{vdpm2p} ἀπό^{pg} φωνή^{ngfsc} ἀνακρούω^{vppmgmp} ἀνά^{pa} μέσος^{anansn} ὑδρεύω^{vpppgmp} ἐκεῖ^{b} δίδωμι^{vifa3p} δικαιοσύνη^{nafpc} κύριος^{ndmsc} δικαιοσύνη^{nafpc} αὔξάνω^{vdaa2s} ἐν^{pd} Ἰσραήλ^{ndmsp} τότε^{b} καταβαίνω^{viaa3s} εἰς^{pa} ὁ^{dafp} πόλις^{nafpc} λαός^{nnmsc} κύριος^{ngmsc}. **v.12** ἐξεγείρω^{vdpm2s} ἐξεγείρω^{vdpm2s} Δεββωρα^{nvfsp} ἐξεγείρω^{vdpm2s} ἐξεγείρω^{vdpm2s} λαλέω^{vdaa2s} ᾠδή^{nafsc} ἀνίστημι^{vdaa2s} Βαρακ^{nvmsp} καί^{cc} αἰχμαλωτίζω^{vdaa2s} αἰχμαλωσία^{nafsc} σύ$^{rpg-s}$ υἱός^{nnmsc} Αβινεεμ^{ngmsp}. **v.13** τότε^{b} καταβαίνω^{viaa3s} κατάλειμμα^{nnnsc} ὁ^{ddmp} ἰσχυρός^{andmpn} λαός^{nnmsc} κύριος^{ngmsc} καταβαίνω^{viaa3s} αὐτός^{rpdms} ἐν^{pd} ὁ^{ddmp} κραταιός^{andmpn}. **v.14** ἐκ^{pg} ἐγώ$^{rpg-s}$ Ἐφραίμ^{nnmsp} ἐκριζόω^{viaa3s} αὐτός^{rpamp} ἐν^{pd} ὁ^{ddms} Αμαληκ^{ndmsp} ὀπίσω^{pg} σύ$^{rpg-s}$ Βενιαμίν^{nvmsp} ἐν^{pd} ὁ^{ddmp} λαός^{ndmpc} σύ$^{rpg-s}$ ἐν^{pd} ἐγώ$^{rpd-s}$ Μαχιρ^{nd-sp} καταβαίνω^{viaa3p} ἐξερευνάω^{vppanmp} καί^{cc} ἀπό^{pg} Ζαβουλών^{ngmsp} ἕλκω^{vppanmp} ἐν^{pd} ῥάβδος^{ndfsc} διήγησις^{ndfsc} γραμματεύς^{ngmsc}. **v.15** καί^{cc} ἀρχηγός^{nnmpc} ἐν^{pd} Ἰσσαχάρ^{ndmsp} μετά^{pg} Δεββωρα^{ngfsp} καί^{cc} Βαράκ^{ngmsp} οὕτως^{b} Βαράκ^{namsp} ἐν^{pd} κοιλάς^{ndfpc} ἀποστέλλω^{viaa3s} ἐν^{pd} πούς^{ndmpc} αὐτός^{rpgms} εἰς^{pa} ὁ^{dafp} μερίς^{nafpc} Ρουβήν^{ngmsp} μέγας^{annmpn} ἐξικνέομαι^{vppmnmp} καρδία^{nafsc}.

17 μεγάλοι ἐξετασμοὶ καρδίας. Γαλααδ ἐν τῷ πέραν τοῦ Ιορδάνου
ἐσκήνωσεν καὶ Δαν εἰς τί παροικεῖ πλοίοις Ασηρ ἐκάθισεν πα-
18 ραλίαν θαλασσῶν καὶ ἐπὶ διεξόδοις αὐτοῦ σκηνώσει. Ζαβουλων
λαὸς ὠνείδισεν ψυχὴν αὐτοῦ εἰς θάνατον καὶ Νεφθαλι ἐπὶ ὕψη
19 ἀγροῦ. ἦλθον αὐτῶν βασιλεῖς παρετάξαντο τότε ἐπολέμησαν
βασιλεῖς Χανααν ἐν Θανααχ ἐπὶ ὕδατι Μεγεδδω δῶρον ἀργυρίου
20 οὐκ ἔλαβον. ἐξ οὐρανοῦ παρετάξαντο οἱ ἀστέρες ἐκ τρίβων αὐτῶν
21 παρετάξαντο μετὰ Σισαρα. χειμάρρους Κισων ἐξέσυρεν αὐτούς
χειμάρρους ἀρχαίων χειμάρρους Κισων καταπατήσει αὐτὸν ψυχή
22 μου δυνατή. τότε ἐνεποδίσθησαν πτέρναι ἵππου σπουδῇ ἔσπευ-
23 σαν ἰσχυροὶ αὐτοῦ. καταρᾶσθε Μηρωζ εἶπεν ἄγγελος κυρίου
καταρᾶσθε ἐπικατάρατος πᾶς ὁ κατοικῶν αὐτήν ὅτι οὐκ ἦλθοσαν
24 εἰς βοήθειαν κυρίου εἰς βοήθειαν ἐν δυνατοῖς. εὐλογηθείη ἐν
γυναιξὶν Ιαηλ γυνὴ Χαβερ τοῦ Κιναίου ἀπὸ γυναικῶν ἐν σκηναῖς
25 εὐλογηθείη. ὕδωρ ᾔτησεν γάλα ἔδωκεν ἐν λεκάνῃ ὑπερεχόντων
26 προσήνεγκεν βούτυρον. χεῖρα αὐτῆς ἀριστερὰν εἰς πάσσαλον
ἐξέτεινεν καὶ δεξιὰν αὐτῆς εἰς σφῦραν κοπιώντων καὶ ἐσφυροκό-
πησεν Σισαρα διήλωσεν κεφαλὴν αὐτοῦ καὶ ἐπάταξεν διήλωσεν
27 κρόταφον αὐτοῦ. ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς κατεκυλίσθη ἔπε-
σεν καὶ ἐκοιμήθη ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς κατακλιθεὶς ἔπεσεν

---

v.16 εἰς^{pa} τίς^{rqans} καθίζω^{viaa3p} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgfs} διγομία^{ngfsc} ὁ^{dgns} ἀκούω^{vnaa} συρισμός^{ngmsc} ἄγγελος^{ngmpc} εἰς^{pa} διαίρεσις^{nafpc} Ῥουβήν^{ngmsp} μέγας^{annmpn} ἐξετασμός^{nnmpc} καρδία^{ngfsc}. **v.17** Γαλαάδ^{nnmsp} ἐν^{pd} ὁ^{ddns} πέραν^{b} ὁ^{dgms} Ἰορδάνης^{ngmsp} σκηνόω^{viaa3s} καί^{cc} Δάν^{nnmsp} εἰς^{pa} τίς^{rqans} παροικέω^{vipa3s} πλοῖον^{ndnpc} Ασηρ^{nnmsp} καθίζω^{viaa3s} παραλία^{nafsc} θάλασσα^{ngfpc} καί^{cc} ἐπί^{pd} διέξοδος^{ndfpc} αὐτός^{rpgms} σκηνόω^{vifa3s}. **v.18** Ζαβουλών^{nnmsp} λαός^{nnmsc} ὀνειδίζω^{viaa3s} ψυχή^{nafsc} αὐτός^{rpgms} εἰς^{pa} θάνατος^{namsc} καί^{cc} Νεφθαλι^{nnmsp} ἐπί^{pa} ὕψος^{nanpc} ἀγρός^{ngmsc}. **v.19** ἔρχομαι^{viaa3p} αὐτός^{rpgmp} βασιλεύς^{nnmpc} παρατάσσω^{viam3p} τότε^{b} πολεμέω^{viaa3p} βασιλεύς^{nnmpc} Χανάαν^{ngfsp} ἐν^{pd} Θαναακ^{nd-sp} ἐπί^{pd} ὕδωρ^{ndnsc} Μεγεδδω^{ng-sp} δῶρον^{nansc} ἀργύριον^{ngnsc} οὐ^{b} λαμβάνω^{viaa3p}. **v.20** ἐκ^{pg} οὐρανός^{ngmsc} παρατάσσω^{viam3p} ὁ^{dnmp} ἀστήρ^{nnmpc} ἐκ^{pg} τρίβος^{ngfpc} αὐτός^{rpgmp} παρατάσσω^{viam3p} μετά^{pg} Σισαρα^{ngmsp}. **v.21** χείμαρρος^{nnmsc} Κισων^{ngfsp} ἐκσύρω^{viaa3s} αὐτός^{rpamp} χείμαρρος^{nnmsc} ἀρχαῖος^{angmpn} χείμαρρος^{nnmsc} Κισων^{ngfsp} καταπατέω^{vifa3s} αὐτός^{rpams} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ δυνατός^{annfsn}. **v.22** τότε^{b} ἐμποδίζω^{viap3p} πτέρνα^{nnfpc} ἵππος^{ngmsc} σπουδή^{ndfsc} σπεύδω^{viaa3p} ἰσχυρός^{annmpn} αὐτός^{rpgms}. **v.23** καταράομαι^{vdpm2p} Μηρωζ^{nafsp} λέγω^{viaa3s} ἄγγελος^{nnmsc} κύριος^{ngmsc} καταράομαι^{vdpm2p} ἐπικατάρατος^{annmsn} πᾶς^{ainmsn} ὁ^{dnms} κατοικέω^{vppanms} αὐτός^{rpafs} ὅτι^{cs} οὐ^{b} ἔρχομαι^{viaa3p} εἰς^{pa} βοήθεια^{nafsc} κύριος^{ngmsc} εἰς^{pa} βοήθεια^{nafsc} ἐν^{pd} δυνατός^{andmpn}. **v.24** εὐλογέω^{voap3s} ἐν^{pd} γυνή^{ndfpc} Ιαηλ^{nnfsp} γυνή^{nnfsc} Χαβερ^{ngmsp} ὁ^{dgms} Κιναῖος^{ngmsp} ἀπό^{pg} γυνή^{ngfpc} ἐν^{pd} σκηνή^{ndfpc} εὐλογέω^{voap3s}. **v.25** ὕδωρ^{nansc} αἰτέω^{viaa3s} γάλα^{nansc} δίδωμι^{viaa3s} ἐν^{pd} λεκάνη^{ndfsc} ὑπερέχω^{vppagmp} προσφέρω^{viaa3s} βούτυρον^{nansc}. **v.26** χείρ^{nafsc} αὐτός^{rpgfs} ἀριστερός^{anafsn} εἰς^{pa} πάσσαλος^{namsc} ἐκτείνω^{viaa3s} καί^{cc} δεξιός^{anafsn} αὐτός^{rpgfs} εἰς^{pa} σφῦρα^{nafsc} κοπιάω^{vppagmp} καί^{cc} σφυροκοπέω^{viaa3s} Σισαρα^{namsp} διηλόω^{viaa3s} κεφαλή^{nafsc} αὐτός^{rpgms} καί^{cc} πατάσσω^{viaa3s} διηλόω^{viaa3s} κρόταφος^{namsc} αὐτός^{rpgms}.

καθὼς κατεκλίθη ἐκεῖ ἔπεσεν ἐξοδευθείς. διὰ τῆς θυρίδος παρέκυψεν μήτηρ Σισαρα ἐκτὸς τοῦ τοξικοῦ διότι ᾐσχύνθη ἅρμα αὐτοῦ διότι ἐχρόνισαν πόδες ἁρμάτων αὐτοῦ. αἱ σοφαὶ ἄρχουσαι αὐτῆς ἀπεκρίθησαν πρὸς αὐτήν καὶ αὐτὴ ἀπέστρεψεν λόγους αὐτῆς ἑαυτῇ. οὐχ εὑρήσουσιν αὐτὸν διαμερίζοντα σκῦλα οἰκτίρμων οἰκτιρήσει εἰς κεφαλὴν ἀνδρός σκῦλα βαμμάτων τῷ Σισαρα σκῦλα βαμμάτων ποικιλίας βάμματα ποικιλτῶν αὐτά τῷ τραχήλῳ αὐτοῦ σκῦλα. οὕτως ἀπόλοιντο πάντες οἱ ἐχθροί σου κύριε καὶ οἱ ἀγαπῶντες αὐτὸν ὡς ἔξοδος ἡλίου ἐν δυνάμει αὐτοῦ καὶ ἡσύχασεν ἡ γῆ τεσσαράκοντα ἔτη.

καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ τὸ πονηρὸν ἐνώπιον κυρίου καὶ **6** ἔδωκεν αὐτοὺς κύριος ἐν χειρὶ Μαδιαμ ἑπτὰ ἔτη. καὶ ἴσχυσεν χεὶρ Μαδιαμ ἐπὶ Ισραηλ καὶ ἐποίησαν ἑαυτοῖς οἱ υἱοὶ Ισραηλ ἀπὸ προσώπου Μαδιαμ τὰς τρυμαλιὰς τὰς ἐν τοῖς ὄρεσιν καὶ τὰ σπήλαια καὶ τὰ κρεμαστά. καὶ ἐγένετο ἐὰν ἔσπειραν οἱ υἱοὶ Ισραηλ καὶ ἀνέβαιναν Μαδιαμ καὶ Αμαληκ καὶ οἱ υἱοὶ ἀνατολῶν συναν-
έβαινον αὐτοῖς. καὶ παρενέβαλον εἰς αὐτοὺς καὶ κατέφθειραν τοὺς καρποὺς αὐτῶν ἕως ἐλθεῖν εἰς Γάζαν καὶ οὐ κατέλιπον ὑπόστασιν ζωῆς ἐν τῇ γῇ Ισραηλ οὐδὲ ἐν τοῖς ποιμνίοις ταῦρον καὶ ὄνον. ὅτι αὐτοὶ καὶ αἱ κτήσεις αὐτῶν ἀνέβαινον καὶ αἱ σκηναὶ αὐτῶν παρεγίνοντο καθὼς ἀκρὶς εἰς πλῆθος καὶ αὐτοῖς καὶ τοῖς

---

v.27 ἀνάpa μέσοςanansn ὁdgmp πούςngmpc αὐτόςrpgfs κατακυλίωviap3s πίπτωviaa3s καίcc κοιμάομαιviap3s ἀνάpa μέσοςanansn ὁdgmp πούςngmpc αὐτόςrpgfs κατακλίνωvpapnms πίπτωviaa3s καθώςcs κατακλίνωviap3s ἐκεῖb πίπτωviaa3s ἐξοδεύωvpapnms. **v.28** διάpg ὁdgfs θυρίςngfsc παρακύπτωviaa3s μήτηρnnfsc Σισαραngmsp ἐκτόςpg ὁdgms τοξικόςangmsn διότιcs αἰσχύνωviap3s ἅρμαnnnsc αὐτόςrpgms διότιcs χρονίζωviaa3p πούςnnmpc ἅρμαngnpc αὐτόςrpgms. **v.29** ὁdnfp σοφόςannfpn ἄρχωvppanfp αὐτόςrpgfs ἀποκρίνομαιviap3p πρόςpa αὐτόςrpafs καίcc αὐτόςrpnfs ἀποστρέφωviaa3s λόγοςnampc αὐτόςrpgfs ἑαυτοῦrxdfs. **v.30** οὐb εὑρίσκωvifa3p αὐτόςrpams διαμερίζωvppaams σκῦλονnanpc οἰκτίρμωνannmsn οἰκτίρωvifa3s εἰςpa κεφαλήnafsc ἀνήρngmsc σκῦλονnnnpc βάμμαngnpc ὁddms Σισαραndmsp σκῦλονnnnpc βάμμαngnpc ποικιλίαngfsc βάμμαnnnpc ποικιλτῆςngmpc αὐτόςrpnnp ὁddms τράχηλοςndmsc αὐτόςrpgms σκῦλονnnnpc. **v.31** οὕτωςb ἀπόλλυμιvoam3p πᾶςainmpn ὁdnmp ἐχθρόςannmpn σύrpg-s κύριοςnvmsc καίcc ὁdnmp ἀγαπάωvppanmp αὐτόςrpams ὡςcs ἔξοδοςnnfsc ἥλιοςngmsc ἐνpd δύναμιςndfsc αὐτόςrpgms καίcc ἡσυχάζωviaa3s ὁdnfs γῆnnfsc τεσσαράκοντα^{ac-n} ἔτος^{nanpc}. **6. v.1** καίcc ποιέωviaa3p ὁdnmp υἱόςnnmpc Ἰσραήλngmsp ὁdans πονηρόςanansn ἐνώπιονpg κύριοςngmsc καίcc δίδωμιviaa3s αὐτόςrpamp κύριοςnnmsc ἐνpd χεὶρndfsc Μαδιάμngfsp ἑπτά$^{ac-n}$ ἔτος^{nanpc}. **v.2** καίcc ἰσχύωviaa3s χεὶρnnfsc Μαδιάμngfsp ἐπίpa Ἰσραήλnamsp καίcc ποιέωviaa3p ἑαυτοῦrxdmp ὁdnmp υἱόςnnmpc Ἰσραήλngmsp ἀπόpg πρόσωπονngnsc Μαδιάμngfsp ὁdafp τρυμαλιάnafpc ὁdafp ἐνpd ὁddnp ὄροςndnpc καίcc ὁdanp σπήλαιονnanpc καίcc ὁdanp κρεμαστόςananpn. **v.3** καίcc γίνομαιviam3s ἐάνcs σπείρωviaa3p ὁdnmp υἱόςnnmpc Ἰσραήλngmsp καίcc ἀναβαίνωviia3p Μαδιάμnnfsp καίcc Αμαληκnnmsp καίcc ὁdnmp υἱόςnnmpc ἀνατολήngfpc συναναβαίνωviia3p αὐτόςrpdmp. **v.4** καίcc παρεμβάλλωviaa3p εἰςpa αὐτόςrpamp καίcc καταφθείρωviaa3p ὁdamp καρπόςnampc αὐτόςrpgmp ἕωςpg ἔρχομαιvnaa εἰςpa Γάζαnafsp καίcc οὐb καταλείπωviaa3p ὑπόστασιςnafsc ζωήngfsc ἐνpd ὁddfs γῆndfsc Ἰσραήλngmsp οὐδέcc ἐνpd ὁddnp ποίμνιονndnpc ταῦροςnamsc καίcc ὄνοςnamsc.

καμήλοις αὐτῶν οὐκ ἦν ἀριθμός καὶ ἤρχοντο εἰς τὴν γῆν Ισραηλ
6 καὶ διέφθειρον αὐτήν. καὶ ἐπτώχευσεν Ισραηλ σφόδρα ἀπὸ προ-
7 σώπου Μαδιαμ καὶ ἐβόησαν οἱ υἱοὶ Ισραηλ πρὸς κύριον. ἀπὸ
8 προσώπου Μαδιαμ. καὶ ἐξαπέστειλεν κύριος ἄνδρα προφήτην
πρὸς τοὺς υἱοὺς Ισραηλ καὶ εἶπεν αὐτοῖς τάδε λέγει κύριος ὁ θεὸς
Ισραηλ ἐγώ εἰμι ὃς ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου καὶ ἐξήγαγον
9 ὑμᾶς ἐξ οἴκου δουλείας ὑμῶν. καὶ ἐρρυσάμην ὑμᾶς ἐκ χειρὸς
Αἰγύπτου καὶ ἐκ χειρὸς πάντων τῶν θλιβόντων ὑμᾶς καὶ ἐξέβαλον
10 αὐτοὺς ἐκ προσώπου ὑμῶν καὶ ἔδωκα ὑμῖν τὴν γῆν αὐτῶν. καὶ
εἶπα ὑμῖν ἐγὼ κύριος ὁ θεὸς ὑμῶν οὐ φοβηθήσεσθε τοὺς θεοὺς
τοῦ Αμορραίου ἐν οἷς ὑμεῖς καθήσεσθε ἐν τῇ γῇ αὐτῶν καὶ οὐκ
11 εἰσηκούσατε τῆς φωνῆς μου. καὶ ἦλθεν ἄγγελος κυρίου καὶ ἐ-
κάθισεν ὑπὸ τὴν τερέμινθον τὴν ἐν Εφραθα τὴν Ιωας πατρὸς τοῦ
Εσδρι καὶ Γεδεων υἱὸς αὐτοῦ ῥαβδίζων σῖτον ἐν ληνῷ εἰς ἐκφυγεῖν
12 ἀπὸ προσώπου τοῦ Μαδιαμ. καὶ ὤφθη αὐτῷ ὁ ἄγγελος κυρίου
καὶ εἶπεν πρὸς αὐτόν κύριος μετὰ σοῦ ἰσχυρὸς τῶν δυνάμεων.
13 καὶ εἶπεν πρὸς αὐτὸν Γεδεων ἐν ἐμοί κύριέ μου καὶ εἰ ἔστιν κύ-
ριος μεθ᾽ ἡμῶν εἰς τί εὗρεν ἡμᾶς τὰ κακὰ ταῦτα καὶ ποῦ ἐστιν
πάντα τὰ θαυμάσια αὐτοῦ ἃ διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν
λέγοντες μὴ οὐχὶ ἐξ Αἰγύπτου ἀνήγαγεν ἡμᾶς κύριος καὶ νῦν

---

v.5 ὅτι^{cs} αὐτός^{rpnmp} καί^{cc} ὁ^{dnfp} κτῆσις^{nnfpc} αὐτός^{rpgmp} ἀναβαίνω^{viia3p} καί^{cc} ὁ^{dnfp} σκηνή^{nnfpc} αὐτός^{rpgmp} παραγίνομαι^{viim3p} καθώς^{cs} ἀκρίς^{nnfsc} εἰς^{pa} πλῆθος^{nansc} καί^{cc} αὐτός^{rpdmp} καί^{cc} ὁ^{ddmp} κάμηλος^{ndmpc} αὐτός^{rpgmp} οὐ^{b} εἰμί^{viia3s} ἀριθμός^{nnmsc} καί^{cc} ἔρχομαι^{viim3p} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} Ἰσραήλ^{ngmsp} καί^{cc} διαφθείρω^{viia3p} αὐτός^{rpafs}. **v.6** καί^{cc} πτωχεύω^{viaa3s} Ἰσραήλ^{nnmsp} σφόδρα^{b} ἀπό^{pg} πρόσωπον^{ngnsc} Μαδιάμ^{nnfsp} καί^{cc} βοάω^{viaa3p} ὁ^{dnmp} υἱός^{nnmpc} Ἰσραήλ^{ngmsp} πρός^{pa} κύριος^{namsc}. **v.7** ἀπό^{pg} πρόσωπον^{ngnsc} Μαδιάμ^{ngfsp}. **v.8** καί^{cc} ἐξαποστέλλω^{viaa3s} κύριος^{nnmsc} ἀνήρ^{namsc} προφήτης^{namsc} πρός^{pa} ὁ^{damp} υἱός^{nampc} Ἰσραήλ^{ngmsp} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdmp} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} Ἰσραήλ^{ngmsp} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} ὅς^{rrnms} ἀνάγω^{viaa1s} σύ$^{rpa-p}$ ἐκ^{pg} γῆ^{ngfsc} Αἴγυπτος^{ngfsp} καί^{cc} ἐξάγω^{viaa1s} σύ$^{rpa-p}$ ἐκ^{pg} οἶκος^{ngmsc} δουλεία^{ngfsc} σύ$^{rpg-p}$. **v.9** καί^{cc} ῥύομαι^{viam1s} σύ$^{rpa-p}$ ἐκ^{pg} χείρ^{ngfsc} Αἴγυπτος^{ngfsp} καί^{cc} ἐκ^{pg} χείρ^{ngfsc} πᾶς^{aigmpn} ὁ^{dgmp} θλίβω^{vppagmp} σύ$^{rpa-p}$ καί^{cc} ἐκβάλλω^{viaa1s} αὐτός^{rpamp} ἐκ^{pg} πρόσωπον^{ngnsc} σύ$^{rpg-p}$ καί^{cc} δίδωμι^{viaa1s} σύ$^{rpd-p}$ ὁ^{dafs} γῆ^{nafsc} αὐτός^{rpgmp}. **v.10** καί^{cc} λέγω^{viaa1s} σύ$^{rpd-p}$ ἐγώ$^{rpn-s}$ κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg-p}$ οὐ^{b} φοβέω^{vifp2p} ὁ^{damp} θεός^{nampc} ὁ^{dgms} Ἀμορραῖος^{ngmsp} ἐν^{pd} ὅς^{rrdmp} σύ$^{rpn-p}$ κάθημαι^{vifm2p} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} αὐτός^{rpgmp} καί^{cc} οὐ^{b} εἰσακούω^{viaa2p} ὁ^{dgfs} φωνή^{ngfsc} ἐγώ$^{rpg-s}$. **v.11** καί^{cc} ἔρχομαι^{viaa3s} ἄγγελος^{nnmsc} κύριος^{ngmsc} καί^{cc} καθίζω^{viaa3s} ὑπό^{pa} ὁ^{dafs} τερέμινθος^{nafsc} ὁ^{dafs} ἐν^{pd} Εφραθα^{nd-sp} ὁ^{dafs} Ἰωάς^{ngmsp} πατήρ^{ngmsc} ὁ^{dgms} Εσδρι^{ngmsp} καί^{cc} Γεδεών^{nnmsp} υἱός^{nnmsc} αὐτός^{rpgms} ῥαβδίζω^{vppanms} σῖτος^{namsc} ἐν^{pd} ληνός^{ndfsc} εἰς^{pa} ἐκφεύγω^{vnaa} ἀπό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgms} Μαδιάμ^{ngmsp}. **v.12** καί^{cc} ὁράω^{viap3s} αὐτός^{rpdms} ὁ^{dnms} ἄγγελος^{nnmsc} κύριος^{ngmsc} καί^{cc} λέγω^{viaa3s} πρός^{pa} αὐτός^{rpams} κύριος^{nnmsc} μετά^{pg} σύ$^{rpg-s}$ ἰσχυρός^{annmsn} ὁ^{dgfp} δύναμις^{ngfpc}.

ἐξέρριψεν ἡμᾶς καὶ ἔδωκεν ἡμᾶς ἐν χειρὶ Μαδιαμ. καὶ ἐπέστρε- 14
ψεν πρὸς αὐτὸν ὁ ἄγγελος κυρίου καὶ εἶπεν πορεύου ἐν ἰσχύι σου
ταύτῃ καὶ σώσεις τὸν Ισραηλ ἐκ χειρὸς Μαδιαμ ἰδοὺ ἐξαπέστειλά
σε. καὶ εἶπεν πρὸς αὐτὸν Γεδεων ἐν ἐμοί κύριέ μου ἐν τίνι σώσω 15
τὸν Ισραηλ ἰδοὺ ἡ χιλιάς μου ἠσθένησεν ἐν Μανασση καὶ ἐγώ
εἰμι ὁ μικρότερος ἐν οἴκῳ πατρός μου. καὶ εἶπεν πρὸς αὐτὸν ὁ 16
ἄγγελος κυρίου κύριος ἔσται μετὰ σοῦ καὶ πατάξεις τὴν Μαδιαμ
ὡσεὶ ἄνδρα ἕνα. καὶ εἶπεν πρὸς αὐτὸν Γεδεων εἰ δὲ εὗρον ἔλεος 17
ἐν ὀφθαλμοῖς σου καὶ ποιήσεις μοι σήμερον πᾶν ὅ τι ἐλάλησας
μετ᾽ ἐμοῦ. μὴ χωρισθῇς ἐντεῦθεν ἕως τοῦ ἐλθεῖν με πρὸς σέ 18
καὶ ἐξοίσω τὴν θυσίαν καὶ θήσω ἐνώπιόν σου καὶ εἶπεν ἐγώ εἰμι
καθίομαι ἕως τοῦ ἐπιστρέψαι σε. καὶ Γεδεων εἰσῆλθεν καὶ ἐποί- 19
ησεν ἔριφον αἰγῶν καὶ οιφι ἀλεύρου ἄζυμα καὶ τὰ κρέα ἔθηκεν
ἐν τῷ κοφίνῳ καὶ τὸν ζωμὸν ἔβαλεν ἐν τῇ χύτρᾳ καὶ ἐξήνεγκεν αὐ-
τὰ πρὸς αὐτὸν ὑπὸ τὴν τερέμινθον καὶ προσήγγισεν. καὶ εἶπεν 20
πρὸς αὐτὸν ὁ ἄγγελος τοῦ θεοῦ λαβὲ τὰ κρέα καὶ τὰ ἄζυμα καὶ
θὲς πρὸς τὴν πέτραν ἐκείνην καὶ τὸν ζωμὸν ἐχόμενα ἔκχεε καὶ
ἐποίησεν οὕτως. καὶ ἐξέτεινεν ὁ ἄγγελος κυρίου τὸ ἄκρον τῆς 21
ῥάβδου τῆς ἐν χειρὶ αὐτοῦ καὶ ἥψατο τῶν κρεῶν καὶ τῶν ἀζύμων

---

v.13 καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] Γεδεών[nnmsp] ἐν[pd] ἐγώ[rpd-s] κύριος[nvmsc] ἐγώ[rpg-s] καί[cc] εἰ[cs] εἰμί[vipa3s] κύριος[nnmsc] μετά[pg] ἐγώ[rpg-p] εἰς[pa] τίς[rqans] εὑρίσκω[viaa3s] ἐγώ[rpa-p] ὁ[dnnp] κακός[annnpn] οὗτος[rdnnp] καί[cc] ποῦ[b] εἰμί[vipa3s] πᾶς[ainnpn] ὁ[dnnp] θαυμάσιος[annnpn] αὐτός[rpgms] ὅς[rranp] διηγέομαι[viam3p] ἐγώ[rpd-p] ὁ[dnmp] πατήρ[nnmpc] ἐγώ[rpg-p] λέγω[vppanmp] μή[x] οὐχί[b] ἐκ[pg] Αἴγυπτος[ngfsp] ἀνάγω[viaa3s] ἐγώ[rpa-p] κύριος[nnmsc] καί[cc] νῦν[b] ἐκρίπτω[viaa3s] ἐγώ[rpa-p] καί[cc] δίδωμι[viaa3s] ἐγώ[rpa-p] ἐν[pd] χείρ[ndfsc] Μαδιάμ[ngfsp]. **v.14** καί[cc] ἐπιστρέφω[viaa3s] πρός[pa] αὐτός[rpams] ὁ[dnms] ἄγγελος[nnmsc] κύριος[ngmsc] καί[cc] λέγω[viaa3s] πορεύομαι[vdpm2s] ἐν[pd] ἰσχύς[ndfsc] σύ[rpg-s] οὗτος[rddfs] καί[cc] σῴζω[vifa2s] ὁ[dams] Ἰσραήλ[namsp] ἐκ[pg] χείρ[ngfsc] Μαδιάμ[ngfsp] ἰδού[i] ἐξαποστέλλω[viaa1s] σύ[rpa-s]. **v.15** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] Γεδεών[nnmsp] ἐν[pd] ἐγώ[rpd-s] κύριος[nvmsc] ἐγώ[rpg-s] ἐν[pd] τίς[rqdns] σῴζω[vifa1s] ὁ[dams] Ἰσραήλ[namsp] ἰδού[i] ὁ[dnfs] χιλιάς[nnfsc] ἐγώ[rpg-s] ἀσθενέω[viaa3s] ἐν[pd] Μανασσῆ[ndmsp] καί[cc] ἐγώ[rpn-s] εἰμί[vipa1s] ὁ[dnms] μικρός[annmsc] ἐν[pd] οἶκος[ndmsc] πατήρ[ngmsc] ἐγώ[rpg-s]. **v.16** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] ὁ[dnms] ἄγγελος[nnmsc] κύριος[ngmsc] κύριος[nnmsc] εἰμί[vifm3s] μετά[pg] σύ[rpg-s] καί[cc] πατάσσω[vifa2s] ὁ[dafs] Μαδιάμ[nafsp] ὡσεί[x] ἀνήρ[namsc] εἷς[acamsn]. **v.17** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] Γεδεών[nnmsp] εἰ[cs] δέ[cc] εὑρίσκω[viaa1s] ἔλεος[nnnsc] ἐν[pd] ὀφθαλμός[ndmpc] σύ[rpg-s] καί[cc] ποιέω[vifa2s] ἐγώ[rpd-s] σήμερον[b] πᾶς[aiansn] ὅς[rrans] τι-σριανς λαλέω[viaa2s] μετά[pg] ἐγώ[rpg-s]. **v.18** μή[x] χωρίζω[vsap2s] ἐντεῦθεν[b] ἕως[cs] ὁ[dgns] ἔρχομαι[vnaa] ἐγώ[rpa-s] πρός[pa] σύ[rpa-s] καί[cc] ἐκφέρω[vifa1s] ὁ[dafs] θυσία[nafsc] καί[cc] τίθημι[vifa1s] ἐνώπιον[pg] σύ[rpg-s] καί[cc] λέγω[viaa3s] ἐγώ[rpn-s] εἰμί[vipa1s] καθίζω[vifm1s] ἕως[cs] ὁ[dgns] ἐπιστρέφω[vnaa] σύ[rpa-s]. **v.19** καί[cc] Γεδεών[nnmsp] εἰσέρχομαι[viaa3s] καί[cc] ποιέω[viaa3s] ἔριφος[namsc] αἴξ[ngmpc] καί[cc] οιφι[t] ἄλευρον[ngnsc] ἄζυμος[ananpn] καί[cc] ὁ[danp] κρέας[nanpc] τίθημι[viaa3s] ἐν[pd] ὁ[ddms] κόφινος[ndmsc] καί[cc] ὁ[dams] ζωμός[namsc] βάλλω[viaa3s] ἐν[pd] ὁ[ddfs] χύτρα[ndfsc] καί[cc] ἐκφέρω[viaa3s] αὐτός[rpanp] πρός[pa] αὐτός[rpams] ὑπό[pa] ὁ[dafs] τερέμινθος[nafsc] καί[cc] προσεγγίζω[viaa3s]. **v.20** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] ὁ[dnms] ἄγγελος[nnmsc] ὁ[dgms] θεός[ngmsc] λαμβάνω[vdaa2s] ὁ[danp] κρέας[nanpc] καί[cc] ὁ[danp] ἄζυμος[ananpn] καί[cc] τίθημι[vdaa2s] πρός[pa] ὁ[dafs] πέτρα[nafsc] ἐκεῖνος[rdafs] καί[cc] ὁ[dams] ζωμός[namsc] ἔχω[vppman'pb] ἐκχέω[vdpa2s] καί[cc] ποιέω[viaa3s] οὕτως[b].

καὶ ἀνέβη πῦρ ἐκ τῆς πέτρας καὶ κατέφαγεν τὰ κρέα καὶ τοὺς ἀζύμους καὶ ὁ ἄγγελος κυρίου ἐπορεύθη ἀπὸ ὀφθαλμῶν αὐτοῦ.
22 καὶ εἶδεν Γεδεων ὅτι ἄγγελος κυρίου οὗτός ἐστιν καὶ εἶπεν Γεδεων
ᾶ ᾶ κύριέ μου κύριε ὅτι εἶδον ἄγγελον κυρίου πρόσωπον πρὸς
23 πρόσωπον. καὶ εἶπεν αὐτῷ κύριος εἰρήνη σοι μὴ φοβοῦ οὐ μὴ
24 ἀποθάνῃς. καὶ ᾠκοδόμησεν ἐκεῖ Γεδεων θυσιαστήριον τῷ κυρίῳ καὶ ἐπεκάλεσεν αὐτῷ εἰρήνη κυρίου ἕως τῆς ἡμέρας ταύτης ἔτι
25 αὐτοῦ ὄντος ἐν Εφραθα πατρὸς τοῦ Εσδρι. καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπεν αὐτῷ κύριος λαβὲ τὸν μόσχον τὸν ταῦρον ὅς ἐστιν τῷ πατρί σου καὶ μόσχον δεύτερον ἑπταετῆ καὶ καθελεῖς τὸ θυσιαστήριον τοῦ Βααλ ὅ ἐστιν τῷ πατρί σου καὶ τὸ ἄλσος τὸ
26 ἐπ᾽ αὐτὸ ὀλεθρεύσεις. καὶ οἰκοδομήσεις θυσιαστήριον κυρίῳ τῷ θεῷ σου ἐπὶ κορυφὴν τοῦ Μαουεκ τούτου ἐν τῇ παρατάξει καὶ λήμψῃ τὸν μόσχον τὸν δεύτερον καὶ ἀνοίσεις ὁλοκαύτωμα ἐν τοῖς
27 ξύλοις τοῦ ἄλσους οὗ ἐξολεθρεύσεις. καὶ ἔλαβεν Γεδεων δέκα ἄνδρας ἀπὸ τῶν δούλων ἑαυτοῦ καὶ ἐποίησεν ὃν τρόπον ἐλάλησεν πρὸς αὐτὸν κύριος καὶ ἐγενήθη ὡς ἐφοβήθη τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ καὶ τοὺς ἄνδρας τῆς πόλεως τοῦ ποιῆσαι ἡμέρας
28 καὶ ἐποίησεν νυκτός. καὶ ὤρθρισαν οἱ ἄνδρες τῆς πόλεως τὸ πρωί καὶ ἰδοὺ καθῄρητο τὸ θυσιαστήριον τοῦ Βααλ καὶ τὸ ἄλσος τὸ ἐπ᾽ αὐτῷ ὠλέθρευτο καὶ εἶδαν τὸν μόσχον τὸν δεύτερον

---

v.21 καί[cc] ἐκτείνω[viaa3s] ὁ[dnms] ἄγγελος[nnmsc] κύριος[ngmsc] ὁ[dans] ἄκρος[anansn] ὁ[dgfs] ῥάβδος[ngfsc] ὁ[dgfs] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgms] καί[cc] ἅπτω[viam3s] ὁ[dgnp] κρέας[ngnpc] καί[cc] ὁ[dgmp] ἄζυμος[angmpn] καί[cc] ἀναβαίνω[viaa3s] πῦρ[nnnsc] ἐκ[pg] ὁ[dgfs] πέτρα[ngfsc] καί[cc] κατεσθίω[viaa3s] ὁ[danp] κρέας[nanpc] καί[cc] ὁ[damp] ἄζυμος[anampn] καί[cc] ὁ[dnms] ἄγγελος[nnmsc] κύριος[ngmsc] πορεύομαι[viap3s] ἀπό[pg] ὀφθαλμός[ngmpc] αὐτός[rpgms]. **v.22** καί[cc] ὁράω[viaa3s] Γεδεών[nnmsp] ὅτι[cs] ἄγγελος[nnmsc] κύριος[ngmsc] οὗτος[rdnms] εἰμί[vipa3s] καί[cc] λέγω[viaa3s] Γεδεών[nnmsp] ᾶ[i] ᾶ[i] κύριος[nvmsc] ἐγώ[rpg-s] κύριος[nvmsc] ὅτι[cs] ὁράω[viaa1s] ἄγγελος[namsc] κύριος[ngmsc] πρόσωπον[nansc] πρός[pa] πρόσωπον[nansc]. **v.23** καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] κύριος[nnmsc] εἰρήνη[nnfsc] σύ[rpd-s] μή[x] φοβέω[vdpm2s] οὐ[b] μή[x] ἀποθνῄσκω[vsaa2s]. **v.24** καί[cc] οἰκοδομέω[viaa3s] ἐκεῖ[b] Γεδεών[nnmsp] θυσιαστήριον[nansc] ὁ[ddms] κύριος[ndmsc] καί[cc] ἐπικαλέω[viaa3s] αὐτός[rpdms] εἰρήνη[nnfsp] κύριος[ngmsc] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs] ἔτι[b] αὐτός[rpgns] εἰμί[vppagns] ἐν[pd] Εφραθα[nd-sp] πατήρ[ngmsc] ὁ[dgms] Εσδρι[ngmsp]. **v.25** καί[cc] γίνομαι[viam3s] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] ἐκεῖνος[rddfs] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] κύριος[nnmsc] λαμβάνω[vdaa2s] ὁ[dams] μόσχος[namsc] ὁ[dams] ταῦρος[namsc] ὅς[rrnms] εἰμί[vipa3s] ὁ[ddms] πατήρ[ndmsc] σύ[rpg-s] καί[cc] μόσχος[namsc] δεύτερος[aoamsn] ἑπταετής[anamsn] καί[cc] καθαιρέω[vifa2s] ὁ[dans] θυσιαστήριον[nansc] ὁ[dgms] Βάαλ[ngmsp] ὅς[rrnns] εἰμί[vipa3s] ὁ[ddms] πατήρ[ndmsc] σύ[rpg-s] καί[cc] ὁ[dans] ἄλσος[nansc] ὁ[dans] ἐπί[pa] αὐτός[rpans] ὀλεθρεύω[vifa2s]. **v.26** καί[cc] οἰκοδομέω[vifa2s] θυσιαστήριον[nansc] κύριος[ndmsc] ὁ[ddms] θεός[ndmsc] σύ[rpg-s] ἐπί[pa] κορυφή[nafsc] ὁ[dgms] Μαουεκ[ngmsp] οὗτος[rdgms] ἐν[pd] ὁ[ddfs] παράταξις[ndfsc] καί[cc] λαμβάνω[vifm2s] ὁ[dams] μόσχος[namsc] ὁ[dams] δεύτερος[aoamsn] καί[cc] ἀναφέρω[vifa2s] ὁλοκαύτωμα[nansc] ἐν[pd] ὁ[ddnp] ξύλον[ndnpc] ὁ[dgns] ἄλσος[ngnsc] ὅς[rrgns] ἐξολεθρεύω[vifa2s]. **v.27** καί[cc] λαμβάνω[viaa3s] Γεδεών[nnmsp] δέκα[ac—n] ἀνήρ[nampc] ἀπό[pg] ὁ[dgmp] δοῦλος[ngmpc] ἑαυτοῦ[rxgms] καί[cc] ποιέω[viaa3s] ὅς[rrams] τρόπος[namsc] λαλέω[viaa3s] πρός[pa] αὐτός[rpams] κύριος[nnmsc] καί[cc] γίνομαι[viap3s] ὡς[cs] φοβέω[viap3s] ὁ[dams] οἶκος[namsc] ὁ[dgms] πατήρ[ngmsc] αὐτός[rpgms] καί[cc] ὁ[damp] ἀνήρ[nampc] ὁ[dgfs] πόλις[ngfsc] ὁ[dgns] ποιέω[vnaa] ἡμέρα[ngfsc] καί[cc] ποιέω[viaa3s] νύξ[ngfsc].

ὃν ἀνήνεγκεν ἐπὶ τὸ θυσιαστήριον τὸ ᾠκοδομημένον. καὶ εἶπεν 29
ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ τίς ἐποίησεν τὸ ῥῆμα τοῦτο καὶ
ἐπεζήτησαν καὶ ἠρεύνησαν καὶ ἔγνωσαν ὅτι Γεδεων υἱὸς Ιωας ἐ-
ποίησεν τὸ ῥῆμα τοῦτο. καὶ εἶπον οἱ ἄνδρες τῆς πόλεως πρὸς 30
Ιωας ἐξένεγκε τὸν υἱόν σου καὶ ἀποθανέτω ὅτι καθεῖλεν τὸ θυ-
σιαστήριον τοῦ Βααλ καὶ ὅτι ὠλέθρευσεν τὸ ἄλσος τὸ ἐπ᾽ αὐτῷ.
καὶ εἶπεν Ιωας τοῖς ἀνδράσιν πᾶσιν οἳ ἐπανέστησαν αὐτῷ μὴ ὑ- 31
μεῖς νῦν δικάζεσθε ὑπὲρ τοῦ Βααλ ἢ ὑμεῖς σώσετε αὐτόν ὃς ἐὰν
δικάσηται αὐτῷ θανατωθήτω ἕως πρωί εἰ θεός ἐστιν δικαζέσθω
αὐτῷ ὅτι καθεῖλεν τὸ θυσιαστήριον αὐτοῦ. καὶ ἐκάλεσεν αὐτὸ 32
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ιαρβααλ λέγων δικασάσθω ἐν αὐτῷ ὁ Βααλ
ὅτι καθῃρέθη τὸ θυσιαστήριον αὐτοῦ. καὶ πᾶσα Μαδιαμ καὶ 33
Αμαληκ καὶ υἱοὶ ἀνατολῶν συνήχθησαν ἐπὶ τὸ αὐτὸ καὶ παρενέ-
βαλον ἐν κοιλάδι Εζερεελ. καὶ πνεῦμα κυρίου ἐνεδυνάμωσεν 34
τὸν Γεδεων καὶ ἐσάλπισεν ἐν κερατίνῃ καὶ ἐφοβήθη Αβιεζερ ὀ-
πίσω αὐτοῦ. καὶ ἀγγέλους ἀπέστειλεν εἰς πάντα Μανασση καὶ 35
ἐν Ασηρ καὶ ἐν Ζαβουλων καὶ Νεφθαλι καὶ ἀνέβη εἰς συνάντησιν
αὐτῶν. καὶ εἶπεν Γεδεων πρὸς τὸν θεόν εἰ σὺ σῴζεις ἐν χειρί 36
μου τὸν Ισραηλ καθὼς ἐλάλησας. ἰδοὺ ἐγὼ τίθημι τὸν πόκον 37
τοῦ ἐρίου ἐν τῇ ἅλωνι ἐὰν δρόσος γένηται ἐπὶ τὸν πόκον μόνον
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ξηρασία γνώσομαι ὅτι σώσεις ἐν χειρί μου

---

v.28 καί[cc] ὀρθρίζω[viaa3p] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] πόλις[ngfsc] ὁ[dans] πρωΐ[b] καί[cc] ἰδού[i] καθαιρέω[viip3s] ὁ[dnns] θυσιαστήριον[nnnsc] ὁ[dgms] Βάαλ[ngmsp] καί[cc] ὁ[dnns] ἄλσος[nnnsc] ὁ[dnns] ἐπί[pd] αὐτός[rpdms] ὀλεθρεύω[viip3s] καί[cc] ὁράω[viaa3p] ὁ[dams] μόσχος[namsc] ὁ[dams] δεύτερος[aoamsn] ὅς[rrams] ἀναφέρω[viaa3s] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] ὁ[dans] οἰκοδομέω[vpxpans]. **v.29** καί[cc] λέγω[viaa3s] ἀνήρ[nnmsc] πρός[pa] ὁ[dams] πλησίον[b] αὐτός[rpgms] τίς[rqnms] ποιέω[viaa3s] ὁ[dans] ῥῆμα[nansc] οὗτος[rdans] καί[cc] ἐπιζητέω[viaa3p] καί[cc] ἐρευνάω[viaa3p] καί[cc] γινώσκω[viaa3p] ὅτι[cs] Γεδεών[nnmsp] υἱός[nnmsc] Ἰωάς[ngmsp] ποιέω[viaa3s] ὁ[dans] ῥῆμα[nansc] οὗτος[rdans]. **v.30** καί[cc] λέγω[viaa3p] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] πόλις[ngfsc] πρός[pa] Ἰωάς[namsp] ἐκφέρω[vdaa2s] ὁ[dams] υἱός[namsc] σύ[rpg-s] καί[cc] ἀποθνῄσκω[vdaa3s] ὅτι[cs] καθαιρέω[viaa3s] ὁ[dans] θυσιαστήριον[nansc] ὁ[dgms] Βάαλ[ngmsp] καί[cc] ὅτι[cs] ὀλεθρεύω[viaa3s] ὁ[dans] ἄλσος[nansc] ὁ[dans] ἐπί[pd] αὐτός[rpdms]. **v.31** καί[cc] λέγω[viaa3s] Ιωας[nnmsp] ὁ[ddmp] ἀνήρ[ndmpc] πᾶς[aidmpn] ὅς[rrnmp] ἐπανίστημι[viaa3p] αὐτός[rpdms] μή[x] σύ[rpn-p] νῦν[b] δικάζω[vipm2p] ὑπέρ[pg] ὁ[dgms] Βάαλ[ngmsp] ἤ[cc] σύ[rpn-p] σῴζω[vifa2p] αὐτός[rpams] ὅς[rrnms] ἐάν[x] δικάζω[vsam3s] αὐτός[rpdms] θανατόω[vdap3s] ἕως[pp] πρωΐ[b] εἰ[cs] θεός[nnmsc] εἰμί[vipa3s] δικάζω[vdpm3s] αὐτός[rpdms] ὅτι[cs] καθαιρέω[viaa3s] ὁ[dans] θυσιαστήριον[nansc] αὐτός[rpgms]. **v.32** καί[cc] καλέω[viaa3s] αὐτός[rpans] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] Ιαρβααλ[namsp] λέγω[vppanms] δικάζω[vdam3s] ἐν[pd] αὐτός[rpdms] ὁ[dnms] Βάαλ[nnmsp] ὅτι[cs] καθαιρέω[viap3s] ὁ[dnns] θυσιαστήριον[nnnsc] αὐτός[rpgms]. **v.33** καί[cc] πᾶς[ainfsn] Μαδιάμ[nnfsp] καί[cc] Αμαληκ[nnmsp] καί[cc] υἱός[nnmpc] ἀνατολή[ngfpc] συνάγω[viap3p] ἐπί[pa] ὁ[dans] αὐτός[rpans] καί[cc] παρεμβάλλω[viaa3p] ἐν[pd] κοιλάς[ndfsc] Εζερεελ[ngmsp]. **v.34** καί[cc] πνεῦμα[nnnsc] κύριος[ngmsc] ἐνδυναμόω[viaa3s] ὁ[dams] Γεδεών[namsp] καί[cc] σαλπίζω[viaa3s] ἐν[pd] κερατίνη[ndfsc] καί[cc] φοβέω[viap3s] Αβιεζερ[nnmsp] ὀπίσω[pg] αὐτός[rpgms]. **v.35** καί[cc] ἄγγελος[nampc] ἀποστέλλω[viaa3s] εἰς[pa] πᾶς[aiamsn] Μανασσῆ[namsp] καί[cc] ἐν[pd] Ασηρ[ndmsp] καί[cc] ἐν[pd] Ζαβουλών[ndmsp] καί[cc] Νεφθαλι[ndmsp] καί[cc] ἀναβαίνω[viaa3s] εἰς[pa] συνάντησις[nafsc] αὐτός[rpgmp]. **v.36** καί[cc] λέγω[viaa3s] Γεδεών[nnmsp] πρός[pa] ὁ[dams] θεός[namsc] εἰ[cs] σύ[rpn-s] σῴζω[vipa2s] ἐν[pd] χείρ[ndfsc] ἐγώ[rpg-s] ὁ[dams] Ἰσραήλ[namsp] καθώς[cs] λαλέω[viaa2s].

38 τὸν Ισραηλ καθὼς ἐλάλησας. καὶ ἐγένετο οὕτως καὶ ὥρθρισεν τῇ
ἐπαύριον καὶ ἐξεπίασεν τὸν πόκον καὶ ἔσταξεν δρόσος ἀπὸ τοῦ
39 πόκου πλήρης λεκάνη ὕδατος. καὶ εἶπεν Γεδεων πρὸς τὸν θεόν
μὴ δὴ ὀργισθήτω ὁ θυμός σου ἐν ἐμοί καὶ λαλήσω ἔτι ἅπαξ πει-
ράσω δὲ καί γε ἔτι ἅπαξ ἐν τῷ πόκῳ καὶ γενέσθω ἡ ξηρασία ἐπὶ
40 τὸν πόκον μόνον καὶ ἐπὶ πᾶσαν τὴν γῆν γενηθήτω δρόσος. καὶ
ἐποίησεν οὕτως ὁ θεὸς ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ἐγένετο ξηρασία ἐπὶ
τὸν πόκον μόνον καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἐγενήθη δρόσος.

7 καὶ ὥρθρισεν Ιαρβαλ αὐτός ἐστιν Γεδεων καὶ πᾶς ὁ λαὸς μετ᾽
αὐτοῦ καὶ παρενέβαλον ἐπὶ πηγὴν Αραδ καὶ παρεμβολὴ Μαδιαμ
2 ἦν αὐτῷ ἀπὸ βορρᾶ ἀπὸ Γαβααθ Αμωρα ἐν κοιλάδι. καὶ εἶπεν
κύριος πρὸς Γεδεων πολὺς ὁ λαὸς ὁ μετὰ σοῦ ὥστε μὴ παραδοῦ-
ναί με τὴν Μαδιαμ ἐν χειρὶ αὐτῶν μήποτε καυχήσηται Ισραηλ
3 ἐπ᾽ ἐμὲ λέγων ἡ χείρ μου ἔσωσέν με. καὶ νῦν λάλησον δὴ ἐν
ὠσὶν τοῦ λαοῦ λέγων τίς ὁ φοβούμενος καὶ δειλός ἐπιστρεφέτω
καὶ ἐκχωρείτω ἀπὸ ὄρους Γαλααδ καὶ ἐπέστρεψεν ἀπὸ τοῦ λαοῦ
4 εἴκοσι καὶ δύο χιλιάδες καὶ δέκα χιλιάδες ὑπελείφθησαν. καὶ
εἶπεν κύριος πρὸς Γεδεων ἔτι ὁ λαὸς πολύς κατένεγκον αὐτοὺς
πρὸς τὸ ὕδωρ καὶ ἐκκαθαρῶ σοι αὐτὸν ἐκεῖ καὶ ἔσται ὃν ἐὰν εἴπω
πρὸς σέ οὗτος πορεύσεται σὺν σοί αὐτὸς πορεύσεται σὺν σοί καὶ
πᾶν ὃν ἐὰν εἴπω πρὸς σέ οὗτος οὐ πορεύσεται μετὰ σοῦ αὐτὸς οὐ

---

v.37 ἰδού^{i} ἐγώ$^{rpn\text{-}s}$ τίθημι^{vipa1s} ὁ^{dams} πόκος^{namsc} ὁ^{dgns} ἔριον^{ngnsc} ἐν^{pd} ὁ^{ddfs} ἄλων^{ndfsc} ἐάν^{cs} δρόσος^{nnfsc} γίνομαι^{vsam3s} ἐπί^{pa} ὁ^{dams} πόκος^{namsc} μόνος^{b} καί^{cc} ἐπί^{pa} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} ξηρασία^{nnfsc} γινώσκω^{vifm1s} ὅτι^{cs} σῴζω^{vifa2s} ἐν^{pd} χείρ^{ndfsc} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dams} Ἰσραήλ^{namsp} καθώς^{cs} λαλέω^{viaa2s}. **v.38** καί^{cc} γίνομαι^{viam3s} οὕτως^{b} καί^{cc} ὀρθρίζω^{viaa3s} ὁ^{ddfs} ἐπαύριον^{b} καί^{cc} ἐκπιάζω^{viaa3s} ὁ^{dams} πόκος^{namsc} καί^{cc} στάζω^{viaa3s} δρόσος^{nnfsc} ἀπό^{pg} ὁ^{dgms} πόκος^{ngmsc} πλήρης^{annfsn} λεκάνη^{nnfsc} ὕδωρ^{ngnsc}. **v.39** καί^{cc} λέγω^{viaa3s} Γεδεών^{nnmsp} πρός^{pa} ὁ^{dams} θεός^{namsc} μή^{x} δή^{x} ὀργίζω^{vdap3s} ὁ^{dnms} θυμός^{nnmsc} σύ$^{rpg\text{-}s}$ ἐν^{pd} ἐγώ$^{rpd\text{-}s}$ καί^{cc} λαλέω^{vifa1s} ἔτι^{b} ἅπαξ^{b} πειράζω^{vifa1s} δέ^{cc} καί^{b} γέ^{x} ἔτι^{b} ἅπαξ^{b} ἐν^{pd} ὁ^{ddms} πόκος^{ndmsc} καί^{cc} γίνομαι^{vdam3s} ὁ^{dnfs} ξηρασία^{nnfsc} ἐπί^{pa} ὁ^{dams} πόκος^{namsc} μόνος^{b} καί^{cc} ἐπί^{pa} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} γίνομαι^{vdap3s} δρόσος^{nnfsc}. **v.40** καί^{cc} ποιέω^{viaa3s} οὕτως^{b} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} ὁ^{ddfs} νύξ^{ndfsc} ἐκεῖνος^{rddfs} καί^{cc} γίνομαι^{viam3s} ξηρασία^{nnfsc} ἐπί^{pa} ὁ^{dams} πόκος^{namsc} μόνος^{b} καί^{cc} ἐπί^{pa} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} γίνομαι^{viap3s} δρόσος^{nnfsc}. **7. v.1** καί^{cc} ὀρθρίζω^{viaa3s} Ιαρβαλ^{nnmsp} αὐτός^{rpnms} εἰμί^{vipa3s} Γεδεών^{nnmsp} καί^{cc} πᾶς^{ainmsn} ὁ^{dnms} λαός^{nnmsc} μετά^{pg} αὐτός^{rpgms} καί^{cc} παρεμβάλλω^{viaa3p} ἐπί^{pa} πηγή^{nafsc} Αραδ$^{ng\text{-}sp}$ καί^{cc} παρεμβολή^{nnfsc} Μαδιάμ^{ngfsp} εἰμί^{viia3s} αὐτός^{rpdms} ἀπό^{pg} βορέας^{ngmsc} ἀπό^{pg} Γαβααθ$^{ng\text{-}sp}$ Αμωρα$^{ng\text{-}sp}$ ἐν^{pd} κοιλάς^{ndfsc}. **v.2** καί^{cc} λέγω^{viaa3s} κύριος^{nnmsc} πρός^{pa} Γεδεών^{namsp} πολύς^{annmsn} ὁ^{dnms} λαός^{nnmsc} ὁ^{dnms} μετά^{pg} σύ$^{rpg\text{-}s}$ ὥστε^{cs} μή^{x} παραδίδωμι^{vnaa} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dafs} Μαδιάμ^{nafsp} ἐν^{pd} χείρ^{ndfsc} αὐτός^{rpgmp} μήποτε^{cs} καυχάομαι^{vsam3s} Ἰσραήλ^{nnmsp} ἐπί^{pa} ἐγώ$^{rpa\text{-}s}$ λέγω^{vppanms} ὁ^{dnfs} χείρ^{nnfsc} ἐγώ$^{rpg\text{-}s}$ σῴζω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$. **v.3** καί^{cc} νῦν^{b} λαλέω^{vdaa2s} δή^{x} ἐν^{pd} οὖς^{ndnpc} ὁ^{dgms} λαός^{ngmsc} λέγω^{vppanms} τίς^{rqnms} ὁ^{dnms} φοβέω^{vppmnms} καί^{cc} δειλός^{annmsn} ἐπιστρέφω^{vdpa3s} καί^{cc} ἐκχωρέω^{vdpa3s} ἀπό^{pg} ὄρος^{ngnsc} Γαλααδ^{ngmsp} καί^{cc} ἐπιστρέφω^{viaa3s} ἀπό^{pg} ὁ^{dgms} λαός^{ngmsc} εἴκοσι$^{ac\text{—}n}$ καί^{cc} δύο$^{ac\text{—}n}$ χιλιάς^{nnfpc} καί^{cc} δέκα$^{ac\text{—}n}$ χιλιάς^{nnfpc} ὑπολείπω^{viap3p}.

πορεύσεται μετὰ σοῦ. καὶ κατήνεγκεν τὸν λαὸν πρὸς τὸ ὕδωρ 5
καὶ εἶπεν κύριος πρὸς Γεδεων πᾶς ὃς ἂν λάψῃ τῇ γλώσσῃ αὐτοῦ
ἀπὸ τοῦ ὕδατος ὡς ἐὰν λάψῃ ὁ κύων στήσεις αὐτὸν κατὰ μόνας
καὶ πᾶς ὃς ἐὰν κλίνῃ ἐπὶ τὰ γόνατα αὐτοῦ πιεῖν. καὶ ἐγένετο 6
ὁ ἀριθμὸς τῶν λαψάντων ἐν χειρὶ αὐτῶν πρὸς τὸ στόμα αὐτῶν
τριακόσιοι ἄνδρες καὶ πᾶν τὸ κατάλοιπον τοῦ λαοῦ ἔκλιναν ἐ-
πὶ τὰ γόνατα αὐτῶν πιεῖν ὕδωρ. καὶ εἶπεν κύριος πρὸς Γεδεων 7
ἐν τοῖς τριακοσίοις ἀνδράσιν τοῖς λάψασιν σώσω ὑμᾶς καὶ δώσω
τὴν Μαδιαμ ἐν χειρί σου καὶ πᾶς ὁ λαὸς πορεύσονται ἀνὴρ εἰς
τὸν τόπον αὐτοῦ. καὶ ἔλαβον τὸν ἐπισιτισμὸν τοῦ λαοῦ ἐν χειρὶ 8
αὐτῶν καὶ τὰς κερατίνας αὐτῶν καὶ τὸν πάντα ἄνδρα Ισραηλ ἐξα-
πέστειλεν ἄνδρα εἰς σκηνὴν αὐτοῦ καὶ τοὺς τριακοσίους ἄνδρας
κατίσχυσεν καὶ ἡ παρεμβολὴ Μαδιαμ ἦσαν αὐτοῦ ὑποκάτω ἐν τῇ
κοιλάδι. καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπεν πρὸς αὐτὸν 9
κύριος ἀναστὰς κατάβηθι ἐν τῇ παρεμβολῇ ὅτι παρέδωκα αὐτὴν
ἐν τῇ χειρί σου. καὶ εἰ φοβῇ σὺ καταβῆναι κατάβηθι σὺ καὶ Φαρα 10
τὸ παιδάριόν σου εἰς τὴν παρεμβολήν. καὶ ἀκούσῃ τί λαλήσου- 11
σιν καὶ μετὰ τοῦτο ἰσχύσουσιν αἱ χεῖρές σου καὶ καταβήσῃ ἐν τῇ
παρεμβολῇ καὶ κατέβη αὐτὸς καὶ Φαρα τὸ παιδάριον αὐτοῦ πρὸς

---

v.4 καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] Γεδεών[namsp] ἔτι[b] ὁ[dnms] λαός[nnmsc] πολύς[annmsn] καταφέρω[vdaa2s] αὐτός[rpamp] πρός[pa] ὁ[dans] ὕδωρ[nansc] καί[cc] ἐκκαθαίρω[vifa1s] σύ[rpd-s] αὐτός[rpams] ἐκεῖ[b] καί[cc] εἰμί[vifm3s] ὅς[rrams] ἐάν[x] λέγω[vsaa1s] πρός[pa] σύ[rpa-s] οὗτος[rdnms] πορεύομαι[vifm3s] σύν[pd] σύ[rpd-s] αὐτός[rpnms] πορεύομαι[vifm3s] σύν[pd] σύ[rpd-s] καί[cc] πᾶς[aiansn] ὅς[rrams] ἐάν[x] λέγω[vsaa1s] πρός[pa] σύ[rpa-s] οὗτος[rdnms] οὐ[b] πορεύομαι[vifm3s] μετά[pg] σύ[rpg-s] αὐτός[rpnms] οὐ[b] πορεύομαι[vifm3s] μετά[pg] σύ[rpg-s]. **v.5** καί[cc] καταφέρω[viaa3s] ὁ[dams] λαός[namsc] πρός[pa] ὁ[dans] ὕδωρ[nansc] καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] Γεδεών[namsp] πᾶς[ainmsn] ὅς[rrnms] ἄν[x] λάπτω[vsaa3s] ὁ[ddfs] γλῶσσα[ndfsc] αὐτός[rpgms] ἀπό[pg] ὁ[dgns] ὕδωρ[ngnsc] ὡς[cs] ἐάν[cs] λάπτω[vsaa3s] ὁ[dnms] κύων[nnmsc] ἵστημι[vifa2s] αὐτός[rpams] κατά[pa] μόνος[anafpn] καί[cc] πᾶς[ainmsn] ὅς[rrnms] ἐάν[x] κλίνω[vsaa3s] ἐπί[pa] ὁ[danp] γόνυ[nanpc] αὐτός[rpgms] πίνω[vnaa]. **v.6** καί[cc] γίνομαι[viam3s] ὁ[dnms] ἀριθμός[nnmsc] ὁ[dgmp] λάπτω[vpaagmp] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgmp] πρός[pa] ὁ[dans] στόμα[nansc] αὐτός[rpgmp] τριακόσιοι[acnmpn] ἀνήρ[nnmpc] καί[cc] πᾶς[ainnsn] ὁ[dnns] κατάλοιπος[annnsn] ὁ[dgms] λαός[ngmsc] κλίνω[viaa3p] ἐπί[pa] ὁ[danp] γόνυ[nanpc] αὐτός[rpgmp] πίνω[vnaa] ὕδωρ[nansc]. **v.7** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] Γεδεών[namsp] ἐν[pd] ὁ[ddmp] τριακόσιοι[acdmpn] ἀνήρ[ndmpc] ὁ[ddmp] λάπτω[vpaadmp] σῴζω[vifa1s] σύ[rpa-p] καί[cc] δίδωμι[vifa1s] ὁ[dafs] Μαδιάμ[nafsp] ἐν[pd] χείρ[ndfsc] σύ[rpg-s] καί[cc] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] πορεύομαι[vifm3p] ἀνήρ[nnmsc] εἰς[pa] ὁ[dams] τόπος[namsc] αὐτός[rpgms]. **v.8** καί[cc] λαμβάνω[viaa3p] ὁ[dams] ἐπισιτισμός[namsc] ὁ[dgms] λαός[ngmsc] ἐν[pd] χείρ[ndfsc] αὐτός[rpgmp] καί[cc] ὁ[dafp] κερατίνη[nafpc] αὐτός[rpgmp] καί[cc] ὁ[dams] πᾶς[aiamsn] ἀνήρ[namsc] Ἰσραήλ[ngmsp] ἐξαποστέλλω[viaa3s] ἀνήρ[namsc] εἰς[pa] σκηνή[nafsc] αὐτός[rpgms] καί[cc] ὁ[damp] τριακόσιοι[acampn] ἀνήρ[nampc] κατισχύω[viaa3s] καί[cc] ὁ[dnfs] παρεμβολή[nnfsc] Μαδιάμ[ngfsp] εἰμί[viia3p] αὐτός[rpgms] ὑποκάτω[pg] ἐν[pd] ὁ[ddfs] κοιλάς[ndfsc]. **v.9** καί[cc] γίνομαι[viap3s] ἐν[pd] ὁ[ddfs] νύξ[ndfsc] ἐκεῖνος[rddfs] καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] κύριος[nnmsc] ἀνίστημι[vpaanms] καταβαίνω[vdaa2s] ἐν[pd] ὁ[ddfs] παρεμβολή[ndfsc] ὅτι[cs] παραδίδωμι[viaa1s] αὐτός[rpafs] ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] σύ[rpg-s]. **v.10** καί[cc] εἰ[cs] φοβέω[vspm2s] σύ[rpn-s] καταβαίνω[vnaa] καταβαίνω[vdaa2s] σύ[rpn-s] καί[cc] Φαρα[nnmsp] ὁ[dnns] παιδάριον[nnnsc] σύ[rpg-s] εἰς[pa] ὁ[dafs] παρεμβολή[nafsc].

12 ἀρχὴν τῶν πεντήκοντα οἳ ἦσαν ἐν τῇ παρεμβολῇ. καὶ Μαδιαμ
καὶ Αμαληκ καὶ πάντες υἱοὶ ἀνατολῶν βεβλημένοι ἐν τῇ κοιλάδι
ὡσεὶ ἀκρὶς εἰς πλῆθος καὶ ταῖς καμήλοις αὐτῶν οὐκ ἦν ἀριθμός
ἀλλὰ ἦσαν ὡς ἡ ἄμμος ἡ ἐπὶ χείλους τῆς θαλάσσης εἰς πλῆθος.
13 καὶ ἦλθεν Γεδεων καὶ ἰδοὺ ἀνὴρ ἐξηγούμενος τῷ πλησίον αὐτοῦ
ἐνύπνιον καὶ εἶπεν ἐνύπνιον ἰδοὺ ἐνυπνιασάμην καὶ ἰδοὺ μαγὶς
ἄρτου κριθίνου στρεφομένη ἐν τῇ παρεμβολῇ Μαδιαμ καὶ ἦλθεν
ἕως τῆς σκηνῆς καὶ ἐπάταξεν αὐτήν καὶ ἔπεσεν καὶ ἀνέστρεψεν
14 αὐτὴν ἄνω καὶ ἔπεσεν ἡ σκηνή. καὶ ἀπεκρίθη ὁ πλησίον αὐτοῦ
καὶ εἶπεν οὐκ ἔστιν αὕτη εἰ μὴ ῥομφαία Γεδεων υἱοῦ Ιωας ἀνδρὸς
Ισραηλ παρέδωκεν ὁ θεὸς ἐν χειρὶ αὐτοῦ τὴν Μαδιαμ καὶ πᾶσαν
15 τὴν παρεμβολήν. καὶ ἐγένετο ὡς ἤκουσεν Γεδεων τὴν ἐξήγησιν
τοῦ ἐνυπνίου καὶ τὴν σύγκρισιν αὐτοῦ καὶ προσεκύνησεν κυρίῳ
καὶ ὑπέστρεψεν εἰς τὴν παρεμβολὴν Ισραηλ καὶ εἶπεν ἀνάστητε
ὅτι παρέδωκεν κύριος ἐν χειρὶ ἡμῶν τὴν παρεμβολὴν Μαδιαμ.
16 καὶ διεῖλεν τοὺς τριακοσίους ἄνδρας εἰς τρεῖς ἀρχὰς καὶ ἔδωκεν
κερατίνας ἐν χειρὶ πάντων καὶ ὑδρίας κενὰς καὶ λαμπάδας ἐν ταῖς
17 ὑδρίαις. καὶ εἶπεν πρὸς αὐτούς ἀπ᾽ ἐμοῦ ὄψεσθε καὶ οὕτως ποι-
ήσετε καὶ ἰδοὺ ἐγὼ εἰσπορεύομαι ἐν ἀρχῇ τῆς παρεμβολῆς καὶ
18 ἔσται καθὼς ἂν ποιήσω οὕτως ποιήσετε. καὶ σαλπιῶ ἐν τῇ κερα-

---

v.11 καί^{cc} ἀκούω^{vifm2s} τίς^{rqans} λαλέω^{vifa3p} καί^{cc} μετά^{pa} οὗτος^{rdans} ἰσχύω^{vifa3p} ὁ^{dnfp} χείρ^{nnfpc} σύ$^{rpg-s}$ καί^{cc} καταβαίνω^{vifm2s} ἐν^{pd} ὁ^{ddfs} παρεμβολή^{ndfsc} καί^{cc} καταβαίνω^{viaa3s} αὐτός^{rpnms} καί^{cc} Φαρα^{nnmsp} ὁ^{dnns} παιδάριον^{nnnsc} αὐτός^{rpgms} πρός^{pa} ἀρχή^{nafsc} ὁ^{dgmp} πεντήκοντα^{ac-n} ὅς^{rrnmp} εἰμί^{viia3p} ἐν^{pd} ὁ^{ddfs} παρεμβολή^{ndfsc}. **v.12** καί^{cc} Μαδιάμ^{nnfsp} καί^{cc} Αμαληκ^{nnmsp} καί^{cc} πᾶς^{ainmpn} υἱός^{nnmpc} ἀνατολή^{ngfpc} βάλλω^{vpxpnmp} ἐν^{pd} ὁ^{ddfs} κοιλάς^{ndfsc} ὡσεί^{x} ἀκρίς^{nnfsc} εἰς^{pa} πλῆθος^{nansc} καί^{cc} ὁ^{ddfp} κάμηλος^{ndfpc} αὐτός^{rpgmp} οὐ^{b} εἰμί^{viia3s} ἀριθμός^{nnmsc} ἀλλά^{cc} εἰμί^{viia3p} ὡς^{cs} ὁ^{dnfs} ἄμμος^{nnfsc} ὁ^{dnfs} ἐπί^{pg} χεῖλος^{ngnsc} ὁ^{dgfs} θάλασσα^{ngfsc} εἰς^{pa} πλῆθος^{nansc}. **v.13** καί^{cc} ἔρχομαι^{viaa3s} Γεδεών^{nnmsp} καί^{cc} ἰδού^{i} ἀνήρ^{nnmsc} ἐξηγέομαι^{vppmnms} ὁ^{ddms} πλησίον^{b} αὐτός^{rpgms} ἐνύπνιον^{nansc} καί^{cc} λέγω^{viaa3s} ἐνύπνιον^{nansc} ἰδού^{i} ἐνυπνιάζομαι^{viam1s} καί^{cc} ἰδού^{i} μαγίς^{nnfsc} ἄρτος^{ngmsc} κρίθινος^{angmsn} στρέφω^{vppmnfs} ἐν^{pd} ὁ^{ddfs} παρεμβολή^{ndfsc} Μαδιάμ^{ngfsp} καί^{cc} ἔρχομαι^{viaa3s} ἕως^{pg} ὁ^{dgfs} σκηνή^{ngfsc} καί^{cc} πατάσσω^{viaa3s} αὐτός^{rpafs} καί^{cc} πίπτω^{viaa3s} καί^{cc} ἀναστρέφω^{viaa3s} αὐτός^{rpafs} ἄνω^{b} καί^{cc} πίπτω^{viaa3s} ὁ^{dnfs} σκηνή^{nnfsc}. **v.14** καί^{cc} ἀποκρίνομαι^{viap3s} ὁ^{dnms} πλησίον^{b} αὐτός^{rpgms} καί^{cc} λέγω^{viaa3s} οὐ^{b} εἰμί^{vipa3s} οὗτος^{rdnfs} εἰ^{cs} μή^{x} ῥομφαία^{nnfsc} Γεδεών^{ngmsp} υἱός^{ngmsc} Ἰωάς^{ngmsp} ἀνήρ^{ngmsc} Ἰσραήλ^{ngmsp} παραδίδωμι^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} χείρ^{ndfsc} αὐτός^{rpgms} ὁ^{dafs} Μαδιάμ^{nafsp} καί^{cc} πᾶς^{aiafsn} ὁ^{dafs} παρεμβολή^{nafsc}. **v.15** καί^{cc} γίνομαι^{viam3s} ὡς^{cs} ἀκούω^{viaa3s} Γεδεών^{nnmsp} ὁ^{dafs} ἐξήγησις^{nafsc} ὁ^{dgns} ἐνύπνιον^{ngnsc} καί^{cc} ὁ^{dafs} σύγκρισις^{nafsc} αὐτός^{rpgms} καί^{cc} προσκυνέω^{viaa3s} κύριος^{ndmsc} καί^{cc} ὑποστρέφω^{viaa3s} εἰς^{pa} ὁ^{dafs} παρεμβολή^{nafsc} Ἰσραήλ^{ngmsp} καί^{cc} λέγω^{viaa3s} ἀνίστημι^{vdaa2p} ὅτι^{cs} παραδίδωμι^{viaa3s} κύριος^{nnmsc} ἐν^{pd} χείρ^{ndfsc} ἐγώ$^{rpg-p}$ ὁ^{dafs} παρεμβολή^{nafsc} Μαδιάμ^{ngfsp}. **v.16** καί^{cc} διαιρέω^{viaa3s} ὁ^{damp} τριακόσιοι^{acampn} ἀνήρ^{nampc} εἰς^{pa} τρεῖς^{acafpn} ἀρχή^{nafpc} καί^{cc} δίδωμι^{viaa3s} κερατίνη^{nafpc} ἐν^{pd} χείρ^{ndfsc} πᾶς^{aigmpn} καί^{cc} ὑδρία^{nafpc} κενός^{anafpn} καί^{cc} λαμπάς^{nafpc} ἐν^{pd} ὁ^{ddfp} ὑδρία^{ndfpc}. **v.17** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} αὐτός^{rpamp} ἀπό^{pg} ἐγώ$^{rpg-s}$ ὁράω^{vifm2p} καί^{cc} οὕτως^{b} ποιέω^{vifa2p} καί^{cc} ἰδού^{i} ἐγώ$^{rpn-s}$ εἰσπορεύομαι^{vipm1s} ἐν^{pd} ἀρχή^{ndfsc} ὁ^{dgfs} παρεμβολή^{ngfsc} καί^{cc} εἰμί^{vifm3s} καθώς^{cs} ἄν^{x} ποιέω^{vsaa1s} οὕτως^{b} ποιέω^{vifa2p}.

τίνῃ ἐγώ καὶ πάντες μετ᾽ ἐμοῦ σαλπιεῖτε ἐν ταῖς κερατίναις κύκλῳ
ὅλης τῆς παρεμβολῆς καὶ ἐρεῖτε τῷ κυρίῳ καὶ τῷ Γεδεων. καὶ 19
εἰσῆλθεν Γεδεων καὶ οἱ ἑκατὸν ἄνδρες οἱ μετ᾽ αὐτοῦ ἐν ἀρχῇ τῆς
παρεμβολῆς ἐν ἀρχῇ τῆς φυλακῆς μέσης καὶ ἐγείροντες ἤγειραν
τοὺς φυλάσσοντας καὶ ἐσάλπισαν ἐν ταῖς κερατίναις καὶ ἐξετίνα-
ξαν τὰς ὑδρίας τὰς ἐν ταῖς χερσὶν αὐτῶν. καὶ ἐσάλπισαν αἱ τρεῖς 20
ἀρχαὶ ἐν ταῖς κερατίναις καὶ συνέτριψαν τὰς ὑδρίας καὶ ἐκράτη-
σαν ἐν χερσὶν ἀριστεραῖς αὐτῶν τὰς λαμπάδας καὶ ἐν χερσὶν δε-
ξιαῖς αὐτῶν τὰς κερατίνας τοῦ σαλπίζειν καὶ ἀνέκραξαν ῥομφαία
τῷ κυρίῳ καὶ τῷ Γεδεων. καὶ ἔστησαν ἀνὴρ ἐφ᾽ ἑαυτῷ κύκλῳ τῆς 21
παρεμβολῆς καὶ ἔδραμεν πᾶσα ἡ παρεμβολὴ καὶ ἐσήμαναν καὶ
ἔφυγαν. καὶ ἐσάλπισαν ἐν ταῖς τριακοσίαις κερατίναις καὶ ἔθη- 22
κεν κύριος τὴν ῥομφαίαν ἀνδρὸς ἐν τῷ πλησίον αὐτοῦ ἐν πάσῃ τῇ
παρεμβολῇ καὶ ἔφυγεν ἡ παρεμβολὴ ἕως Βηθσεεδτα Γαραγαθα
ἕως χείλους Αβωμεουλα ἐπὶ Ταβαθ. καὶ ἐβόησαν ἀνὴρ Ισραηλ ἀ- 23
πὸ Νεφθαλι καὶ ἀπὸ Ασηρ καὶ ἀπὸ παντὸς Μανασση καὶ ἐδίωξαν
ὀπίσω Μαδιαμ. καὶ ἀγγέλους ἀπέστειλεν Γεδεων ἐν παντὶ ὄρει 24
Εφραιμ λέγων κατάβητε εἰς συνάντησιν Μαδιαμ καὶ καταλάβετε
ἑαυτοῖς τὸ ὕδωρ ἕως Βαιθηρα καὶ τὸν Ιορδάνην καὶ ἐβόησεν πᾶς
ἀνὴρ Εφραιμ καὶ προκατελάβοντο τὸ ὕδωρ ἕως Βαιθηρα καὶ τὸν
Ιορδάνην. καὶ συνέλαβον τοὺς ἄρχοντας Μαδιαμ καὶ τὸν Ωρηβ 25

---

v.18 καί[cc] σαλπίζω[vifa1s] ἐν[pd] ὁ[ddfs] κερατίνη[ndfsc] ἐγώ[rpn-s] καί[cc] πᾶς[ainmpn] μετά[pg] ἐγώ[rpg-s] σαλπίζω[vifa2p] ἐν[pd] ὁ[ddfp] κερατίνη[ndfpc] κύκλος[ndmsc] ὅλος[angfsn] ὁ[dgfs] παρεμβολή[ngfsc] καί[cc] λέγω[vifa2p] ὁ[ddms] κύριος[ndmsc] καί[cc] ὁ[ddms] Γεδεών[ndmsp]. **v.19** καί[cc] εἰσέρχομαι[viaa3s] Γεδεών[nnmsp] καί[cc] ὁ[dnmp] ἑκατόν[ac—n] ἀνήρ[nnmpc] ὁ[dnmp] μετά[pg] αὐτός[rpgms] ἐν[pd] ἀρχή[ndfsc] ὁ[dgfs] παρεμβολή[ngfsc] ἐν[pd] ἀρχή[ndfsc] ὁ[dgfs] φυλακή[ngfsc] μέσος[angfsn] καί[cc] ἐγείρω[vppanmp] ἐγείρω[viaa3p] ὁ[damp] φυλάσσω[vppaamp] καί[cc] σαλπίζω[viaa3p] ἐν[pd] ὁ[ddfp] κερατίνη[ndfpc] καί[cc] ἐκτινάσσω[viaa3p] ὁ[dafp] ὑδρία[nafpc] ὁ[dafp] ἐν[pd] ὁ[ddfp] χείρ[ndfpc] αὐτός[rpgmp]. **v.20** καί[cc] σαλπίζω[viaa3p] ὁ[dnfp] τρεῖς[acnfpn] ἀρχή[nnfpc] ἐν[pd] ὁ[ddfp] κερατίνη[ndfpc] καί[cc] συντρίβω[viaa3p] ὁ[dafp] ὑδρία[nafpc] καί[cc] κρατέω[viaa3p] ἐν[pd] χείρ[ndfpc] ἀριστερός[andfpn] αὐτός[rpgmp] ὁ[dafp] λαμπάς[nafpc] καί[cc] ἐν[pd] χείρ[ndfpc] δεξιός[andfpn] αὐτός[rpgmp] ὁ[dafp] κερατίνη[nafpc] ὁ[dgns] σαλπίζω[vnpa] καί[cc] ἀνακράζω[viaa3p] ῥομφαία[nnfsc] ὁ[ddms] κύριος[ndmsc] καί[cc] ὁ[ddms] Γεδεών[ndmsp]. **v.21** καί[cc] ἵστημι[viaa3p] ἀνήρ[nnmsc] ἐπί[pd] ἑαυτοῦ[rxdms] κύκλος[ndmsc] ὁ[dgfs] παρεμβολή[ngfsc] καί[cc] τρέχω[viaa3s] πᾶς[ainfsn] ὁ[dnfs] παρεμβολή[nnfsc] καί[cc] σημαίνω[viaa3p] καί[cc] φεύγω[viaa3p]. **v.22** καί[cc] σαλπίζω[viaa3p] ἐν[pd] ὁ[ddfp] τριακόσιοι[acdfpn] κερατίνη[ndfpc] καί[cc] τίθημι[viaa3s] κύριος[nnmsc] ὁ[dafs] ῥομφαία[nafsc] ἀνήρ[ngmsc] ἐν[pd] ὁ[ddms] πλησίον[b] αὐτός[rpgms] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] παρεμβολή[ndfsc] καί[cc] φεύγω[viaa3s] ὁ[dnfs] παρεμβολή[nnfsc] ἕως[pg] Βηθσεεδτα[ng-sp] Γαραγαθα[ng-sp] ἕως[pg] χείλος[ngnsc] Αβωμεουλα[ng-sp] ἐπί[pa] Ταβαθ[na-sp]. **v.23** καί[cc] βοάω[viaa3p] ἀνήρ[nnmsc] Ἰσραήλ[ngmsp] ἀπό[pg] Νεφθαλι[ngmsp] καί[cc] ἀπό[pg] Ασηρ[ngmsp] καί[cc] ἀπό[pg] πᾶς[aigmsn] Μανασσῆ[ngmsp] καί[cc] διώκω[viaa3p] ὀπίσω[pg] Μαδιάμ[ngfsp]. **v.24** καί[cc] ἄγγελος[nampc] ἀποστέλλω[viaa3s] Γεδεών[nnmsp] ἐν[pd] πᾶς[aidnsn] ὄρος[ndnsc] Ἐφραίμ[ngmsp] λέγω[vppanms] καταβαίνω[vdaa2p] εἰς[pa] συνάντησις[nafsc] Μαδιάμ[ngfsp] καί[cc] καταλαμβάνω[vdaa2p] ἑαυτοῦ[rxdmp] ὁ[dans] ὕδωρ[nansc] ἕως[pg] Βαιθηρα[ng-sp] καί[cc] ὁ[dams] Ἰορδάνης[namsp] καί[cc] βοάω[viaa3s] πᾶς[ainmsn] ἀνήρ[nnmsc] Ἐφραίμ[ngmsp] καί[cc] προκαταλαμβάνω[viam3p] ὁ[dans] ὕδωρ[nansc] ἕως[pg] Βαιθηρα[ng-sp] καί[cc] ὁ[dams] Ἰορδάνης[namsp].

καὶ τὸν Ζηβ καὶ ἀπέκτειναν τὸν Ωρηβ ἐν Σουρ καὶ τὸν Ζηβ ἀπέκτειναν ἐν Ιακεφζηφ καὶ κατεδίωξαν Μαδιαμ καὶ τὴν κεφαλὴν Ωρηβ καὶ Ζηβ ἤνεγκαν πρὸς Γεδεων ἀπὸ πέραν τοῦ Ιορδάνου.

8 καὶ εἶπαν πρὸς Γεδεων ἀνὴρ Εφραιμ τί τὸ ῥῆμα τοῦτο ἐποίησας
ἡμῖν τοῦ μὴ καλέσαι ἡμᾶς ὅτε ἐπορεύθης παρατάξασθαι ἐν Μα-
2 διαμ καὶ διελέξαντο πρὸς αὐτὸν ἰσχυρῶς. καὶ εἶπεν πρὸς αὐτούς
τί ἐποίησα νῦν καθὼς ὑμεῖς ἢ οὐχὶ κρεῖσσον ἐπιφυλλὶς Εφραιμ
3 ἢ τρυγητὸς Αβιεζερ. ἐν χειρὶ ὑμῶν παρέδωκεν κύριος τοὺς ἄρ-
χοντας Μαδιαμ τὸν Ωρηβ καὶ τὸν Ζηβ καὶ τί ἠδυνήθην ποιῆσαι
ὡς ὑμεῖς τότε ἀνέθη τὸ πνεῦμα αὐτῶν ἀπ᾽ αὐτοῦ ἐν τῷ λαλῆσαι
4 αὐτὸν τὸν λόγον τοῦτον. καὶ ἦλθεν Γεδεων ἐπὶ τὸν Ιορδάνην καὶ
διέβη αὐτὸς καὶ οἱ τριακόσιοι ἄνδρες οἱ μετ᾽ αὐτοῦ πεινῶντες καὶ
5 διώκοντες. καὶ εἶπεν τοῖς ἀνδράσιν Σοκχωθ δότε δὴ ἄρτους εἰς
τροφὴν τῷ λαῷ τούτῳ τῷ ἐν ποσίν μου ὅτι ἐκλείπουσιν καὶ ἰδοὺ
ἐγώ εἰμι διώκων ὀπίσω τοῦ Ζεβεε καὶ Σελμανα βασιλέων Μαδιαμ.
6 καὶ εἶπον οἱ ἄρχοντες Σοκχωθ μὴ χεὶρ Ζεβεε καὶ Σελμανα νῦν ἐν
7 χειρί σου οὐ δώσομεν τῇ δυνάμει σου ἄρτους. καὶ εἶπεν Γεδεων
διὰ τοῦτο ἐν τῷ δοῦναι κύριον τὸν Ζεβεε καὶ Σελμανα ἐν χειρί μου
καὶ ἐγὼ ἀλοήσω τὰς σάρκας ὑμῶν ἐν ταῖς ἀκάνθαις τῆς ἐρήμου
8 καὶ ἐν ταῖς αβαρκηνιν. καὶ ἀνέβη ἐκεῖθεν εἰς Φανουηλ καὶ ἐ-
λάλησεν πρὸς αὐτοὺς ὡσαύτως καὶ ἀπεκρίθησαν αὐτῷ οἱ ἄνδρες

---

v.25 καί^{cc} συλλαμβάνω^{viaa3p} ὁ^{damp} ἄρχων^{nampc} Μαδιάμ^{ngfsp} καί^{cc} ὁ^{dams} Ωρηβ^{namsp} καί^{cc} ὁ^{dams} Ζηβ^{namsp} καί^{cc} ἀποκτείνω^{viaa3p} ὁ^{dams} Ωρηβ^{namsp} ἐν^{pd} Σουρ$^{nd\text{-}sp}$ καί^{cc} ὁ^{dams} Ζηβ^{namsp} ἀποκτείνω^{viaa3p} ἐν^{pd} Ιακεφζηφ$^{nd\text{-}sp}$ καί^{cc} καταδιώκω^{viaa3p} Μαδιάμ^{nafsp} καί^{cc} ὁ^{dafs} κεφαλή^{nafsc} Ωρηβ^{ngmsp} καί^{cc} Ζηβ^{ngmsp} φέρω^{viaa3p} πρός^{pa} Γεδεών^{namsp} ἀπό^{pp} πέραν^{b} ὁ^{dgms} Ἰορδάνης^{ngmsp}. **8. v.1** καί^{cc} λέγω^{viaa3p} πρός^{pa} Γεδεών^{namsp} ἀνήρ^{nnmsc} Ἐφραίμ^{ngmsp} τίς^{aqansn} ὁ^{dans} ῥῆμα^{nansc} οὗτος^{rdans} ποιέω^{viaa2s} ἐγώ$^{rpd\text{-}p}$ ὁ^{dgns} μή^{x} καλέω^{vnaa} ἐγώ$^{rpa\text{-}p}$ ὅτε^{cs} πορεύομαι^{viap2s} παρατάσσω^{vnam} ἐν^{pd} Μαδιάμ$^{nd\text{-}sp}$ καί^{cc} διαλέγομαι^{viam3p} πρός^{pa} αὐτός^{rpams} ἰσχυρῶς^{b}. **v.2** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} αὐτός^{rpamp} τίς^{rqans} ποιέω^{viaa1s} νῦν^{b} καθώς^{cs} σύ$^{rpn\text{-}p}$ ἤ^{cc} οὐχί^{b} ἀγαθός^{annnsc} ἐπιφυλλίς^{nnfsc} Ἐφραίμ^{ngmsp} ἤ^{cc} τρύγητος^{nnmsc} Αβιεζερ^{ngmsp}. **v.3** ἐν^{pd} χείρ^{ndfsc} σύ$^{rpg\text{-}p}$ παραδίδωμι^{viaa3s} κύριος^{nnmsc} ὁ^{damp} ἄρχων^{nampc} Μαδιάμ^{ngfsp} ὁ^{dams} Ωρηβ^{namsp} καί^{cc} ὁ^{dams} Ζηβ^{namsp} καί^{cc} τίς^{rqans} δύναμαι^{viap1s} ποιέω^{vnaa} ὡς^{cs} σύ$^{rpn\text{-}p}$ τότε^{b} ἀνίημι^{viap3s} ὁ^{dnns} πνεῦμα^{nnnsc} αὐτός^{rpgmp} ἀπό^{pg} αὐτός^{rpgms} ἐν^{pd} ὁ^{ddns} λαλέω^{vnaa} αὐτός^{rpams} ὁ^{dams} λόγος^{namsc} οὗτος^{rdams}. **v.4** καί^{cc} ἔρχομαι^{viaa3s} Γεδεών^{nnmsp} ἐπί^{pa} ὁ^{dams} Ἰορδάνης^{namsp} καί^{cc} διαβαίνω^{viaa3s} αὐτός^{rpnms} καί^{cc} ὁ^{dnmp} τριακόσιοι^{acnmpn} ἀνήρ^{nnmpc} ὁ^{dnmp} μετά^{pg} αὐτός^{rpgms} πεινάω^{vppanmp} καί^{cc} διώκω^{vppanmp}. **v.5** καί^{cc} λέγω^{viaa3s} ὁ^{ddmp} ἀνήρ^{ndmpc} Σοκχωθ^{ngfsp} δίδωμι^{vdaa2p} δή^{x} ἄρτος^{nampc} εἰς^{pa} τροφή^{nafsc} ὁ^{ddms} λαός^{ndmsc} οὗτος^{rddms} ὁ^{ddms} ἐν^{pd} πούς^{ndmpc} ἐγώ$^{rpg\text{-}s}$ ὅτι^{cs} ἐκλείπω^{vipa3p} καί^{cc} ἰδού^{i} ἐγώ$^{rpn\text{-}s}$ εἰμί^{vipa1s} διώκω^{vppanms} ὀπίσω^{pg} ὁ^{dgms} Ζεβεε^{ngmsp} καί^{cc} Σελμανα^{ngmsp} βασιλεύς^{ngmpc} Μαδιάμ^{ngfsp}. **v.6** καί^{cc} λέγω^{viaa3p} ὁ^{dnmp} ἄρχων^{nnmpc} Σοκχωθ^{ngfsp} μή^{x} χείρ^{nnfsc} Ζεβεε^{ngmsp} καί^{cc} Σελμανα^{ngmsp} νῦν^{b} ἐν^{pd} χείρ^{ndfsc} σύ$^{rpg\text{-}s}$ οὐ^{b} δίδωμι^{vifa1p} ὁ^{ddfs} δύναμις^{ndfsc} σύ$^{rpg\text{-}s}$ ἄρτος^{nampc}. **v.7** καί^{cc} λέγω^{viaa3s} Γεδεών^{nnmsp} διά^{pa} οὗτος^{rdans} ἐν^{pd} ὁ^{ddns} δίδωμι^{vnaa} κύριος^{namsc} ὁ^{dams} Ζεβεε^{namsp} καί^{cc} Σελμανα^{namsp} ἐν^{pd} χείρ^{ndfsc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} ἐγώ$^{rpn\text{-}s}$ ἀλοάω^{vifa1s} ὁ^{dafp} σάρξ^{nafpc} σύ$^{rpg\text{-}p}$ ἐν^{pd} ὁ^{ddfp} ἄκανθα^{ndfpc} ὁ^{dgfs} ἔρημος^{ngfsc} καί^{cc} ἐν^{pd} ὁ^{ddfp} αβαρκηνιν^{t}.

Φανουηλ ὃν τρόπον ἀπεκρίθησαν ἄνδρες Σοκχωθ. καὶ εἶπεν Γε- 9
δεων πρὸς ἄνδρας Φανουηλ ἐν ἐπιστροφῇ μου μετ᾽ εἰρήνης τὸν
πύργον τοῦτον κατασκάψω. καὶ Ζεβεε καὶ Σελμανα ἐν Καρκαρ 10
καὶ ἡ παρεμβολὴ αὐτῶν μετ᾽ αὐτῶν ὡσεὶ δέκα πέντε χιλιάδες πάν-
τες οἱ καταλελειμμένοι ἀπὸ πάσης παρεμβολῆς ἀλλοφύλων καὶ οἱ
πεπτωκότες ἑκατὸν εἴκοσι χιλιάδες ἀνδρῶν σπωμένων ῥομφαίαν.
καὶ ἀνέβη Γεδεων ὁδὸν τῶν σκηνούντων ἐν σκηναῖς ἀπὸ ἀνατο- 11
λῶν τῆς Ναβαι καὶ Ιεγεβαλ καὶ ἐπάταξεν τὴν παρεμβολήν καὶ ἡ
παρεμβολὴ ἦν πεποιθυῖα. καὶ ἔφυγον Ζεβεε καὶ Σελμανα καὶ 12
ἐδίωξεν ὀπίσω αὐτῶν καὶ ἐκράτησεν τοὺς δύο βασιλεῖς Μαδιαμ
τὸν Ζεβεε καὶ τὸν Σελμανα καὶ πᾶσαν τὴν παρεμβολὴν ἐξέστησεν.
καὶ ἐπέστρεψεν Γεδεων υἱὸς Ιωας ἀπὸ τῆς παρατάξεως ἀπὸ ἐπά- 13
νωθεν τῆς παρατάξεως Αρες. καὶ συνέλαβεν παιδάριον ἀπὸ τῶν 14
ἀνδρῶν Σοκχωθ καὶ ἐπηρώτησεν αὐτόν καὶ ἔγραψεν πρὸς αὐτὸν
τὰ ὀνόματα τῶν ἀρχόντων Σοκχωθ καὶ τῶν πρεσβυτέρων αὐτῶν ἑ-
βδομήκοντα καὶ ἑπτὰ ἄνδρας. καὶ παρεγένετο Γεδεων πρὸς τοὺς 15
ἄρχοντας Σοκχωθ καὶ εἶπεν ἰδοὺ Ζεβεε καὶ Σελμανα ἐν οἷς ὠνει-
δίσατέ με λέγοντες μὴ χεὶρ Ζεβεε καὶ Σελμανα νῦν ἐν χειρί σου
ὅτι δώσομεν τοῖς ἀνδράσιν τοῖς ἐκλείπουσιν ἄρτους. καὶ ἔλαβεν 16
τοὺς πρεσβυτέρους τῆς πόλεως ἐν ταῖς ἀκάνθαις τῆς ἐρήμου καὶ

---

v.8 καί[cc] ἀναβαίνω[viaa3s] ἐκεῖθεν[b] εἰς[pa] Φανουήλ[na-sp] καί[cc] λαλέω[viaa3s] πρός[pa] αὐτός[rpamp] ὡσαύτως[b] καί[cc] ἀποκρίνομαι[viap3p] αὐτός[rpdms] ὁ[dnmp] ἀνήρ[nnmpc] Φανουήλ[ng-sp] ὅς[rrams] τρόπος[namsc] ἀποκρίνομαι[viap3p] ἀνήρ[nnmpc] Σοκχωθ[ngfsp]. **v.9** καί[cc] λέγω[viaa3s] Γεδεών[nnmsp] πρός[pa] ἀνήρ[namsc] Φανουήλ[ng-sp] ἐν[pd] ἐπιστροφή[ndfsc] ἐγώ[rpg-s] μετά[pg] εἰρήνη[ngfsc] ὁ[dams] πύργος[namsc] οὗτος[rdams] κατασκάπτω[vifa1s]. **v.10** καί[cc] Ζεβεε[nnmsp] καί[cc] Σελμανα[nnmsp] ἐν[pd] Καρκαρ[nd-sp] καί[cc] ὁ[dnfs] παρεμβολή[nnfsc] αὐτός[rpgmp] μετά[pg] αὐτός[rpgmp] ὡσεί[x] δέκα[ac—n] πέντε[ac—n] χιλιάς[nnfpc] πᾶς[ainmpn] ὁ[dnmp] καταλείπω[vpxpnmp] ἀπό[pg] πᾶς[aigfsn] παρεμβολή[ngfsc] ἀλλόφυλος[angmpn] καί[cc] ὁ[dnmp] πίπτω[vpxanmp] ἑκατόν[ac—n] εἴκοσι[ac—n] χιλιάς[nnfpc] ἀνήρ[ngmpc] σπάω[vppmgmp] ῥομφαία[nafsc]. **v.11** καί[cc] ἀναβαίνω[viaa3s] Γεδεών[nnmsp] ὁδός[nafsc] ὁ[dgmp] σκηνόω[vppagmp] ἐν[pd] σκηνή[ndfpc] ἀπό[pg] ἀνατολή[ngfpc] ὁ[dgfs] Ναβαι[ngfsp] καί[cc] Ιεγεβαλ[ng-sp] καί[cc] πατάσσω[viaa3s] ὁ[dafs] παρεμβολή[nafsc] καί[cc] ὁ[dnfs] παρεμβολή[nnfsc] εἰμί[viia3s] πείθω[vpxanfs]. **v.12** καί[cc] φεύγω[viaa3p] Ζεβεε[nnmsp] καί[cc] Σελμανα[nnmsp] καί[cc] διώκω[viaa3s] ὀπίσω[pg] αὐτός[rpgmp] καί[cc] κρατέω[viaa3s] ὁ[damp] δύο[ac—n] βασιλεύς[nampc] Μαδιάμ[ngfsp] ὁ[dams] Ζεβεε[namsp] καί[cc] ὁ[dams] Σελμανα[namsp] καί[cc] πᾶς[aiafsn] ὁ[dafs] παρεμβολή[nafsc] ἐξίστημι[viaa3s]. **v.13** καί[cc] ἐπιστρέφω[viaa3s] Γεδεών[nnmsp] υἱός[nnmsc] Ἰωάς[ngmsp] ἀπό[pg] ὁ[dgfs] παράταξις[ngfsc] ἀπό[pp] ἐπάνωθεν[b] ὁ[dgfs] παράταξις[ngfsc] Αρες[ng-sp]. **v.14** καί[cc] συλλαμβάνω[viaa3s] παιδάριον[nansc] ἀπό[pg] ὁ[dgmp] ἀνήρ[ngmpc] Σοκχωθ[ngfsp] καί[cc] ἐπερωτάω[viaa3s] αὐτός[rpams] καί[cc] γράφω[viaa3s] πρός[pa] αὐτός[rpams] ὁ[danp] ὄνομα[nanpc] ὁ[dgmp] ἄρχων[ngmpc] Σοκχωθ[ngfsp] καί[cc] ὁ[dgmp] πρεσβύτερος[angmpc] αὐτός[rpgmp] ἑβδομήκοντα[ac—n] καί[cc] ἑπτά[ac—n] ἀνήρ[nampc]. **v.15** καί[cc] παραγίνομαι[viam3s] Γεδεών[nnmsp] πρός[pa] ὁ[damp] ἄρχων[nampc] Σοκχωθ[ngfsp] καί[cc] λέγω[viaa3s] ἰδού[i] Ζεβεε[namsp] καί[cc] Σελμανα[namsp] ἐν[pd] ὅς[rrdmp] ὀνειδίζω[viaa2p] ἐγώ[rpa-s] λέγω[vppanmp] μή[x] χείρ[nnfsc] Ζεβεε[ngmsp] καί[cc] Σελμανα[ngmsp] νῦν[b] ἐν[pd] χείρ[ndfsc] σύ[rpg-s] ὅτι[cs] δίδωμι[vifa1p] ὁ[ddmp] ἀνήρ[ndmpc] ὁ[ddmp] ἐκλείπω[vppadmp] ἄρτος[nampc].

ταῖς βαρακηνιμ καὶ ἠλόησεν ἐν αὐτοῖς τοὺς ἄνδρας τῆς πόλεως.
17 καὶ τὸν πύργον Φανουηλ κατέστρεψεν καὶ ἀπέκτεινεν τοὺς ἄν-
18 δρας τῆς πόλεως. καὶ εἶπεν πρὸς Ζεβεε καὶ Σελμανα ποῦ οἱ
ἄνδρες οὓς ἀπεκτείνατε ἐν Θαβωρ καὶ εἶπαν ὡς σύ ὡς αὐτοὶ εἷς
19 ὁμοίωμα υἱοῦ βασιλέως. καὶ εἶπεν Γεδεων ἀδελφοί μου καὶ υἱοὶ
τῆς μητρός μου ἦσαν ζῇ κύριος εἰ ἐζωογονήκειτε αὐτούς οὐκ ἂν
20 ἀπέκτεινα ὑμᾶς. καὶ εἶπεν Ιεθερ τῷ πρωτοτόκῳ αὐτοῦ ἀναστὰς
ἀπόκτεινον αὐτούς καὶ οὐκ ἔσπασεν τὸ παιδάριον τὴν ῥομφαίαν
21 αὐτοῦ ὅτι ἐφοβήθη ὅτι ἔτι νεώτερος ἦν. καὶ εἶπεν Ζεβεε καὶ Σελ-
μανα ἀνάστα σὺ καὶ συνάντησον ἡμῖν ὅτι ὡς ἀνδρὸς ἡ δύναμίς
σου καὶ ἀνέστη Γεδεων καὶ ἀπέκτεινεν τὸν Ζεβεε καὶ τὸν Σελμανα
καὶ ἔλαβεν τοὺς μηνίσκους τοὺς ἐν τοῖς τραχήλοις τῶν καμήλων
22 αὐτῶν. καὶ εἶπον ἀνὴρ Ισραηλ πρὸς Γεδεων κύριε ἄρξον ἡμῶν
καὶ σὺ καὶ ὁ υἱός σου ὅτι σὺ ἔσωσας ἡμᾶς ἐκ χειρὸς Μαδιαμ.
23 καὶ εἶπεν πρὸς αὐτοὺς Γεδεων οὐκ ἄρξω ἐγώ καὶ οὐκ ἄρξει ὁ
24 υἱός μου ἐν ὑμῖν κύριος ἄρξει ὑμῶν. καὶ εἶπεν Γεδεων πρὸς
αὐτούς αἰτήσομαι παρ᾽ ὑμῶν αἴτημα καὶ δότε μοι ἀνὴρ ἐνώτιον
ἐκ σκύλων αὐτοῦ ὅτι ἐνώτια χρυσᾶ αὐτοῖς ὅτι Ισμαηλῖται ἦσαν.
25 καὶ εἶπαν διδόντες δώσομεν καὶ ἀνέπτυξεν τὸ ἱμάτιον αὐτοῦ καὶ
26 ἔβαλεν ἐκεῖ ἀνὴρ ἐνώτιον σκύλων αὐτοῦ. καὶ ἐγένετο ὁ σταθμὸς

---

v.13 καί^{cc} προσέρχομαι^{viaa3s} Ιωαβ^{nnmsp} καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} αὐτός^{rpgms} μετά^{pg} αὐτός^{rpgms} εἰς^{pa} πόλεμος^{namsc} πρός^{pa} Συρία^{nafsp} καί^{cc} φεύγω^{viaa3p} ἀπό^{pg} πρόσωπον^{ngnsc} αὐτός^{rpgms}. **v.14** καί^{cc} ὁ^{dnmp} υἱός^{nnmpc} Αμμων^{ngmsp} ὁράω^{viaa3p} ὅτι^{cs} φεύγω^{viaa3s} Συρία^{nnfsp} καί^{cc} φεύγω^{viaa3p} ἀπό^{pg} πρόσωπον^{ngnsc} Αβεσσα^{ngmsp} καί^{cc} εἰσέρχομαι^{viaa3p} εἰς^{pa} ὁ^{dafs} πόλις^{nafsc} καί^{cc} ἀναστρέφω^{viaa3s} Ιωαβ^{nnmsp} ἀπό^{pg} ὁ^{dgmp} υἱός^{ngmpc} Αμμων^{ngmsp} καί^{cc} παραγίνομαι^{viam3p} εἰς^{pa} Ἰερουσαλήμ^{nafsp}. **v.15** καί^{cc} ὁράω^{viaa3s} Συρία^{nnfsp} ὅτι^{cs} πταίω^{viaa3s} ἔμπροσθεν^{pg} Ἰσραήλ^{ngmsp} καί^{cc} συνάγω^{viap3p} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rtans}. **v.16** καί^{cc} ἀποστέλλω^{viaa3s} Αδρααζαρ^{nnmsp} καί^{cc} συνάγω^{viaa3s} ὁ^{dafs} Συρία^{nafsp} ὁ^{dafs} ἐκ^{pg} ὁ^{dgns} πέραν^{b} ὁ^{dgms} ποταμός^{ngmsc} Χαλαμακ^{ng-sp} καί^{cc} παραγίνομαι^{viam3p} Αιλαμ^{na-sp} καί^{cc} Σωβακ^{nnmsp} ἄρχων^{nnmsc} ὁ^{dgfs} δύναμις^{ngfsc} Αδρααζαρ^{ngmsp} ἔμπροσθεν^{pg} αὐτός^{rpgmp}. **v.17** καί^{cc} ἀναγγέλλω^{viap3s} ὁ^{ddms} Δαυίδ^{ndmsp} καί^{cc} συνάγω^{viaa3s} ὁ^{dams} πᾶς^{aiamsn} Ἰσραήλ^{ngmsp} καί^{cc} διαβαίνω^{viaa3s} ὁ^{dams} Ἰορδάνης^{namsp} καί^{cc} παραγίνομαι^{viam3p} εἰς^{pa} Αιλαμ^{na-sp} καί^{cc} παρατάσσω^{viam3s} Συρία^{nnfsp} ἀπέναντι^{pg} Δαυίδ^{ngmsp} καί^{cc} πολεμέω^{viaa3p} μετά^{pg} αὐτός^{rpgms}. **v.18** καί^{cc} φεύγω^{viaa3s} Συρία^{nnfsp} ἀπό^{pg} πρόσωπον^{ngnsc} Ἰσραήλ^{ngmsp} καί^{cc} ἀναιρέω^{viaa3s} Δαυίδ^{nnmsp} ἐκ^{pg} ὁ^{dgfs} Συρία^{ngfsp} ἑπτακόσιοι^{acanpn} ἅρμα^{nanpc} καί^{cc} τεσσαράκοντα$^{ac—n}$ χιλιάς^{nafpc} ἱππεύς^{ngmpc} καί^{cc} ὁ^{dams} Σωβακ^{namsp} ὁ^{dams} ἄρχων^{namsc} ὁ^{dgfs} δύναμις^{ngfsc} αὐτός^{rpgms} πατάσσω^{viaa3s} καί^{cc} ἀποθνῄσκω^{viaa3s} ἐκεῖ^{b}. **v.19** καί^{cc} ὁράω^{viaa3p} πᾶς^{ainmpn} ὁ^{dnmp} βασιλεύς^{nnmpc} ὁ^{dnmp} δοῦλος^{nnmpc} Αδρααζαρ^{ngmsp} ὅτι^{cs} πταίω^{viaa3p} ἔμπροσθεν^{pg} Ἰσραήλ^{ngmsp} καί^{cc} αὐτομολέω^{viaa3p} μετά^{pg} Ἰσραήλ^{ngmsp} καί^{cc} δουλεύω^{viaa3p} αὐτός^{rpdmp} καί^{cc} φοβέω^{viap3s} Συρία^{nnfsp} ὁ^{dgns} σῴζω^{vnaa} ἔτι^{b} ὁ^{damp} υἱός^{nampc} Αμμων^{ngmsp}.

σαλημ. καὶ ἐγένετο πρὸς ἑσπέραν καὶ ἀνέστη Δαυιδ ἀπὸ τῆς 2
κοίτης αὐτοῦ καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ οἴκου τοῦ βα-
σιλέως καὶ εἶδεν γυναῖκα λουομένην ἀπὸ τοῦ δώματος καὶ ἡ γυνὴ
καλὴ τῷ εἴδει σφόδρα. καὶ ἀπέστειλεν Δαυιδ καὶ ἐζήτησεν τὴν 3
γυναῖκα καὶ εἶπεν οὐχὶ αὕτη Βηρσαβεε θυγάτηρ Ελιαβ γυνὴ Ου-
ριου τοῦ Χετταίου. καὶ ἀπέστειλεν Δαυιδ ἀγγέλους καὶ ἔλαβεν 4
αὐτήν καὶ εἰσῆλθεν πρὸς αὐτόν καὶ ἐκοιμήθη μετ᾽ αὐτῆς καὶ αὐτὴ
ἁγιαζομένη ἀπὸ ἀκαθαρσίας αὐτῆς καὶ ἀπέστρεψεν εἰς τὸν οἶκον
αὐτῆς. καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνή καὶ ἀποστείλασα ἀπήγγειλεν 5
τῷ Δαυιδ καὶ εἶπεν ἐγώ εἰμι ἐν γαστρὶ ἔχω. καὶ ἀπέστειλεν Δαυιδ 6
πρὸς Ιωαβ λέγων ἀπόστειλον πρός με τὸν Ουριαν τὸν Χετταῖον καὶ
ἀπέστειλεν Ιωαβ τὸν Ουριαν πρὸς Δαυιδ. καὶ παραγίνεται Ου- 7
ριας καὶ εἰσῆλθεν πρὸς αὐτόν καὶ ἐπηρώτησεν Δαυιδ εἰς εἰρήνην
Ιωαβ καὶ εἰς εἰρήνην τοῦ λαοῦ καὶ εἰς εἰρήνην τοῦ πολέμου. καὶ 8
εἶπεν Δαυιδ τῷ Ουρια κατάβηθι εἰς τὸν οἶκόν σου καὶ νίψαι τοὺς
πόδας σου καὶ ἐξῆλθεν Ουριας ἐξ οἴκου τοῦ βασιλέως καὶ ἐξῆλθεν
ὀπίσω αὐτοῦ ἄρσις τοῦ βασιλέως. καὶ ἐκοιμήθη Ουριας παρὰ 9
τῇ θύρᾳ τοῦ βασιλέως μετὰ τῶν δούλων τοῦ κυρίου αὐτοῦ καὶ οὐ
κατέβη εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἀνήγγειλαν τῷ Δαυιδ λέγοντες 10

---

11. v.1 καί[cc] γίνομαι[viam3s] ἐπιστρέφω[vpaagms] ὁ[dgms] ἐνιαυτός[ngmsc] εἰς[pa] ὁ[dams] καιρός[namsc] ὁ[dgfs] ἐξοδία[ngfsc] ὁ[dgmp] βασιλεύς[ngmpc] καί[cc] ἀποστέλλω[viaa3s] Δαυιδ[nnmsp] ὁ[dams] Ιωαβ[namsp] καί[cc] ὁ[damp] παῖς[nampc] αὐτός[rpgms] μετά[pg] αὐτός[rpgms] καί[cc] ὁ[dams] πᾶς[aiamsn] Ἰσραήλ[ngmsp] καί[cc] διαφθείρω[viaa3p] ὁ[damp] υἱός[nampc] Αμμων[ngmsp] καί[cc] διακαθίζω[viaa3p] ἐπί[pa] Ραββαθ[na-sp] καί[cc] Δαυιδ[nnmsp] καθίζω[viaa3s] ἐν[pd] Ἰερουσαλήμ[ndfsp]. **v.2** καί[cc] γίνομαι[viam3s] πρός[pa] ἑσπέρα[nafsc] καί[cc] ἀνίστημι[viaa3s] Δαυιδ[nnmsp] ἀπό[pg] ὁ[dgfs] κοίτη[ngfsc] αὐτός[rpgms] καί[cc] περιπατέω[viia3s] ἐπί[pg] ὁ[dgns] δῶμα[ngnsc] ὁ[dgms] οἶκος[ngmsc] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ὁράω[viaa3s] γυνή[nafsc] λούω[vppmafs] ἀπό[pg] ὁ[dgns] δῶμα[ngnsc] καί[cc] ὁ[dnfs] γυνή[nnfsc] καλός[annfsn] ὁ[ddns] εἶδος[ndnsc] σφόδρα[b]. **v.3** καί[cc] ἀποστέλλω[viaa3s] Δαυιδ[nnmsp] καί[cc] ζητέω[viaa3s] ὁ[dafs] γυνή[nafsc] καί[cc] λέγω[viaa3s] οὐχί[b] οὗτος[rdnfs] Βηρσαβεε[nnfsp] θυγάτηρ[nnfsc] Ελιαβ[ngfsp] γυνή[nnfsc] Ουριας[ngmsp] ὁ[dgms] Χετταῖος[ngmsp]. **v.4** καί[cc] ἀποστέλλω[viaa3s] Δαυιδ[nnmsp] ἄγγελος[nampc] καί[cc] λαμβάνω[viaa3s] αὐτός[rpafs] καί[cc] εἰσέρχομαι[viaa3s] πρός[pa] αὐτός[rpams] καί[cc] κοιμάομαι[viap3s] μετά[pg] αὐτός[rpgfs] καί[cc] αὐτός[rpnfs] ἁγιάζω[vpppnfs] ἀπό[pg] ἀκαθαρσία[ngfsc] αὐτός[rpgfs] καί[cc] ἀποστρέφω[viaa3s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgfs]. **v.5** καί[cc] ἐν[pd] γαστήρ[ndfsc] λαμβάνω[viaa3s] ὁ[dnfs] γυνή[nnfsc] καί[cc] ἀποστέλλω[vpaanfs] ἀπαγγέλλω[viaa3s] ὁ[ddms] Δαυιδ[ndmsp] καί[cc] λέγω[viaa3s] ἐγώ[rpnfs] εἰμί[vipa1s] ἐν[pd] γαστήρ[ndfsc] ἔχω[vipa1s]. **v.6** καί[cc] ἀποστέλλω[viaa3s] Δαυιδ[nnmsp] πρός[pa] Ιωαβ[namsp] λέγω[vppanms] ἀποστέλλω[vdaa2s] πρός[pa] ἐγώ[rpa-s] ὁ[dams] Ουριας[namsp] ὁ[dams] Χετταῖος[namsp] καί[cc] ἀποστέλλω[viaa3s] Ιωαβ[nnmsp] ὁ[dams] Ουριας[namsp] πρός[pa] Δαυιδ[namsp]. **v.7** καί[cc] παραγίνομαι[vipm3s] Ουριας[nnmsp] καί[cc] εἰσέρχομαι[viaa3s] πρός[pa] αὐτός[rpams] καί[cc] ἐπερωτάω[viaa3s] Δαυιδ[nnmsp] εἰς[pa] εἰρήνη[nafsc] Ιωαβ[ngmsp] καί[cc] εἰς[pa] εἰρήνη[nafsc] ὁ[dgms] λαός[ngmsc] καί[cc] εἰς[pa] εἰρήνη[nafsc] ὁ[dgms] πόλεμος[ngmsc]. **v.8** καί[cc] λέγω[viaa3s] Δαυιδ[nnmsp] ὁ[ddms] Ουριας[ndmsp] καταβαίνω[vdaa2s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] σύ[rpg-s] καί[cc] νίπτω[vdam2s] ὁ[damp] πούς[nampc] σύ[rpg-s] καί[cc] ἐξέρχομαι[viaa3s] Ουριας[nnmsp] ἐκ[pg] οἶκος[ngmsc] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ἐξέρχομαι[viaa3s] ὀπίσω[pg] αὐτός[rpgms] ἄρσις[nnfsc] ὁ[dgms] βασιλεύς[ngmsc]. **v.9** καί[cc] κοιμάομαι[viap3s] Ουριας[nnmsp] παρά[pd] ὁ[ddfs] θύρα[ndfsc] ὁ[dgms] βασιλεύς[ngmsc] μετά[pg] ὁ[dgmp] δοῦλος[ngmpc] ὁ[dgms] κύριος[ngmsc] αὐτός[rpgms] καί[cc] οὐ[b] καταβαίνω[viaa3s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms].

ὅτι οὐ κατέβη Ουριας εἰς τὸν οἶκον αὐτοῦ καὶ εἶπεν Δαυιδ πρὸς Ουριαν οὐχὶ ἐξ ὁδοῦ σὺ ἔρχῃ τί ὅτι οὐ κατέβης εἰς τὸν οἶκόν σου.
11 καὶ εἶπεν Ουριας πρὸς Δαυιδ ἡ κιβωτὸς καὶ Ισραηλ καὶ Ιουδας κατοικοῦσιν ἐν σκηναῖς καὶ ὁ κύριός μου Ιωαβ καὶ οἱ δοῦλοι τοῦ κυρίου μου ἐπὶ πρόσωπον τοῦ ἀγροῦ παρεμβάλλουσιν καὶ ἐγὼ εἰσελεύσομαι εἰς τὸν οἶκόν μου φαγεῖν καὶ πιεῖν καὶ κοιμηθῆναι μετὰ τῆς γυναικός μου πῶς ζῇ ἡ ψυχή σου εἰ ποιήσω τὸ ῥῆμα
12 τοῦτο. καὶ εἶπεν Δαυιδ πρὸς Ουριαν κάθισον ἐνταῦθα καί γε σήμερον καὶ αὔριον ἐξαποστελῶ σε καὶ ἐκάθισεν Ουριας ἐν Ιε-
13 ρουσαλημ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τῇ ἐπαύριον. καὶ ἐκάλεσεν αὐτὸν Δαυιδ καὶ ἔφαγεν ἐνώπιον αὐτοῦ καὶ ἔπιεν καὶ ἐμέθυσεν αὐτόν καὶ ἐξῆλθεν ἑσπέρας τοῦ κοιμηθῆναι ἐπὶ τῆς κοίτης αὐτοῦ μετὰ τῶν δούλων τοῦ κυρίου αὐτοῦ καὶ εἰς τὸν οἶκον αὐτοῦ οὐ
14 κατέβη. καὶ ἐγένετο πρωὶ καὶ ἔγραψεν Δαυιδ βιβλίον πρὸς Ιωαβ
15 καὶ ἀπέστειλεν ἐν χειρὶ Ουριου. καὶ ἔγραψεν ἐν τῷ βιβλίῳ λέγων εἰσάγαγε τὸν Ουριαν ἐξ ἐναντίας τοῦ πολέμου τοῦ κραταιοῦ καὶ ἀποστραφήσεσθε ἀπὸ ὄπισθεν αὐτοῦ καὶ πληγήσεται καὶ ἀπο-
16 θανεῖται. καὶ ἐγενήθη ἐν τῷ φυλάσσειν Ιωαβ ἐπὶ τὴν πόλιν καὶ ἔθηκεν τὸν Ουριαν εἰς τὸν τόπον οὗ ᾔδει ὅτι ἄνδρες δυνάμεως ἐ-
17 κεῖ. καὶ ἐξῆλθον οἱ ἄνδρες τῆς πόλεως καὶ ἐπολέμουν μετὰ Ιωαβ καὶ ἔπεσαν ἐκ τοῦ λαοῦ ἐκ τῶν δούλων Δαυιδ καὶ ἀπέθανεν καί

---

v.10 καί[cc] ἀναγγέλλω[viaa3p] ὁ[ddms] Δαυίδ[ndmsp] λέγω[vppanmp] ὅτι[cs] οὐ[b] καταβαίνω[viaa3s] Ουριας[nnmsp] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] καί[cc] λέγω[viaa3s] Δαυίδ[nnmsp] πρός[pa] Ουριας[namsp] οὐχί[b] ἐκ[pg] ὁδός[ngfsc] σύ[rpn-s] ἔρχομαι[vipm2s] τίς[rqnns] ὅτι[cs] οὐ[b] καταβαίνω[viaa2s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] σύ[rpg-s]. **v.11** καί[cc] λέγω[viaa3s] Ουριας[nnmsp] πρός[pa] Δαυίδ[namsp] ὁ[dnfs] κιβωτός[nnfsc] καί[cc] Ἰσραήλ[nnmsp] καί[cc] Ἰούδας[nnmsp] κατοικέω[vipa3p] ἐν[pd] σκηνή[ndfpc] καί[cc] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-s] Ιωαβ[ngmsp] καί[cc] ὁ[dnmp] δοῦλος[nnmpc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-s] ἐπί[pa] πρόσωπον[nansc] ὁ[dgms] ἀγρός[ngmsc] παρεμβάλλω[vipa3p] καί[cc] ἐγώ[rpn-s] εἰσέρχομαι[vifm1s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] ἐγώ[rpg-s] ἐσθίω[vnaa] καί[cc] πίνω[vnaa] καί[cc] κοιμάομαι[vnap] μετά[pg] ὁ[dgfs] γυνή[ngfsc] ἐγώ[rpg-s] πῶς[b] ζάω[vipa3s] ὁ[dnfs] ψυχή[nnfsc] σύ[rpg-s] εἰ[cs] ποιέω[vifa1s] ὁ[dans] ῥῆμα[nansc] οὗτος[rdans]. **v.12** καί[cc] λέγω[viaa3s] Δαυίδ[nnmsp] πρός[pa] Ουριας[namsp] καθίζω[vdaa2s] ἐνταῦθα[b] καί[b] γέ[x] σήμερον[b] καί[cc] αὔριον[b] ἐξαποστέλλω[vifa1s] σύ[rpa-s] καί[cc] καθίζω[viaa3s] Ουριας[nnmsp] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] καί[cc] ὁ[ddfs] ἐπαύριον[b]. **v.13** καί[cc] καλέω[viaa3s] αὐτός[rpams] Δαυίδ[nnmsp] καί[cc] ἐσθίω[viaa3s] ἐνώπιον[pg] αὐτός[rpgms] καί[cc] πίνω[viaa3s] καί[cc] μεθύσκω[viaa3p] αὐτός[rpams] καί[cc] ἐξέρχομαι[viaa3s] ἑσπέρα[ngfsc] ὁ[dgns] κοιμάομαι[vnap] ἐπί[pg] ὁ[dgfs] κοίτη[ngfsc] αὐτός[rpgms] μετά[pg] ὁ[dgmp] δοῦλος[ngmpc] ὁ[dgms] κύριος[ngmsc] αὐτός[rpgms] καί[cc] εἰς[pa] ὁ[dams] οἶκος[namsc] αὐτός[rpgms] οὐ[b] καταβαίνω[viaa3s]. **v.14** καί[cc] γίνομαι[viam3s] πρωΐ[b] καί[cc] γράφω[viaa3s] Δαυίδ[nnmsp] βιβλίον[nansc] πρός[pa] Ιωαβ[namsp] καί[cc] ἀποστέλλω[viaa3s] ἐν[pd] χείρ[ndfsc] Ουριας[ngmsp]. **v.15** καί[cc] γράφω[viaa3s] ἐν[pd] ὁ[ddns] βιβλίον[ndnsc] λέγω[vppanms] εἰσάγω[vdaa2s] ὁ[dams] Ουριας[namsp] ἐκ[pg] ἐναντίος[angfsn] ὁ[dgms] πόλεμος[ngmsc] ὁ[dgms] κραταιός[angmsn] καί[cc] ἀποστρέφω[vifp2p] ἀπό[pp] ὄπισθε[b] αὐτός[rpgms] καί[cc] πλήσσω[vifp3s] καί[cc] ἀποθνήσκω[vifm3s]. **v.16** καί[cc] γίνομαι[viap3s] ἐν[pd] ὁ[ddns] φυλάσσω[vnpa] Ιωαβ[nnmsp] ἐπί[pa] ὁ[dafs] πόλις[nafsc] καί[cc] τίθημι[viaa3s] ὁ[dams] Ουριας[namsp] εἰς[pa] ὁ[dams] τόπος[namsc] ὅς[b] οἶδα[viya3s] ὅτι[cs] ἀνήρ[nnmpc] δύναμις[ngfsc] ἐκεῖ[b].

γε Ουριας ὁ Χετταῖος. καὶ ἀπέστειλεν Ιωαβ καὶ ἀπήγγειλεν τῷ 18
βασιλεῖ πάντας τοὺς λόγους τοῦ πολέμου. καὶ ἐνετείλατο τῷ ἀγ- 19
γέλῳ λέγων ἐν τῷ συντελέσαι σε πάντας τοὺς λόγους τοῦ πολέμου
λαλῆσαι πρὸς τὸν βασιλέα. καὶ ἔσται ἐὰν ἀναβῇ ὁ θυμὸς τοῦ 20
βασιλέως καὶ εἴπῃ σοι τί ὅτι ἠγγίσατε πρὸς τὴν πόλιν πολεμῆσαι
οὐκ ᾔδειτε ὅτι τοξεύσουσιν ἀπάνωθεν τοῦ τείχους. τίς ἐπάταξεν 21
τὸν Αβιμελεχ υἱὸν Ιεροβααλ οὐχὶ γυνὴ ἔρριψεν ἐπ᾽ αὐτὸν κλάσμα
μύλου ἐπάνωθεν τοῦ τείχους καὶ ἀπέθανεν ἐν Θαμασι ἵνα τί προ-
σηγάγετε πρὸς τὸ τεῖχος καὶ ἐρεῖς καί γε Ουριας ὁ δοῦλός σου ὁ
Χετταῖος ἀπέθανεν. καὶ ἐπορεύθη ὁ ἄγγελος Ιωαβ πρὸς τὸν βα- 22
σιλέα εἰς Ιερουσαλημ καὶ παρεγένετο καὶ ἀπήγγειλεν τῷ Δαυιδ
πάντα ὅσα ἀπήγγειλεν αὐτῷ Ιωαβ πάντα τὰ ῥήματα τοῦ πολέμου
καὶ ἐθυμώθη Δαυιδ πρὸς Ιωαβ καὶ εἶπεν πρὸς τὸν ἄγγελον ἵνα τί
προσηγάγετε πρὸς τὴν πόλιν τοῦ πολεμῆσαι οὐκ ᾔδειτε ὅτι πλη-
γήσεσθε ἀπὸ τοῦ τείχους τίς ἐπάταξεν τὸν Αβιμελεχ υἱὸν Ιεροβααλ
οὐχὶ γυνὴ ἔρριψεν ἐπ᾽ αὐτὸν κλάσμα μύλου ἀπὸ τοῦ τείχους καὶ
ἀπέθανεν ἐν Θαμασι ἵνα τί προσηγάγετε πρὸς τὸ τεῖχος. καὶ 23
εἶπεν ὁ ἄγγελος πρὸς Δαυιδ ὅτι ἐκραταίωσαν ἐφ᾽ ἡμᾶς οἱ ἄνδρες
καὶ ἐξῆλθαν ἐφ᾽ ἡμᾶς εἰς τὸν ἀγρόν καὶ ἐγενήθημεν ἐπ᾽ αὐτοὺς
ἕως τῆς θύρας τῆς πύλης. καὶ ἐτόξευσαν οἱ τοξεύοντες πρὸς τοὺς 24

---

v.17 καί^{cc} ἐξέρχομαι^{viaa3p} ὁ^{dnmp} ἀνήρ^{nnmpc} ὁ^{dgfs} πόλις^{ngfsc} καί^{cc} πολεμέω^{viia3p} μετά^{pg} Ιωαβ^{ngmsp} καί^{cc} πίπτω^{viaa3p} ἐκ^{pg} ὁ^{dgms} λαός^{ngmsc} ἐκ^{pg} ὁ^{dgmp} δοῦλος^{ngmpc} Δαυίδ^{ngmsp} καί^{cc} ἀποθνήσκω^{viaa3s} καί^{b} γέ^{x} Ουριας^{nnmsp} ὁ^{dnms} Χετταῖος^{nnmsp}. **v.18** καί^{cc} ἀποστέλλω^{viaa3s} Ιωαβ^{nnmsp} καί^{cc} ἀπαγγέλλω^{viaa3s} ὁ^{ddms} βασιλεύς^{ndmsc} πᾶς^{aiampn} ὁ^{damp} λόγος^{nampc} ὁ^{dgms} πόλεμος^{ngmsc}. **v.19** καί^{cc} ἐντέλλομαι^{viam3s} ὁ^{ddms} ἄγγελος^{ndmsc} λέγω^{vppanms} ἐν^{pd} ὁ^{ddns} συντελέω^{vnaa} σύ$^{rpa-s}$ πᾶς^{aiampn} ὁ^{damp} λόγος^{nampc} ὁ^{dgms} πόλεμος^{ngmsc} λαλέω^{vnaa} πρός^{pa} ὁ^{dams} βασιλεύς^{namsc}. **v.20** καί^{cc} εἰμί^{vifm3s} ἐάν^{cs} ἀναβαίνω^{vsaa3s} ὁ^{dnms} θυμός^{nnmsc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} λέγω^{vsaa3s} σύ$^{rpd-s}$ τίς^{rqnns} ὅτι^{cs} ἐγγίζω^{viaa2p} πρός^{pa} ὁ^{dafs} πόλις^{nafsc} πολεμέω^{vnaa} οὐ^{b} οἶδα^{viya2p} ὅτι^{cs} τοξεύω^{vifa3p} ἀπάνωθεν^{pg} ὁ^{dgns} τεῖχος^{ngnsc}. **v.21** τίς^{rqnms} πατάσσω^{viaa3s} ὁ^{dams} Αβιμελεχ^{namsp} υἱός^{namsc} Ιεροβααλ^{ngmsp} οὐχί^{b} γυνή^{nnfsc} ῥίπτω^{viaa3s} ἐπί^{pa} αὐτός^{rpams} κλάσμα^{nansc} μύλος^{ngmsc} ἐπάνωθεν^{b} ὁ^{dgns} τεῖχος^{ngnsc} καί^{cc} ἀποθνήσκω^{viaa3s} ἐν^{pd} Θαμασι^{nd-sp} ἵνα^{cs} τίς^{rqnns} προσάγω^{viaa2p} πρός^{pa} ὁ^{dans} τεῖχος^{nansc} καί^{cc} λέγω^{vifa2s} καί^{b} γέ^{x} Ουριας^{nnmsp} ὁ^{dnms} δοῦλος^{nnmsc} σύ$^{rpg-s}$ ὁ^{dnms} Χετταῖος^{nnmsp} ἀποθνήσκω^{viaa3s}. **v.22** καί^{cc} πορεύομαι^{viap3s} ὁ^{dnms} ἄγγελος^{nnmsc} Ιωαβ^{nnmsp} πρός^{pa} ὁ^{dams} βασιλεύς^{namsc} εἰς^{pa} Ἰερουσαλήμ^{nafsp} καί^{cc} παραγίνομαι^{viam3s} καί^{cc} ἀπαγγέλλω^{viaa3s} ὁ^{ddms} Δαυίδ^{ndmsp} πᾶς^{aianpn} ὅσος^{aranpn} ἀπαγγέλλω^{viaa3s} αὐτός^{rpdms} Ιωαβ^{nnmsp} πᾶς^{aiansn} ὁ^{danp} ῥῆμα^{nanpc} ὁ^{dgms} πόλεμος^{ngmsc} καί^{cc} θυμόω^{viap3s} Δαυίδ^{nnmsp} πρός^{pa} Ιωαβ^{namsp} καί^{cc} λέγω^{viaa3s} πρός^{pa} ὁ^{dams} ἄγγελος^{namsc} ἵνα^{cs} τίς^{rqnns} προσάγω^{viaa2p} πρός^{pa} ὁ^{dafs} πόλις^{nafsc} ὁ^{dgns} πολεμέω^{vnaa} οὐ^{b} οἶδα^{viya2p} ὅτι^{cs} πλήσσω^{vifp2p} ἀπό^{pg} ὁ^{dgns} τεῖχος^{ngnsc} τίς^{rqnms} πατάσσω^{viaa3s} ὁ^{dams} Αβιμελεχ^{namsp} υἱός^{namsc} Ιεροβααλ^{ngmsp} οὐχί^{b} γυνή^{nnfsc} ῥίπτω^{viaa3s} ἐπί^{pa} αὐτός^{rpams} κλάσμα^{nansc} μύλος^{ngmsc} ἀπό^{pg} ὁ^{dgns} τεῖχος^{ngnsc} καί^{cc} ἀποθνήσκω^{viaa3s} ἐν^{pd} Θαμασι^{nd-sp} ἵνα^{cs} τίς^{rqnns} προσάγω^{viaa2p} πρός^{pa} ὁ^{dans} τεῖχος^{nansc}. **v.23** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} ἄγγελος^{nnmsc} πρός^{pa} Δαυίδ^{namsp} ὅτι^{cs} κραταιόω^{viaa3p} ἐπί^{pa} ἐγώ$^{rpa-p}$ ὁ^{dnmp} ἀνήρ^{nnmpc} καί^{cc} ἐξέρχομαι^{viaa3p} ἐπί^{pa} ἐγώ$^{rpa-p}$ εἰς^{pa} ὁ^{dams} ἀγρός^{namsc} καί^{cc} γίνομαι^{viap1p} ἐπί^{pa} αὐτός^{rpamp} ἕως^{pg} ὁ^{dgfs} θύρα^{ngfsc} ὁ^{dgfs} πύλη^{ngfsc}.

παῖδάς σου ἀπάνωθεν τοῦ τείχους καὶ ἀπέθαναν τῶν παίδων τοῦ
25 βασιλέως καί γε ὁ δοῦλός σου Ουριας ὁ Χετταῖος ἀπέθανεν. καὶ
εἶπεν Δαυιδ πρὸς τὸν ἄγγελον τάδε ἐρεῖς πρὸς Ιωαβ μὴ πονηρὸν
ἔστω ἐν ὀφθαλμοῖς σου τὸ ῥῆμα τοῦτο ὅτι ποτὲ μὲν οὕτως καὶ πο-
τὲ οὕτως φάγεται ἡ μάχαιρα κραταίωσον τὸν πόλεμόν σου πρὸς
26 τὴν πόλιν καὶ κατάσπασον αὐτὴν καὶ κραταίωσον αὐτόν. καὶ
ἤκουσεν ἡ γυνὴ Ουριου ὅτι ἀπέθανεν Ουριας ὁ ἀνὴρ αὐτῆς καὶ
27 ἐκόψατο τὸν ἄνδρα αὐτῆς. καὶ διῆλθεν τὸ πένθος καὶ ἀπέστειλεν
Δαυιδ καὶ συνήγαγεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐγενήθη αὐ-
τῷ εἰς γυναῖκα καὶ ἔτεκεν αὐτῷ υἱόν καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα
ὃ ἐποίησεν Δαυιδ ἐν ὀφθαλμοῖς κυρίου.

12 καὶ ἀπέστειλεν κύριος τὸν Ναθαν τὸν προφήτην πρὸς Δαυιδ
καὶ εἰσῆλθεν πρὸς αὐτὸν καὶ εἶπεν αὐτῷ δύο ἦσαν ἄνδρες ἐν πό-
2 λει μιᾷ εἷς πλούσιος καὶ εἷς πένης. καὶ τῷ πλουσίῳ ἦν ποίμνια
3 καὶ βουκόλια πολλὰ σφόδρα. καὶ τῷ πένητι οὐδὲν ἀλλ᾽ ἢ ἀμνὰς
μία μικρά ἣν ἐκτήσατο καὶ περιεποιήσατο καὶ ἐξέθρεψεν αὐτήν
καὶ ἠδρύνθη μετ᾽ αὐτοῦ καὶ μετὰ τῶν υἱῶν αὐτοῦ ἐπὶ τὸ αὐτό ἐκ
τοῦ ἄρτου αὐτοῦ ἤσθιεν καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινεν καὶ
4 ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδεν καὶ ἦν αὐτῷ ὡς θυγάτηρ. καὶ
ἦλθεν πάροδος τῷ ἀνδρὶ τῷ πλουσίῳ καὶ ἐφείσατο λαβεῖν ἐκ τῶν
ποιμνίων αὐτοῦ καὶ ἐκ τῶν βουκολίων αὐτοῦ τοῦ ποιῆσαι τῷ ξένῳ

---

v.24 καί^{cc} τοξεύω^{viaa3p} ὁ^{dnmp} τοξεύω^{vppanmp} πρός^{pa} ὁ^{damp} παῖς^{nampc} σύ$^{rpg-s}$ ἀπάνωθεν^{pg} ὁ^{dgns} τεῖχος^{ngnsc} καί^{cc} ἀποθνῄσκω^{viaa3p} ὁ^{dgmp} παῖς^{ngmpc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} γέ^{x} ὁ^{dnms} δοῦλος^{nnmsc} σύ$^{rpg-s}$ Ουριας^{nnmsp} ὁ^{dnms} Χετταῖος^{nnmsp} ἀποθνῄσκω^{viaa3s}. **v.25** καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} πρός^{pa} ὁ^{dams} ἄγγελος^{namsc} ὅδε^{rdanp} λέγω^{vifa2s} πρός^{pa} Ιωαβ^{namsp} μή^{x} πονηρός^{annnsn} εἰμί^{vdpa3s} ἐν^{pd} ὀφθαλμός^{ndmpc} σύ$^{rpg-s}$ ὁ^{dnns} ῥῆμα^{nnnsc} οὗτος^{rdnns} ὅτι^{cs} ποτέ^{b} μέν^{x} οὕτως^{b} καί^{cc} ποτέ^{b} οὕτως^{b} ἐσθίω^{vifm3s} ὁ^{dnfs} μάχαιρα^{nnfsc} κραταιόω^{vdaa2s} ὁ^{dams} πόλεμος^{namsc} σύ$^{rpg-s}$ πρός^{pa} ὁ^{dafs} πόλις^{nafsc} καί^{cc} κατασπάω^{vdaa2s} αὐτός^{rpafs} καί^{cc} κραταιόω^{vdaa2s} αὐτός^{rpams}. **v.26** καί^{cc} ἀκούω^{viaa3s} ὁ^{dnfs} γυνή^{nnfsc} Ουρια^{ngmsp} ὅτι^{cs} ἀποθνῄσκω^{viaa3s} Ουριας^{nnmsp} ὁ^{dnms} ἀνήρ^{nnmsc} αὐτός^{rpgfs} καί^{cc} κόπτω^{viam3s} ὁ^{dams} ἀνήρ^{namsc} αὐτός^{rpgfs}. **v.27** καί^{cc} διέρχομαι^{viaa3s} ὁ^{dnns} πένθος^{nnnsc} καί^{cc} ἀποστέλλω^{viaa3s} Δαυίδ^{nnmsp} καί^{cc} συνάγω^{viaa3s} αὐτός^{rpafs} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} αὐτός^{rpgms} καί^{cc} γίνομαι^{viap3s} αὐτός^{rpdms} εἰς^{pa} γυνή^{nafsc} καί^{cc} τίκτω^{viaa3s} αὐτός^{rpdms} υἱός^{namsc} καί^{cc} πονηρός^{annnsn} φαίνω^{viap3s} ὁ^{dnns} ῥῆμα^{nnnsc} ὅς^{rrans} ποιέω^{viaa3s} Δαυίδ^{nnmsp} ἐν^{pd} ὀφθαλμός^{ndmpc} κύριος^{ngmsc}. **12. v.1** καί^{cc} ἀποστέλλω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dams} Ναθάμ^{namsp} ὁ^{dams} προφήτης^{namsc} πρός^{pa} Δαυίδ^{namsp} καί^{cc} εἰσέρχομαι^{viaa3s} πρός^{pa} αὐτός^{rpams} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} δύο$^{ac–n}$ εἰμί^{viia3p} ἀνήρ^{nnmpc} ἐν^{pd} πόλις^{ndfsc} εἷς^{acdfsn} εἷς^{acnmsn} πλούσιος^{annmsn} καί^{cc} εἷς^{acnmsn} πένης^{nnmsc}. **v.2** καί^{cc} ὁ^{ddms} πλούσιος^{andmsn} εἰμί^{viia3s} ποίμνιον^{nnnpc} καί^{cc} βουκόλιον^{nnnpc} πολύς^{annnpn} σφόδρα^{b}. **v.3** καί^{cc} ὁ^{ddms} πένης^{ndmsc} οὐδείς^{rinns} ἀλλά^{cc} ἤ^{cc} ἀμνάς^{nnfsc} εἷς^{acnfsn} μικρός^{annfsn} ὅς^{rrafs} κτάομαι^{viam3s} καί^{cc} περιποιέω^{viam3s} καί^{cc} ἐκτρέφω^{viaa3s} αὐτός^{rpafs} καί^{cc} ἀδρύνω^{viap3s} μετά^{pg} αὐτός^{rpgms} καί^{cc} μετά^{pg} ὁ^{dgmp} υἱός^{ngmpc} αὐτός^{rpgms} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rpans} ἐκ^{pg} ὁ^{dgms} ἄρτος^{ngmsc} αὐτός^{rpgms} ἐσθίω^{viia3s} καί^{cc} ἐκ^{pg} ὁ^{dgns} ποτήριον^{ngnsc} αὐτός^{rpgms} πίνω^{viia3s} καί^{cc} ἐν^{pd} ὁ^{ddms} κόλπος^{ndmsc} αὐτός^{rpgms} καθεύδω^{viia3s} καί^{cc} εἰμί^{viia3s} αὐτός^{rpdms} ὡς^{cs} θυγάτηρ^{nnfsc}.

ὁδοιπόρῳ ἐλθόντι πρὸς αὐτὸν καὶ ἔλαβεν τὴν ἀμνάδα τοῦ πένητος καὶ ἐποίησεν αὐτὴν τῷ ἀνδρὶ τῷ ἐλθόντι πρὸς αὐτόν. καὶ ἐθυ- 5
μώθη ὀργῇ Δαυιδ σφόδρα τῷ ἀνδρί καὶ εἶπεν Δαυιδ πρὸς Ναθαν
ζῇ κύριος ὅτι υἱὸς θανάτου ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο. καὶ τὴν 6
ἀμνάδα ἀποτείσει ἑπταπλασίονα ἀνθ᾽ ὧν ὅτι ἐποίησεν τὸ ῥῆμα
τοῦτο καὶ περὶ οὗ οὐκ ἐφείσατο. καὶ εἶπεν Ναθαν πρὸς Δαυιδ 7
σὺ εἶ ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο τάδε λέγει κύριος ὁ θεὸς Ισραηλ
ἐγώ εἰμι ἔχρισά σε εἰς βασιλέα ἐπὶ Ισραηλ καὶ ἐγώ εἰμι ἐρρυσά-
μην σε ἐκ χειρὸς Σαουλ. καὶ ἔδωκά σοι τὸν οἶκον τοῦ κυρίου 8
σου καὶ τὰς γυναῖκας τοῦ κυρίου σου ἐν τῷ κόλπῳ σου καὶ ἔδωκά
σοι τὸν οἶκον Ισραηλ καὶ Ιουδα καὶ εἰ μικρόν ἐστιν προσθήσω σοι
κατὰ ταῦτα. τί ὅτι ἐφαύλισας τὸν λόγον κυρίου τοῦ ποιῆσαι τὸ 9
πονηρὸν ἐν ὀφθαλμοῖς αὐτοῦ τὸν Ουριαν τὸν Χετταῖον ἐπάταξας
ἐν ῥομφαίᾳ καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες σεαυτῷ εἰς γυναῖκα
καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομφαίᾳ υἱῶν Αμμων. καὶ νῦν οὐκ 10
ἀποστήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου ἕως αἰῶνος ἀνθ᾽ ὧν ὅτι ἐ-
ξουδένωσάς με καὶ ἔλαβες τὴν γυναῖκα τοῦ Ουριου τοῦ Χετταίου
τοῦ εἶναί σοι εἰς γυναῖκα. τάδε λέγει κύριος ἰδοὺ ἐγὼ ἐξεγείρω ἐ- 11
πὶ σὲ κακὰ ἐκ τοῦ οἴκου σου καὶ λήμψομαι τὰς γυναῖκάς σου κατ᾽
ὀφθαλμούς σου καὶ δώσω τῷ πλησίον σου καὶ κοιμηθήσεται μετὰ

---

v.4 καί^{cc} ἔρχομαι^{viaa3s} πάροδος^{nnmsc} ὁ^{ddms} ἀνήρ^{ndmsc} ὁ^{ddms} πλούσιος^{andmsn} καί^{cc} φείδομαι^{viam3s} λαμβάνω^{vnaa} ἐκ^{pg} ὁ^{dgnp} ποίμνιον^{ngnpc} αὐτός^{rpgms} καί^{cc} ἐκ^{pg} ὁ^{dgnp} βουκόλιον^{ngnpc} αὐτός^{rpgms} ὁ^{dgns} ποιέω^{vnaa} ὁ^{ddms} ξένος^{andmsn} ὁδοιπόρος^{ndmsc} ἔρχομαι^{vpaadms} πρός^{pa} αὐτός^{rpams} καί^{cc} λαμβάνω^{viaa3s} ὁ^{dafs} ἀμνάς^{nafsc} ὁ^{dgms} πένης^{ngmsc} καί^{cc} ποιέω^{viaa3s} αὐτός^{rpafs} ὁ^{ddms} ἀνήρ^{ndmsc} ὁ^{ddms} ἔρχομαι^{vpaadms} πρός^{pa} αὐτός^{rpams}. **v.5** καί^{cc} θυμόω^{viap3s} ὀργή^{ndfsc} Δαυίδ^{nnmsp} σφόδρα^{b} ὁ^{ddms} ἀνήρ^{ndmsc} καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} πρός^{pa} Ναθάμ^{namsp} ζάω^{vipa3s} κύριος^{nnmsc} ὅτι^{cs} υἱός^{nnmsc} θάνατος^{ngmsc} ὁ^{dnms} ἀνήρ^{nnmsc} ὁ^{dnms} ποιέω^{vpaanms} οὗτος^{rdans}. **v.6** καί^{cc} ὁ^{dafs} ἀμνάς^{nafsc} ἀποτίνω^{vifa3s} ἑπταπλασίων^{ananpn} ἀντί^{pg} ὅς^{rrgnp} ὅτι^{cs} ποιέω^{viaa3s} ὁ^{dans} ῥῆμα^{nansc} οὗτος^{rdans} καί^{cc} περί^{pg} ὅς^{rrgns} οὐ^{b} φείδομαι^{viam3s}. **v.7** καί^{cc} λέγω^{viaa3s} Ναθάμ^{nnmsp} πρός^{pa} Δαυίδ^{namsp} σύ^{rpnms} εἰμί^{vipa2s} ὁ^{dnms} ἀνήρ^{nnmsc} ὁ^{dnms} ποιέω^{vpaanms} οὗτος^{rdans} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} Ἰσραήλ^{ngmsp} ἐγώ^{rpnms} εἰμί^{vipa1s} χρίω^{viaa1s} σύ$^{rpa-s}$ εἰς^{pa} βασιλεύς^{namsc} ἐπί^{pa} Ἰσραήλ^{namsp} καί^{cc} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} ῥύομαι^{viam1s} σύ$^{rpa-s}$ ἐκ^{pg} χείρ^{ngfsc} Σαούλ^{ngmsp}. **v.8** καί^{cc} δίδωμι^{viaa1s} σύ$^{rpd-s}$ ὁ^{dams} οἶκος^{namsc} ὁ^{dgms} κύριος^{ngmsc} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{dafp} γυνή^{nafpc} ὁ^{dgms} κύριος^{ngmsc} σύ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddms} κόλπος^{ndmsc} σύ$^{rpg-s}$ καί^{cc} δίδωμι^{viaa1s} σύ$^{rpd-s}$ ὁ^{dams} οἶκος^{namsc} Ἰσραήλ^{ngmsp} καί^{cc} Ἰούδας^{ngmsp} καί^{cc} εἰ^{cs} μικρός^{annnsn} εἰμί^{vipa3s} προστίθημι^{vifa1s} σύ$^{rpd-s}$ κατά^{pa} οὗτος^{rdanp}. **v.9** τίς^{rqnns} ὅτι^{cs} φαυλίζω^{viaa2s} ὁ^{dams} λόγος^{namsc} κύριος^{ngmsc} ὁ^{dgns} ποιέω^{vnaa} ὁ^{dans} πονηρός^{anansn} ἐν^{pd} ὀφθαλμός^{ndmpc} αὐτός^{rpgms} ὁ^{dams} Ουριας^{namsp} ὁ^{dams} Χετταῖος^{namsp} πατάσσω^{viaa2s} ἐν^{pd} ῥομφαία^{ndfsc} καί^{cc} ὁ^{dafs} γυνή^{nafsc} αὐτός^{rpgms} λαμβάνω^{viaa2s} σεαυτοῦ^{rxdms} εἰς^{pa} γυνή^{nafsc} καί^{cc} αὐτός^{rpams} ἀποκτείνω^{viaa2s} ἐν^{pd} ῥομφαία^{ndfsc} υἱός^{ngmpc} Αμμων^{ngmsp}. **v.10** καί^{cc} νῦν^{b} οὐ^{b} ἀφίστημι^{vifm3s} ῥομφαία^{nnfsc} ἐκ^{pg} ὁ^{dgms} οἶκος^{ngmsc} σύ$^{rpg-s}$ ἕως^{pg} αἰών^{ngmsc} ἀντί^{pg} ὅς^{rrgnp} ὅτι^{cs} ἐξουδενόω^{viaa2s} ἐγώ$^{rpa-s}$ καί^{cc} λαμβάνω^{viaa2s} ὁ^{dafs} γυνή^{nafsc} ὁ^{dgms} Ουριας^{ngmsp} ὁ^{dgms} Χετταῖος^{ngmsp} ὁ^{dgns} εἰμί^{vnpa} σύ$^{rpd-s}$ εἰς^{pa} γυνή^{nafsc}.

12 τῶν γυναικῶν σου ἐναντίον τοῦ ἡλίου τούτου. ὅτι σὺ ἐποίησας
κρυβῇ κἀγὼ ποιήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παντὸς Ισραηλ καὶ ἀ-
13 πέναντι τούτου τοῦ ἡλίου. καὶ εἶπεν Δαυιδ τῷ Ναθαν ἡμάρτηκα
τῷ κυρίῳ καὶ εἶπεν Ναθαν πρὸς Δαυιδ καὶ κύριος παρεβίβασεν
14 τὸ ἁμάρτημά σου οὐ μὴ ἀποθάνῃς. πλὴν ὅτι παροξύνων πα-
ρώξυνας τοὺς ἐχθροὺς κυρίου ἐν τῷ ῥήματι τούτῳ καί γε ὁ υἱός
15 σου ὁ τεχθείς σοι θανάτῳ ἀποθανεῖται. καὶ ἀπῆλθεν Ναθαν εἰς
τὸν οἶκον αὐτοῦ καὶ ἔθραυσεν κύριος τὸ παιδίον ὃ ἔτεκεν ἡ γυνὴ
16 Ουριου τῷ Δαυιδ καὶ ἠρρώστησεν. καὶ ἐζήτησεν Δαυιδ τὸν θεὸν
περὶ τοῦ παιδαρίου καὶ ἐνήστευσεν Δαυιδ νηστείαν καὶ εἰσῆλθεν
17 καὶ ηὐλίσθη ἐν σάκκῳ ἐπὶ τῆς γῆς. καὶ ἀνέστησαν ἐπ᾽ αὐτὸν οἱ
πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ τοῦ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς καὶ
18 οὐκ ἠθέλησεν καὶ οὐ συνέφαγεν αὐτοῖς ἄρτον. καὶ ἐγένετο ἐν
τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ ἀπέθανε τὸ παιδάριον καὶ ἐφοβήθησαν
οἱ δοῦλοι Δαυιδ ἀναγγεῖλαι αὐτῷ ὅτι τέθνηκεν τὸ παιδάριον ὅτι
εἶπαν ἰδοὺ ἐν τῷ ἔτι τὸ παιδάριον ζῆν ἐλαλήσαμεν πρὸς αὐτόν
καὶ οὐκ εἰσήκουσεν τῆς φωνῆς ἡμῶν καὶ πῶς εἴπωμεν πρὸς αὐ-
19 τὸν ὅτι τέθνηκεν τὸ παιδάριον καὶ ποιήσει κακά. καὶ συνῆκεν
Δαυιδ ὅτι οἱ παῖδες αὐτοῦ ψιθυρίζουσιν καὶ ἐνόησεν Δαυιδ ὅτι
τέθνηκεν τὸ παιδάριον καὶ εἶπεν Δαυιδ πρὸς τοὺς παῖδας αὐτοῦ

---

v.11 ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἰδού^{i} ἐγώ$^{rpn-s}$ ἐξεγείρω^{vipa1s} ἐπί^{pa} σύ$^{rpa-s}$ κακός^{ananpn} ἐκ^{pg} ὁ^{dgms} οἶκος^{ngmsc} σύ$^{rpg-s}$ καί^{cc} λαμβάνω^{vifm1s} ὁ^{dafp} γυνή^{nafpc} σύ$^{rpg-s}$ κατά^{pa} ὀφθαλμός^{nampc} σύ$^{rpg-s}$ καί^{cc} δίδωμι^{vifa1s} ὁ^{ddms} πλησίον^{b} σύ$^{rpg-s}$ καί^{cc} κοιμάομαι^{vifp3s} μετά^{pg} ὁ^{dgfp} γυνή^{ngfpc} σύ$^{rpg-s}$ ἐναντίον^{pg} ὁ^{dgms} ἥλιος^{ngmsc} οὗτος^{rdgms}. **v.12** ὅτι^{cs} σύ$^{rpn-s}$ ποιέω^{viaa2s} κρυβῇ^{b} καί&ἐγώ$^{cc&rpn-s}$ ποιέω^{vifa1s} ὁ^{dans} ῥῆμα^{nansc} οὗτος^{rdans} ἐναντίον^{pg} πᾶς^{aigmsn} Ἰσραήλ^{ngmsp} καί^{cc} ἀπέναντι^{pg} οὗτος^{rdgms} ὁ^{dgms} ἥλιος^{ngmsc}. **v.13** καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} ὁ^{ddms} Ναθάμ^{ndmsp} ἁμαρτάνω^{vixa1s} ὁ^{ddms} κύριος^{ndmsc} καί^{cc} λέγω^{viaa3s} Ναθάμ^{nnmsp} πρός^{pa} Δαυίδ^{namsp} καί^{cc} κύριος^{nnmsc} παραβιβάζω^{viaa3s} ὁ^{dans} ἁμάρτημα^{nansc} σύ$^{rpg-s}$ οὐ^{b} μή^{x} ἀποθνῄσκω^{vsaa2s}. **v.14** πλήν^{b} ὅτι^{cs} παροξύνω^{vppanms} παροξύνω^{viaa2s} ὁ^{damp} ἐχθρός^{anampn} κύριος^{ngmsc} ἐν^{pd} ὁ^{ddns} ῥῆμα^{ndnsc} οὗτος^{rddns} καί^{cc} γέ^{x} ὁ^{dnms} υἱός^{nnmsc} σύ$^{rpg-s}$ ὁ^{dnms} τίκτω^{vpapnms} σύ$^{rpd-s}$ θάνατος^{ndmsc} ἀποθνῄσκω^{vifm3s}. **v.15** καί^{cc} ἀπέρχομαι^{viaa3s} Ναθάμ^{nnmsp} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} αὐτός^{rpgms} καί^{cc} θραύω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dans} παιδίον^{nansc} ὅς^{rrnns} τίκτω^{viaa3s} ὁ^{dnfs} γυνή^{nnfsc} Ουριας^{ngmsp} ὁ^{ddms} Δαυίδ^{ndmsp} καί^{cc} ἀρρωστέω^{viaa3s}. **v.16** καί^{cc} ζητέω^{viaa3s} Δαυίδ^{nnmsp} ὁ^{dams} θεός^{namsc} περί^{pg} ὁ^{dgns} παιδάριον^{ngnsc} καί^{cc} νηστεύω^{viaa3s} Δαυίδ^{nnmsp} νηστεία^{nafsc} καί^{cc} εἰσέρχομαι^{viaa3s} καί^{cc} αὐλίζομαι^{viap3s} ἐν^{pd} σάκκος^{ndmsc} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.17** καί^{cc} ἀνίστημι^{viaa3p} ἐπί^{pa} αὐτός^{rpams} ὁ^{dnmp} πρεσβύτερος^{annmpc} ὁ^{dgms} οἶκος^{ngmsc} αὐτός^{rpgms} ὁ^{dgns} ἐγείρω^{vnaa} αὐτός^{rpams} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} οὐ^{b} θέλω^{viaa3s} καί^{cc} οὐ^{b} συνεσθίω^{viaa3s} αὐτός^{rpdmp} ἄρτος^{namsc}. **v.18** καί^{cc} γίνομαι^{viam3s} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{ddfs} ἕβδομος^{aodfsn} καί^{cc} ἀποθνῄσκω^{viaa3s} ὁ^{dnns} παιδάριον^{nnnsc} καί^{cc} φοβέω^{viap3p} ὁ^{dnmp} δοῦλος^{nnmpc} Δαυίδ^{ngmsp} ἀναγγέλλω^{vnaa} αὐτός^{rpdms} ὅτι^{cs} θνῄσκω^{vixa3s} ὁ^{dnns} παιδάριον^{nnnsc} ὅτι^{cs} λέγω^{viaa3p} ἰδού^{i} ἐν^{pd} ὁ^{ddns} ἔτι^{b} ὁ^{dans} παιδάριον^{nansc} ζάω^{vnpa} λαλέω^{viaa1p} πρός^{pa} αὐτός^{rpams} καί^{cc} οὐ^{b} εἰσακούω^{viaa3s} ὁ^{dgfs} φωνή^{ngfsc} ἐγώ$^{rpg-p}$ καί^{cc} πῶς^{b} λέγω^{vsaa1p} πρός^{pa} αὐτός^{rpams} ὅτι^{cs} θνῄσκω^{vixa3s} ὁ^{dnns} παιδάριον^{nnnsc} καί^{cc} ποιέω^{vifa3s} κακός^{ananpn}.

εἰ τέθνηκεν τὸ παιδάριον καὶ εἶπαν τέθνηκεν. καὶ ἀνέστη Δαυιδ 20
ἐκ τῆς γῆς καὶ ἐλούσατο καὶ ἠλείψατο καὶ ἤλλαξεν τὰ ἱμάτια αὐ-
τοῦ καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ προσεκύνησεν αὐτῷ
καὶ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ ᾔτησεν ἄρτον φαγεῖν καὶ
παρέθηκαν αὐτῷ ἄρτον καὶ ἔφαγεν. καὶ εἶπαν οἱ παῖδες αὐτοῦ 21
πρὸς αὐτόν τί τὸ ῥῆμα τοῦτο ὃ ἐποίησας ἕνεκα τοῦ παιδαρίου ἔτι
ζῶντος ἐνήστευες καὶ ἔκλαιες καὶ ἠγρύπνεις καὶ ἡνίκα ἀπέθανεν
τὸ παιδάριον ἀνέστης καὶ ἔφαγες ἄρτον καὶ πέπωκας. καὶ εἶπεν 22
Δαυιδ ἐν τῷ τὸ παιδάριον ἔτι ζῇν ἐνήστευσα καὶ ἔκλαυσα ὅτι εἶπα
τίς οἶδεν εἰ ἐλεήσει με κύριος καὶ ζήσεται τὸ παιδάριον. καὶ νῦν 23
τέθνηκεν ἵνα τί τοῦτο ἐγὼ νηστεύω μὴ δυνήσομαι ἐπιστρέψαι αὐτὸ
ἔτι ἐγὼ πορεύσομαι πρὸς αὐτόν καὶ αὐτὸς οὐκ ἀναστρέψει πρός
με. καὶ παρεκάλεσεν Δαυιδ Βηρσαβεε τὴν γυναῖκα αὐτοῦ καὶ 24
εἰσῆλθεν πρὸς αὐτὴν καὶ ἐκοιμήθη μετ᾽ αὐτῆς καὶ συνέλαβεν καὶ
ἔτεκεν υἱόν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Σαλωμων καὶ κύριος
ἠγάπησεν αὐτόν. καὶ ἀπέστειλεν ἐν χειρὶ Ναθαν τοῦ προφήτου 25
καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ιδεδι ἕνεκεν κυρίου. καὶ ἐπολέ- 26
μησεν Ιωαβ ἐν Ραββαθ υἱῶν Αμμων καὶ κατέλαβεν τὴν πόλιν τῆς
βασιλείας. καὶ ἀπέστειλεν Ιωαβ ἀγγέλους πρὸς Δαυιδ καὶ εἶπεν 27

---

v.19 καί^{cc} συνίημι^{viaa3s} Δαυίδ^{nnmsp} ὅτι^{cs} ὁ^{dnmp} παῖς^{nnmpc} αὐτός^{rpgms} ψιθυρίζω^{vipa3p} καί^{cc} νοέω^{viaa3s} Δαυίδ^{nnmsp} ὅτι^{cs} θνῄσκω^{vixa3s} ὁ^{dnns} παιδάριον^{nnnsc} καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} πρός^{pa} ὁ^{damp} παῖς^{nampc} αὐτός^{rpgms} εἰ^{cs} θνῄσκω^{vixa3s} ὁ^{dnns} παιδάριον^{nnnsc} καί^{cc} λέγω^{viaa3p} θνῄσκω^{vixa3s}. **v.20** καί^{cc} ἀνίστημι^{viaa3s} Δαυίδ^{nnmsp} ἐκ^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} λούω^{viam3s} καί^{cc} ἀλείφω^{viam3s} καί^{cc} ἀλλάσσω^{viaa3s} ὁ^{danp} ἱμάτιον^{nanpc} αὐτός^{rpgms} καί^{cc} εἰσέρχομαι^{viaa3s} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} ὁ^{dgms} θεός^{ngmsc} καί^{cc} προσκυνέω^{viaa3s} αὐτός^{rpdms} καί^{cc} εἰσέρχομαι^{viaa3s} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} αὐτός^{rpgms} καί^{cc} αἰτέω^{viaa3s} ἄρτος^{namsc} ἐσθίω^{vnaa} καί^{cc} παρατίθημι^{viaa3p} αὐτός^{rpdms} ἄρτος^{namsc} καί^{cc} ἐσθίω^{viaa3s}. **v.21** καί^{cc} λέγω^{viaa3p} ὁ^{dnmp} παῖς^{nnmpc} αὐτός^{rpgms} πρός^{pa} αὐτός^{rpams} τίς^{rqnns} ὁ^{dnns} ῥῆμα^{nnnsc} οὗτος^{rdnns} ὅς^{rrnns} ποιέω^{viaa2s} ἕνεκα^{pg} ὁ^{dgns} παιδάριον^{ngnsc} ἔτι^{b} ζάω^{vppagms} νηστεύω^{viia2s} καί^{cc} κλαίω^{viia2s} καί^{cc} ἀγρυπνέω^{viia2s} καί^{cc} ἡνίκα^{cs} ἀποθνῄσκω^{viaa3s} ὁ^{dnns} παιδάριον^{nnnsc} ἀνίστημι^{viaa2s} καί^{cc} ἐσθίω^{viaa2s} ἄρτος^{namsc} καί^{cc} πίνω^{vixa2s}. **v.22** καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} ἐν^{pd} ὁ^{ddms} ὁ^{dans} παιδάριον^{nansc} ἔτι^{b} ζάω^{vnpa} νηστεύω^{viaa1s} καί^{cc} κλαίω^{viaa1s} ὅτι^{cs} λέγω^{viaa1s} τίς^{rqnms} οἶδα^{vixa3s} εἰ^{x} ἐλεέω^{vifa3s} ἐγώ$^{rpa-s}$ κύριος^{nnmsc} καί^{cc} ζάω^{vifm3s} ὁ^{dnns} παιδάριον^{nnnsc}. **v.23** καί^{cc} νῦν^{b} θνῄσκω^{vixa3s} ἵνα^{cs} τίς^{rqnns} οὗτος^{rdnns} ἐγώ$^{rpn-s}$ νηστεύω^{vipa1s} μή^{x} δύναμαι^{vifm1s} ἐπιστρέφω^{vnaa} αὐτός^{rpans} ἔτι^{b} ἐγώ$^{rpn-s}$ πορεύομαι^{vifm1s} πρός^{pa} αὐτός^{rpams} καί^{cc} αὐτός^{rpnms} οὐ^{b} ἀναστρέφω^{vifa3s} πρός^{pa} ἐγώ$^{rpa-s}$. **v.24** καί^{cc} παρακαλέω^{viaa3s} Δαυίδ^{nnmsp} Βηρσαβεε^{nafsp} ὁ^{dafs} γυνή^{nafsc} αὐτός^{rpgms} καί^{cc} εἰσέρχομαι^{viaa3s} πρός^{pa} αὐτός^{rpafs} καί^{cc} κοιμάομαι^{viap3s} μετά^{pg} αὐτός^{rpgfs} καί^{cc} συλλαμβάνω^{viaa3s} καί^{cc} τίκτω^{viaa3s} υἱός^{namsc} καί^{cc} καλέω^{viaa3s} ὁ^{dans} ὄνομα^{nansc} αὐτός^{rpgms} Σαλωμών^{namsp} καί^{cc} κύριος^{nnmsc} ἀγαπάω^{viaa3s} αὐτός^{rpams}. **v.25** καί^{cc} ἀποστέλλω^{viaa3s} ἐν^{pd} χείρ^{ndfsc} Ναθάμ^{ngmsp} ὁ^{dgms} προφήτης^{ngmsc} καί^{cc} καλέω^{viaa3s} ὁ^{dans} ὄνομα^{nansc} αὐτός^{rpgms} Ιδεδι^{namsp} ἕνεκα^{pg} κύριος^{ngmsc}. **v.26** καί^{cc} πολεμέω^{viaa3s} Ιωαβ^{nnmsp} ἐν^{pd} Ραββαθ^{ndmsp} υἱός^{ngmpc} Αμμων^{ngmsp} καί^{cc} καταλαμβάνω^{viaa3s} ὁ^{dafs} πόλις^{nafsc} ὁ^{dgfs} βασιλεία^{ngfsc}.

ἐπολέμησα ἐν Ραββαθ καὶ κατελαβόμην τὴν πόλιν τῶν ὑδάτων.
28 καὶ νῦν συνάγαγε τὸ κατάλοιπον τοῦ λαοῦ καὶ παρέμβαλε ἐπὶ
τὴν πόλιν καὶ προκαταλαβοῦ αὐτήν ἵνα μὴ προκαταλάβωμαι ἐγὼ
29 τὴν πόλιν καὶ κληθῇ τὸ ὄνομά μου ἐπ᾽ αὐτήν. καὶ συνήγαγεν
Δαυιδ πάντα τὸν λαὸν καὶ ἐπορεύθη εἰς Ραββαθ καὶ ἐπολέμησεν
30 ἐν αὐτῇ καὶ κατελάβετο αὐτήν. καὶ ἔλαβεν τὸν στέφανον Μελχολ
τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ καὶ ὁ σταθμὸς αὐτοῦ
τάλαντον χρυσίου καὶ λίθου τιμίου καὶ ἦν ἐπὶ τῆς κεφαλῆς Δαυιδ
31 καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκεν πολλὰ σφόδρα. καὶ τὸν λαὸν
τὸν ὄντα ἐν αὐτῇ ἐξήγαγεν καὶ ἔθηκεν ἐν τῷ πρίονι καὶ ἐν τοῖς τρι-
βόλοις τοῖς σιδηροῖς καὶ διήγαγεν αὐτοὺς διὰ τοῦ πλινθείου καὶ
οὕτως ἐποίησεν πάσαις ταῖς πόλεσιν υἱῶν Αμμων καὶ ἐπέστρεψεν
Δαυιδ καὶ πᾶς ὁ λαὸς εἰς Ιερουσαλημ.

13 καὶ ἐγενήθη μετὰ ταῦτα καὶ τῷ Αβεσσαλωμ υἱῷ Δαυιδ ἀδελφὴ
καλὴ τῷ εἴδει σφόδρα καὶ ὄνομα αὐτῇ Θημαρ καὶ ἠγάπησεν αὐ-
2 τὴν Αμνων υἱὸς Δαυιδ. καὶ ἐθλίβετο Αμνων ὥστε ἀρρωστεῖν διὰ
Θημαρ τὴν ἀδελφὴν αὐτοῦ ὅτι παρθένος ἦν αὐτή καὶ ὑπέρογκον
3 ἐν ὀφθαλμοῖς Αμνων τοῦ ποιῆσαί τι αὐτῇ. καὶ ἦν τῷ Αμνων ἑ-
ταῖρος καὶ ὄνομα αὐτῷ Ιωναδαβ υἱὸς Σαμαα τοῦ ἀδελφοῦ Δαυιδ
4 καὶ Ιωναδαβ ἀνὴρ σοφὸς σφόδρα. καὶ εἶπεν αὐτῷ τί σοι ὅτι σὺ
οὕτως ἀσθενὴς υἱὲ τοῦ βασιλέως τὸ πρωὶ πρωί οὐκ ἀπαγγελεῖς

---

v.27 καίcc ἀποστέλλωviaa3s Ιωαβnnmsp ἄγγελοςnampc πρόςpa Δαυίδnamsp καίcc λέγωviaa3s πολεμέωviaa1s ἐνpd Ραββαθndmsp καίcc καταλαμβάνωviam1s ὁdafs πόλιςnafsc ὁdgnp ὕδωρngnpc. **v.28** καίcc νῦνb συνάγωvdaa2s ὁdans κατάλοιποςanansn ὁdgms λαόςngmsc καίcc παρεμβάλλωvdaa2s ἐπίpa ὁdafs πόλιςnafsc καίcc προκαταλαμβάνωvdam2s αὐτόςrpafs ἵναcs μήx προκαταλαμβάνωvsam1s ἐγώrpn-s ὁdafs πόλιςnafsc καίcc καλέωvsap3s ὁdnns ὄνομαnnnsc ἐγώrpg-s ἐπίpa αὐτόςrpafs. **v.29** καίcc συνάγωviaa3s Δαυίδnnmsp πᾶςaiamsn ὁdams λαόςnamsc καίcc πορεύομαιviap3s εἰςpa Ραββαθnamsp καίcc πολεμέωviaa3s ἐνpd αὐτόςrpdfs καίcc καταλαμβάνωviam3s αὐτόςrpafs. **v.30** καίcc λαμβάνωviaa3s ὁdams στέφανοςnamsc Μελχολngmsp ὁdgms βασιλεύςngmsc αὐτόςrpgmp ἀπόpg ὁdgfs κεφαλήngfsc αὐτόςrpgms καίcc ὁdnms σταθμόςnnmsc αὐτόςrpgms τάλαντονnnnsc χρυσίονngnsc καίcc λίθοςngmsc τίμιοςangmsn καίcc εἰμίviia3s ἐπίpg ὁdgfs κεφαλήngfsc Δαυίδngmsp καίcc σκῦλονnanpc ὁdgfs πόλιςngfsc ἐκφέρωviaa3s πολύςananpn σφόδραb. **v.31** καίcc ὁdams λαόςnamsc ὁdams εἰμίvppaams ἐνpd αὐτόςrpdfs ἐξάγωviaa3s καίcc τίθημιviaa3s ἐνpd ὁddms πρίωνndmsc καίcc ἐνpd ὁddmp τρίβολοςndmpc ὁddmp σιδηροῦςandmpn καίcc διάγωviaa3s αὐτόςrpamp διάpg ὁdgns πλινθεῖονngnsc καίcc οὕτωςb ποιέωviaa3s πᾶςaidfpn ὁddfp πόλιςndfpc υἱόςngmpc Αμμωνngmsp καίcc ἐπιστρέφωviaa3s Δαυίδnnmsp καίcc πᾶςainmsn ὁdnms λαόςnnmsc εἰςpa Ἰερουσαλήμnafsp. **13. v.1** καίcc γίνομαιviap3s μετάpa οὗτοςrdanp καίcc ὁddms Αβεσσαλωμndmsp υἱόςndmsc Δαυίδngmsp ἀδελφήnnfsc καλόςannfsn ὁddns εἶδοςndnsc σφόδραb καίcc ὄνομαnnnsc αὐτόςrpdfs Θημαρnafsp καίcc ἀγαπάωviaa3s αὐτόςrpafs Αμνωνnnmsp υἱόςnnmsc Δαυίδnnmsp. **v.2** καίcc θλίβωviip3s Αμνωνnnmsp ὥστεcs ἀρρωστέωvnpa διάpa Θημαρnafsp ὁdafs ἀδελφήnafsc αὐτόςrpgms ὅτιcs παρθένοςnnfsc εἰμίviia3s αὐτόςrpnfs καίcc ὑπέρογκοςanamsn ἐνpd ὀφθαλμόςndmpc Αμνωνngmsp ὁdgns ποιέωvnaa τι-σριανς αὐτόςrpdfs. **v.3** καίcc εἰμίviia3s ὁddms Αμνωνndmsp ἑταῖροςnnmsc καίcc ὄνομαnnnsc αὐτόςrpdms Ιωναδαβnnmsp υἱόςnnmsc Σαμααngmsp ὁdgms ἀδελφόςngmsc Δαυίδngmsp καίcc Ιωναδαβnnmsp ἀνήρnnmsc σοφόςannmsn σφόδραb.

μοι καὶ εἶπεν αὐτῷ Αμνων Θημαρ τὴν ἀδελφήν Αβεσσαλωμ τοῦ
ἀδελφοῦ μου ἐγὼ ἀγαπῶ. καὶ εἶπεν αὐτῷ Ιωναδαβ κοιμήθητι 5
ἐπὶ τῆς κοίτης σου καὶ μαλακίσθητι καὶ εἰσελεύσεται ὁ πατήρ
σου τοῦ ἰδεῖν σε καὶ ἐρεῖς πρὸς αὐτόν ἐλθέτω δὴ Θημαρ ἡ ἀ-
δελφή μου καὶ ψωμισάτω με καὶ ποιησάτω κατ᾽ ὀφθαλμούς μου
βρῶμα ὅπως ἴδω καὶ φάγω ἐκ τῶν χειρῶν αὐτῆς. καὶ ἐκοιμήθη 6
Αμνων καὶ ἠρρώστησεν καὶ εἰσῆλθεν ὁ βασιλεὺς ἰδεῖν αὐτόν καὶ
εἶπεν Αμνων πρὸς τὸν βασιλέα ἐλθέτω δὴ Θημαρ ἡ ἀδελφή μου
πρός με καὶ κολλυρισάτω ἐν ὀφθαλμοῖς μου δύο κολλυρίδας καὶ
φάγομαι ἐκ τῆς χειρὸς αὐτῆς. καὶ ἀπέστειλεν Δαυιδ πρὸς Θη- 7
μαρ εἰς τὸν οἶκον λέγων πορεύθητι δὴ εἰς τὸν οἶκον Αμνων τοῦ
ἀδελφοῦ σου καὶ ποίησον αὐτῷ βρῶμα. καὶ ἐπορεύθη Θημαρ 8
εἰς τὸν οἶκον Αμνων ἀδελφοῦ αὐτῆς καὶ αὐτὸς κοιμώμενος καὶ
ἔλαβεν τὸ σταῖς καὶ ἐφύρασεν καὶ ἐκολλύρισεν κατ᾽ ὀφθαλμοὺς
αὐτοῦ καὶ ἥψησεν τὰς κολλυρίδας. καὶ ἔλαβεν τὸ τήγανον καὶ 9
κατεκένωσεν ἐνώπιον αὐτοῦ καὶ οὐκ ἠθέλησεν φαγεῖν καὶ εἶπεν
Αμνων ἐξαγάγετε πάντα ἄνδρα ἐπάνωθέν μου καὶ ἐξήγαγον πάντα
ἄνδρα ἀπὸ ἐπάνωθεν αὐτοῦ. καὶ εἶπεν Αμνων πρὸς Θημαρ εἰ- 10
σένεγκε τὸ βρῶμα εἰς τὸ ταμίειον καὶ φάγομαι ἐκ τῆς χειρός σου
καὶ ἔλαβεν Θημαρ τὰς κολλυρίδας ἃς ἐποίησεν καὶ εἰσήνεγκεν

---

v.4 καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] τίς[rqnns] σύ[rpd-s] ὅτι[cs] σύ[rpn-s] οὕτως[b] ἀσθενής[annnmsn] υἱός[nvmsc] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dans] πρωΐ[b] πρωΐ[b] οὐ[b] ἀπαγγέλλω[vifa2s] ἐγώ[rpd-s] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] Αμνων[nnmsp] Θημαρ[nafsp] ὁ[dafs] ἀδελφή[nafsc] Αβεσσαλωμ[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] ἐγώ[rpg-s] ἐγώ[rpn-s] ἀγαπάω[vipa1s]. **v.5** καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] Ιωναδαβ[nnmsp] κοιμάομαι[vdap2s] ἐπί[pg] ὁ[dgfs] κοίτη[ngfsc] σύ[rpg-s] καί[cc] μαλακίζομαι[vdap2s] καί[cc] εἰσέρχομαι[vifm3s] ὁ[dnms] πατήρ[nnmsc] σύ[rpg-s] ὁ[dgns] ὁράω[vnaa] σύ[rpa-s] καί[cc] λέγω[vifa2s] πρός[pa] αὐτός[rpams] ἔρχομαι[vdaa3s] δή[x] Θημαρ[nnfsp] ὁ[dnfs] ἀδελφή[nnfsc] ἐγώ[rpg-s] καί[cc] ψωμίζω[vdaa3s] ἐγώ[rpa-s] καί[cc] ποιέω[vdaa3s] κατά[pa] ὀφθαλμός[nampc] ἐγώ[rpg-s] βρῶμα[nansc] ὅπως[cs] ὁράω[vsaa1s] καί[cc] ἐσθίω[vsaa1s] ἐκ[pg] ὁ[dgfp] χείρ[ngfpc] αὐτός[rpgfs]. **v.6** καί[cc] κοιμάομαι[viap3s] Αμνων[nnmsp] καί[cc] ἀρρωστέω[viaa3s] καί[cc] εἰσέρχομαι[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ὁράω[vnaa] αὐτός[rpams] καί[cc] λέγω[viaa3s] Αμνων[nnmsp] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] ἔρχομαι[vdaa3s] δή[x] Θημαρ[nnfsp] ὁ[dnfs] ἀδελφή[nnfsc] ἐγώ[rpg-s] πρός[pa] ἐγώ[rpa-s] καί[cc] κολλυρίζω[vdaa3s] ἐν[pd] ὀφθαλμός[ndmpc] ἐγώ[rpg-s] δύο[ac—n] κολλυρίς[nafpc] καί[cc] ἐσθίω[vifm1s] ἐκ[pg] ὁ[dgfs] χείρ[ngfsc] αὐτός[rpgfs]. **v.7** καί[cc] ἀποστέλλω[viaa3s] Δαυιδ[nnmsp] πρός[pa] Θημαρ[nafsp] εἰς[pa] ὁ[dams] οἶκος[namsc] λέγω[vppanms] πορεύομαι[vdap2s] δή[x] εἰς[pa] ὁ[dams] οἶκος[namsc] Αμνων[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] σύ[rpg-s] καί[cc] ποιέω[vdaa2s] αὐτός[rpdms] βρῶμα[nansc]. **v.8** καί[cc] πορεύομαι[viap3s] Θημαρ[nnmsp] εἰς[pa] ὁ[dams] οἶκος[namsc] Αμνων[ngmsp] ἀδελφός[ngmsc] αὐτός[rpgfs] καί[cc] αὐτός[rpnms] κοιμάομαι[vppmnms] καί[cc] λαμβάνω[viaa3s] ὁ[dans] σταῖς[nansc] καί[cc] φυράω[viaa3s] καί[cc] κολλυρίζω[viaa3s] κατά[pa] ὀφθαλμός[nampc] αὐτός[rpgms] καί[cc] ἕψω[viaa3s] ὁ[dafp] κολλυρίς[nafpc]. **v.9** καί[cc] λαμβάνω[viaa3s] ὁ[dans] τήγανον[nansc] καί[cc] κατακενόω[viaa3s] ἐνώπιον[pg] αὐτός[rpgms] καί[cc] οὐ[b] θέλω[viaa3s] ἐσθίω[vnaa] καί[cc] λέγω[viaa3s] Αμνων[nnmsp] ἐξάγω[vdaa2p] πᾶς[aiamsn] ἀνήρ[namsc] ἐπάνωθεν[b] ἐγώ[rpg-s] καί[cc] ἐξάγω[viaa3p] πᾶς[aiamsn] ἀνήρ[namsc] ἀπό[pp] ἐπάνωθεν[b] αὐτός[rpgms].

11 τῷ Αμνων ἀδελφῷ αὐτῆς εἰς τὸν κοιτῶνα. καὶ προσήγαγεν αὐτῷ
τοῦ φαγεῖν καὶ ἐπελάβετο αὐτῆς καὶ εἶπεν αὐτῇ δεῦρο κοιμήθητι
12 μετ᾽ ἐμοῦ ἀδελφή μου. καὶ εἶπεν αὐτῷ μή ἄδελφέ μου μὴ τα-
πεινώσῃς με διότι οὐ ποιηθήσεται οὕτως ἐν Ισραηλ μὴ ποιήσῃς
13 τὴν ἀφροσύνην ταύτην. καὶ ἐγὼ ποῦ ἀποίσω τὸ ὄνειδός μου καὶ
σὺ ἔσῃ ὡς εἷς τῶν ἀφρόνων ἐν Ισραηλ καὶ νῦν λάλησον δὴ πρὸς
14 τὸν βασιλέα ὅτι οὐ μὴ κωλύσῃ με ἀπὸ σοῦ. καὶ οὐκ ἠθέλη-
σεν Αμνων τοῦ ἀκοῦσαι τῆς φωνῆς αὐτῆς καὶ ἐκραταίωσεν ὑπὲρ
15 αὐτὴν καὶ ἐταπείνωσεν αὐτὴν καὶ ἐκοιμήθη μετ᾽ αὐτῆς. καὶ ἐ-
μίσησεν αὐτὴν Αμνων μῖσος μέγα σφόδρα ὅτι μέγα τὸ μῖσος ὃ
ἐμίσησεν αὐτὴν ὑπὲρ τὴν ἀγάπην ἣν ἠγάπησεν αὐτήν καὶ εἶπεν
16 αὐτῇ Αμνων ἀνάστηθι καὶ πορεύου. καὶ εἶπεν αὐτῷ Θημαρ μή
ἄδελφε ὅτι μεγάλη ἡ κακία ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην ἣν ἐποί-
ησας μετ᾽ ἐμοῦ τοῦ ἐξαποστεῖλαί με καὶ οὐκ ἠθέλησεν Αμνων
17 ἀκοῦσαι τῆς φωνῆς αὐτῆς. καὶ ἐκάλεσεν τὸ παιδάριον αὐτοῦ
τὸν προεστηκότα τοῦ οἴκου αὐτοῦ καὶ εἶπεν αὐτῷ ἐξαποστείλατε
δὴ ταύτην ἀπ᾽ ἐμοῦ ἔξω καὶ ἀπόκλεισον τὴν θύραν ὀπίσω αὐ-
18 τῆς. καὶ ἐπ᾽ αὐτῆς ἦν χιτὼν καρπωτός ὅτι οὕτως ἐνεδιδύσκοντο
αἱ θυγατέρες τοῦ βασιλέως αἱ παρθένοι τοὺς ἐπενδύτας αὐτῶν καὶ
ἐξῆγαγεν αὐτὴν ὁ λειτουργὸς αὐτοῦ ἔξω καὶ ἀπέκλεισεν τὴν θύ-

---

v.10 καί^{cc} λέγω^{viaa3s} Αμνων^{nnmsp} πρός^{pa} Θημαρ^{nafsp} εἰσφέρω^{viaa3s} ὁ^{dans} βρῶμα^{nansc} εἰς^{pa} ὁ^{dans} ταμιεῖον^{nansc} καί^{cc} ἐσθίω^{vifm1s} ἐκ^{pg} ὁ^{dgfs} χείρ^{ngfsc} σύ$^{rpg-s}$ καί^{cc} λαμβάνω^{viaa3s} Θημαρ^{nnmsp} ὁ^{dafp} κολλυρίς^{nafpc} ὅς^{rrafp} ποιέω^{viaa3s} καί^{cc} εἰσφέρω^{viaa3s} ὁ^{ddms} Αμνων^{ndmsp} ἀδελφός^{ndmsc} αὐτός^{rpgfs} εἰς^{pa} ὁ^{dams} κοιτών^{namsc}. **v.11** καί^{cc} προσάγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dgns} ἐσθίω^{vnaa} καί^{cc} ἐπιλαμβάνω^{viam3s} αὐτός^{rpgfs} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdfs} δεῦρο^{b} κοιμάομαι^{vdap2s} μετά^{pg} ἐγώ$^{rpg-s}$ ἀδελφή^{nvfsc} ἐγώ$^{rpg-s}$. **v.12** καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} μή^{x} ἀδελφός^{nvmsc} ἐγώ$^{rpg-s}$ μή^{x} ταπεινόω^{vsaa2s} ἐγώ$^{rpa-s}$ διότι^{cs} οὐ^{b} ποιέω^{vifp3s} οὕτως^{b} ἐν^{pd} Ἰσραήλ^{ndmsp} μή^{x} ποιέω^{vsaa2s} ὁ^{dafs} ἀφροσύνη^{nafsc} οὗτος^{rdafs}. **v.13** καί^{cc} ἐγώ$^{rpn-s}$ ποῦ^{b} ἀποφέρω^{vifa1s} ὁ^{dans} ὄνειδος^{nansc} ἐγώ$^{rpg-s}$ καί^{cc} σύ$^{rpn-s}$ εἰμί^{vifm2s} ὡς^{cs} εἷς^{acnmsn} ὁ^{dgmp} ἄφρων^{angmpn} ἐν^{pd} Ἰσραήλ^{ndmsp} καί^{cc} νῦν^{b} λαλέω^{vdaa2s} δή^{x} πρός^{pa} ὁ^{dams} βασιλεύς^{namsc} ὅτι^{cs} οὐ^{b} μή^{x} κωλύω^{vsaa3s} ἐγώ$^{rpa-s}$ ἀπό^{pg} σύ$^{rpg-s}$. **v.14** καί^{cc} οὐ^{b} θέλω^{viaa3s} Αμνων^{nnmsp} ὁ^{dgns} ἀκούω^{vnaa} ὁ^{dgfs} φωνή^{ngfsc} αὐτός^{rpgfs} καί^{cc} κραταιόω^{viaa3s} ὑπέρ^{pa} αὐτός^{rpafs} καί^{cc} ταπεινόω^{viaa3s} αὐτός^{rpafs} καί^{cc} κοιμάομαι^{viap3s} μετά^{pg} αὐτός^{rpgfs}. **v.15** καί^{cc} μισέω^{viaa3s} αὐτός^{rpafs} Αμνων^{nnmsp} μῖσος^{nansc} μέγας^{anansn} σφόδρα^{b} ὅτι^{cs} μέγας^{annnsn} ὁ^{dnns} μῖσος^{nnnsc} ὅς^{rrans} μισέω^{viaa3s} αὐτός^{rpafs} ὑπέρ^{pa} ὁ^{dafs} ἀγάπη^{nafsc} ὅς^{rrafs} ἀγαπάω^{viaa3s} αὐτός^{rpafs} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdfs} Αμνων^{nnmsp} ἀνίστημι^{vdaa2s} καί^{cc} πορεύομαι^{vdpm2s}. **v.16** καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} Θημαρ^{nnfsp} μή^{x} ἀδελφός^{nvmsc} ὅτι^{cs} μέγας^{annfsn} ὁ^{dnfs} κακία^{nnfsc} ὁ^{dnfs} ἔσχατος^{annfsn} ὑπέρ^{pa} ὁ^{dafs} πρῶτος^{aoafsn} ὅς^{rrafs} ποιέω^{viaa2s} μετά^{pg} ἐγώ$^{rpg-s}$ ὁ^{dgns} ἐξαποστέλλω^{vnaa} ἐγώ$^{rpa-s}$ καί^{cc} οὐ^{b} θέλω^{viaa3s} Αμνων^{nnmsp} ἀκούω^{vnaa} ὁ^{dgfs} φωνή^{ngfsc} αὐτός^{rpgfs}. **v.17** καί^{cc} καλέω^{viaa3s} ὁ^{dans} παιδάριον^{nansc} αὐτός^{rpgms} ὁ^{dams} προΐστημι^{vpxaams} ὁ^{dgms} οἶκος^{ngmsc} αὐτός^{rpgms} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} ἐξαποστέλλω^{vdaa2p} δή^{x} οὗτος^{rdafs} ἀπό^{pg} ἐγώ$^{rpg-s}$ ἔξω^{b} καί^{cc} ἀποκλείω^{vdaa2s} ὁ^{dafs} θύρα^{nafsc} ὀπίσω^{pg} αὐτός^{rpgfs}.

ραν ὀπίσω αὐτῆς. καὶ ἔλαβεν Θημαρ σποδὸν καὶ ἐπέθηκεν ἐπὶ 19
τὴν κεφαλὴν αὐτῆς καὶ τὸν χιτῶνα τὸν καρπωτὸν τὸν ἐπ᾽ αὐτῆς
διέρρηξεν καὶ ἐπέθηκεν τὰς χεῖρας αὐτῆς ἐπὶ τὴν κεφαλὴν αὐτῆς
καὶ ἐπορεύθη πορευομένη καὶ κράζουσα. καὶ εἶπεν πρὸς αὐτὴν 20
Αβεσσαλωμ ὁ ἀδελφὸς αὐτῆς μὴ Αμνων ὁ ἀδελφός σου ἐγένετο
μετὰ σοῦ καὶ νῦν ἀδελφή μου κώφευσον ὅτι ἀδελφός σού ἐστιν
μὴ θῇς τὴν καρδίαν σου τοῦ λαλῆσαι εἰς τὸ ῥῆμα τοῦτο καὶ ἐκά-
θισεν Θημαρ χηρεύουσα ἐν οἴκῳ Αβεσσαλωμ τοῦ ἀδελφοῦ αὐτῆς.
καὶ ἤκουσεν ὁ βασιλεὺς Δαυιδ πάντας τοὺς λόγους τούτους καὶ 21
ἐθυμώθη σφόδρα καὶ οὐκ ἐλύπησεν τὸ πνεῦμα Αμνων τοῦ υἱοῦ
αὐτοῦ ὅτι ἠγάπα αὐτόν ὅτι πρωτότοκος αὐτοῦ ἦν. καὶ οὐκ ἐ- 22
λάλησεν Αβεσσαλωμ μετὰ Αμνων ἀπὸ πονηροῦ ἕως ἀγαθοῦ ὅτι
ἐμίσει Αβεσσαλωμ τὸν Αμνων ἐπὶ λόγου οὗ ἐταπείνωσεν Θημαρ
τὴν ἀδελφὴν αὐτοῦ. καὶ ἐγένετο εἰς διετηρίδα ἡμερῶν καὶ ἦσαν 23
κείροντες τῷ Αβεσσαλωμ ἐν Βελασωρ τῇ ἐχόμενα Εφραιμ καὶ ἐ-
κάλεσεν Αβεσσαλωμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως. καὶ ἦλθεν 24
Αβεσσαλωμ πρὸς τὸν βασιλέα καὶ εἶπεν ἰδοὺ δὴ κείρουσιν τῷ δού-
λῳ σου πορευθήτω δὴ ὁ βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ μετὰ τοῦ
δούλου σου. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Αβεσσαλωμ μὴ δή υἱέ 25
μου μὴ πορευθῶμεν πάντες ἡμεῖς καὶ οὐ μὴ καταβαρυνθῶμεν
ἐπὶ σέ καὶ ἐβιάσατο αὐτόν καὶ οὐκ ἠθέλησεν τοῦ πορευθῆναι καὶ

---

v.18 καί[cc] ἐπί[pg] αὐτός[rpgfs] εἰμί[viia3s] χιτών[nnmsc] καρπωτός[annmsn] ὅτι[cs] οὕτως[b] ἐνδιδύσκω[viim3p] ὁ[dnfp] θυγάτηρ[nnfpc] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dnfp] παρθένος[nnfpc] ὁ[damp] ἐπενδύτης[nampc] αὐτός[rpgfp] καί[cc] ἐξάγω[viaa3s] αὐτός[rpafs] ὁ[dnms] λειτουργός[nnmsc] αὐτός[rpgms] ἔξω[b] καί[cc] ἀποκλείω[viaa3s] ὁ[dafs] θύρα[nafsc] ὀπίσω[pg] αὐτός[rpgfs]. **v.19** καί[cc] λαμβάνω[viaa3s] Θημαρ[nnfsp] σποδός[nafsc] καί[cc] ἐπιτίθημι[viaa3s] ἐπί[pa] ὁ[dafs] κεφαλή[nafsc] αὐτός[rpgfs] καί[cc] ὁ[dams] χιτών[namsc] ὁ[dams] καρπωτός[anamsn] ὁ[dams] ἐπί[pg] αὐτός[rpgfs] διαρρήγνυμι[viaa3s] καί[cc] ἐπιτίθημι[viaa3s] ὁ[dafp] χείρ[nafpc] αὐτός[rpgfs] ἐπί[pa] ὁ[dafs] κεφαλή[nafsc] αὐτός[rpgfs] καί[cc] πορεύομαι[viap3s] πορεύομαι[vppmnfs] καί[cc] κράζω[vppanfs]. **v.20** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpafs] Αβεσσαλωμ[nnmsp] ὁ[dnms] ἀδελφός[nnmsc] αὐτός[rpgfs] μή[x] Αμνων[nnmsp] ὁ[dnms] ἀδελφός[nnmsc] σύ[rpg-s] γίνομαι[viam3s] μετά[pg] σύ[rpg-s] καί[cc] νῦν[b] ἀδελφή[nnfsc] ἐγώ[rpg-s] κωφεύω[vdaa2s] ὅτι[cs] ἀδελφός[nnmsc] σύ[rpg-s] εἰμί[vipa3s] μή[x] τίθημι[vsaa2s] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] ὁ[dgns] λαλέω[vnaa] εἰς[pa] ὁ[dans] ῥῆμα[nansc] οὗτος[rdans] καί[cc] καθίζω[viaa3s] Θημαρ[nnfsp] χηρεύω[vppanfs] ἐν[pd] οἶκος[ndmsc] Αβεσσαλωμ[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] αὐτός[rpgfs]. **v.21** καί[cc] ἀκούω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] Δαυίδ[nnmsp] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] καί[cc] θυμόω[viap3s] σφόδρα[b] καί[cc] οὐ[b] λυπέω[viaa3s] ὁ[dans] πνεῦμα[nansc] Αμνων[ngmsp] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgms] ὅτι[cs] ἀγαπάω[viia3s] αὐτός[rpams] ὅτι[cs] πρωτότοκος[annmsn] αὐτός[rpgms] εἰμί[viia3s]. **v.22** καί[cc] οὐ[b] λαλέω[viaa3s] Αβεσσαλωμ[nnmsp] μετά[pg] Αμνων[ngmsp] ἀπό[pg] πονηρός[angnsn] ἕως[cs] ἀγαθός[angnsn] ὅτι[cs] μισέω[viia3s] Αβεσσαλωμ[nnmsp] ὁ[dams] Αμνων[namsp] ἐπί[pg] λόγος[ngmsc] ὅς[rrgms] ταπεινόω[viaa3s] Θημαρ[nafsp] ὁ[dafs] ἀδελφή[nafsc] αὐτός[rpgms]. **v.23** καί[cc] γίνομαι[viam3s] εἰς[pa] διετηρίς[nafsc] ἡμέρα[ngfpc] καί[cc] εἰμί[viia3p] κείρω[vppanmp] ὁ[ddms] Αβεσσαλωμ[ndmsp] ἐν[pd] Βελασωρ[nd-sp] ὁ[ddfs] ἔχω[vppman'pb] Ἐφραίμ[namsp] καί[cc] καλέω[viaa3s] Αβεσσαλωμ[nnmsp] πᾶς[aiampn] ὁ[damp] υἱός[nampc] ὁ[dgms] βασιλεύς[ngmsc]. **v.24** καί[cc] ἔρχομαι[viaa3s] Αβεσσαλωμ[nnmsp] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] καί[cc] λέγω[viaa3s] ἰδού[i] δή[x] κείρω[vipa3p] ὁ[ddms] δοῦλος[ndmsc] σύ[rpg-s] πορεύομαι[vdap3s] δή[x] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] ὁ[dnmp] παῖς[nnmpc] αὐτός[rpgms] μετά[pg] ὁ[dgms] δοῦλος[ngmsc] σύ[rpg-s].

26 εὐλόγησεν αὐτόν. καὶ εἶπεν Αβεσσαλωμ καὶ εἰ μή πορευθήτω δὴ
μεθ' ἡμῶν Αμνων ὁ ἀδελφός μου καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς ἵνα τί
27 πορευθῇ μετὰ σοῦ. καὶ ἐβιάσατο αὐτὸν Αβεσσαλωμ καὶ ἀπέστει-
λεν μετ' αὐτοῦ τὸν Αμνων καὶ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως καὶ
28 ἐποίησεν Αβεσσαλωμ πότον κατὰ τὸν πότον τοῦ βασιλέως. καὶ
ἐνετείλατο Αβεσσαλωμ τοῖς παιδαρίοις αὐτοῦ λέγων ἴδετε ὡς ἂν
ἀγαθυνθῇ ἡ καρδία Αμνων ἐν τῷ οἴνῳ καὶ εἴπω πρὸς ὑμᾶς πατά-
ξατε τὸν Αμνων καὶ θανατώσατε αὐτόν μὴ φοβηθῆτε ὅτι οὐχὶ ἐγώ
εἰμι ἐντέλλομαι ὑμῖν ἀνδρίζεσθε καὶ γίνεσθε εἰς υἱοὺς δυνάμεως.
29 καὶ ἐποίησαν τὰ παιδάρια Αβεσσαλωμ τῷ Αμνων καθὰ ἐνετείλατο
αὐτοῖς Αβεσσαλωμ καὶ ἀνέστησαν πάντες οἱ υἱοὶ τοῦ βασιλέως
30 καὶ ἐπεκάθισαν ἀνὴρ ἐπὶ τὴν ἡμίονον αὐτοῦ καὶ ἔφυγαν. καὶ
ἐγένετο αὐτῶν ὄντων ἐν τῇ ὁδῷ καὶ ἡ ἀκοὴ ἦλθεν πρὸς Δαυιδ
λέγων ἐπάταξεν Αβεσσαλωμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως καὶ
31 οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. καὶ ἀνέστη ὁ βασιλεὺς καὶ
διέρρηξεν τὰ ἱμάτια αὐτοῦ καὶ ἐκοιμήθη ἐπὶ τὴν γῆν καὶ πάντες
οἱ παῖδες αὐτοῦ οἱ περιεστῶτες αὐτῷ διέρρηξαν τὰ ἱμάτια αὐτῶν.
32 καὶ ἀπεκρίθη Ιωναδαβ υἱὸς Σαμαα ἀδελφοῦ Δαυιδ καὶ εἶπεν μὴ
εἰπάτω ὁ κύριός μου ὁ βασιλεὺς ὅτι πάντα τὰ παιδάρια τοὺς υἱοὺς
τοῦ βασιλέως ἐθανάτωσεν ὅτι Αμνων μονώτατος ἀπέθανεν ὅτι ἐπὶ
στόματος Αβεσσαλωμ ἦν κείμενος ἀπὸ τῆς ἡμέρας ἧς ἐταπείνω-

---

v.25 καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} πρός^{pa} Αβεσσαλωμ^{namsp} μή^{x} δή^{x} υἱός^{nvmsc} ἐγώ$^{rpg-s}$ μή^{x} πορεύομαι^{vsap1p} πᾶς^{ainmpn} ἐγώ$^{rpn-p}$ καί^{cc} οὐ^{b} μή^{x} καταβαρύνω^{vsap1p} ἐπί^{pa} σύ$^{rpa-s}$ καί^{cc} βιάζομαι^{viam3s} αὐτός^{rpams} καί^{cc} οὐ^{b} θέλω^{viaa3s} ὁ^{dgns} πορεύομαι^{vnap} καί^{cc} εὐλογέω^{viaa3s} αὐτός^{rpams}. **v.26** καί^{cc} λέγω^{viaa3s} Αβεσσαλωμ^{nnmsp} καί^{cc} εἰ^{cs} μή^{x} πορεύομαι^{vdap3s} δή^{x} μετά^{pg} ἐγώ$^{rpg-p}$ Αμνων^{nnmsp} ὁ^{dnms} ἀδελφός^{nnmsc} ἐγώ$^{rpg-s}$ καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} βασιλεύς^{nnmsc} ἵνα^{cs} τίς^{rqnns} πορεύομαι^{vsap3s} μετά^{pg} σύ$^{rpg-s}$. **v.27** καί^{cc} βιάζομαι^{viam3s} αὐτός^{rpams} Αβεσσαλωμ^{nnmsp} καί^{cc} ἀποστέλλω^{viaa3s} μετά^{pg} αὐτός^{rpgms} ὁ^{dams} Αμνων^{namsp} καί^{cc} πᾶς^{aiampn} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} ποιέω^{viaa3s} Αβεσσαλωμ^{ngmsp} πότος^{namsc} κατά^{pa} ὁ^{dams} πότος^{namsc} ὁ^{dgms} βασιλεύς^{ngmsc}. **v.28** καί^{cc} ἐντέλλομαι^{viam3s} Αβεσσαλωμ^{nnmsp} ὁ^{ddnp} παιδάριον^{ndnpc} αὐτός^{rpgms} λέγω^{vppanms} ὁράω^{vdaa2p} ὡς^{cs} ἄν^{x} ἀγαθύνω^{vsap3s} ὁ^{dnfs} καρδία^{nnfsc} Αμνων^{ngmsp} ἐν^{pd} ὁ^{ddms} οἶνος^{ndmsc} καί^{cc} λέγω^{vsaa1s} πρός^{pa} σύ$^{rpa-p}$ πατάσσω^{vdaa2p} ὁ^{dams} Αμνων^{namsp} καί^{cc} θανατόω^{vdaa2p} αὐτός^{rpams} μή^{x} φοβέω^{vsap2p} ὅτι^{cs} οὐχί^{b} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} ἐντέλλομαι^{vipm1s} σύ$^{rpd-p}$ ἀνδρίζομαι^{vdpm2p} καί^{cc} γίνομαι^{vdpm2p} εἰς^{pa} υἱός^{nampc} δύναμις^{ngfsc}. **v.29** καί^{cc} ποιέω^{viaa3p} ὁ^{dnnp} παιδάριον^{nnnpc} Αβεσσαλωμ^{ngmsp} ὁ^{ddms} Αμνων^{ndmsp} καθά^{cs} ἐντέλλομαι^{viam3s} αὐτός^{rpdmp} Αβεσσαλωμ^{nnmsp} καί^{cc} ἀνίστημι^{viaa3p} πᾶς^{ainmpn} ὁ^{dnmp} υἱός^{nnmpc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} ἐπικαθίζω^{viaa3p} ἀνήρ^{nnmsc} ἐπί^{pa} ὁ^{dafs} ἡμίονος^{nafsc} αὐτός^{rpgms} καί^{cc} φεύγω^{viaa3p}. **v.30** καί^{cc} γίνομαι^{viam3s} αὐτός^{rpgmp} εἰμί^{vppagmp} ἐν^{pd} ὁ^{ddfs} ὁδός^{ndfsc} καί^{cc} ὁ^{dnfs} ἀκοή^{nnfsc} ἔρχομαι^{viaa3s} πρός^{pa} Δαυιδ^{namsp} λέγω^{vppanms} πατάσσω^{viaa3s} Αβεσσαλωμ^{nnmsp} πᾶς^{aiampn} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} οὐ^{b} καταλείπω^{viap3s} ἐκ^{pg} αὐτός^{rpgmp} οὐδέ^{b} εἷς^{acnmsn}. **v.31** καί^{cc} ἀνίστημι^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} καί^{cc} διαρρήγνυμι^{viaa3s} ὁ^{danp} ἱμάτιον^{nanpc} αὐτός^{rpgms} καί^{cc} κοιμάομαι^{viap3s} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} παῖς^{nnmpc} αὐτός^{rpgms} ὁ^{dnmp} περιΐστημι^{vpxanmp} αὐτός^{rpdms} διαρρήγνυμι^{viaa3p} ὁ^{danp} ἱμάτιον^{nanpc} αὐτός^{rpgmp}.

σεν Θημαρ τὴν ἀδελφὴν αὐτοῦ. καὶ νῦν μὴ θέσθω ὁ κύριός μου 33
ὁ βασιλεὺς ἐπὶ τὴν καρδίαν αὐτοῦ ῥῆμα λέγων πάντες οἱ υἱοὶ τοῦ
βασιλέως ἀπέθαναν ὅτι ἀλλ᾽ ἢ Αμνων μονώτατος ἀπέθανεν. καὶ 34
ἀπέδρα Αβεσσαλωμ καὶ ἦρεν τὸ παιδάριον ὁ σκοπὸς τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ καὶ εἶδεν καὶ ἰδοὺ λαὸς πολὺς πορευόμενος ἐν τῇ
ὁδῷ ὄπισθεν αὐτοῦ ἐκ πλευρᾶς τοῦ ὄρους ἐν τῇ καταβάσει καὶ
παρεγένετο ὁ σκοπὸς καὶ ἀπήγγειλεν τῷ βασιλεῖ καὶ εἶπεν ἄν-
δρας ἑώρακα ἐκ τῆς ὁδοῦ τῆς Ωρωνην ἐκ μέρους τοῦ ὄρους. καὶ 35
εἶπεν Ιωναδαβ πρὸς τὸν βασιλέα ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως πάρει-
σιν κατὰ τὸν λόγον τοῦ δούλου σου οὕτως ἐγένετο. καὶ ἐγένετο 36
ἡνίκα συνετέλεσεν λαλῶν καὶ ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως ἦλθαν
καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν καί γε ὁ βασιλεὺς
καὶ πάντες οἱ παῖδες αὐτοῦ ἔκλαυσαν κλαυθμὸν μέγαν σφόδρα.
καὶ Αβεσσαλωμ ἔφυγεν καὶ ἐπορεύθη πρὸς Θολμαι υἱὸν Εμιουδ 37
βασιλέα Γεδσουρ εἰς γῆν Μαχαδ καὶ ἐπένθησεν ὁ βασιλεὺς Δαυιδ
ἐπὶ τὸν υἱὸν αὐτοῦ πάσας τὰς ἡμέρας. καὶ Αβεσσαλωμ ἀπέδρα 38
καὶ ἐπορεύθη εἰς Γεδσουρ καὶ ἦν ἐκεῖ ἔτη τρία. καὶ ἐκόπα- 39
σεν τὸ πνεῦμα τοῦ βασιλέως τοῦ ἐξελθεῖν ὀπίσω Αβεσσαλωμ ὅτι
παρεκλήθη ἐπὶ Αμνων ὅτι ἀπέθανεν.

---

μέρᾳ ἐκείνῃ καὶ ὁ λαὸς ἐκάθητο ὀπίσω αὐτοῦ πλὴν ἐκδιδύσκειν.
11 καὶ μετ᾽ αὐτὸν Σαμαια υἱὸς Ασα ὁ Αρουχαῖος καὶ συνήχθησαν οἱ
ἀλλόφυλοι εἰς Θηρία καὶ ἦν ἐκεῖ μερὶς τοῦ ἀγροῦ πλήρης φακοῦ
12 καὶ ὁ λαὸς ἔφυγεν ἐκ προσώπου ἀλλοφύλων. καὶ ἐστηλώθη ἐν
μέσῳ τῆς μερίδος καὶ ἐξείλατο αὐτὴν καὶ ἐπάταξεν τοὺς ἀλλοφύ-
13 λους καὶ ἐποίησεν κύριος σωτηρίαν μεγάλην. καὶ κατέβησαν
τρεῖς ἀπὸ τῶν τριάκοντα καὶ ἦλθον εἰς Κασων πρὸς Δαυιδ εἰς τὸ
σπήλαιον Οδολλαμ καὶ τάγμα τῶν ἀλλοφύλων παρενέβαλον ἐν τῇ
14 κοιλάδι Ραφαϊμ. καὶ Δαυιδ τότε ἐν τῇ περιοχῇ καὶ τὸ ὑπόστημα
15 τῶν ἀλλοφύλων τότε ἐν Βαιθλεεμ. καὶ ἐπεθύμησεν Δαυιδ καὶ
εἶπεν τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βαιθλεεμ τοῦ ἐν

---

v.7 καί^{cc} ἀνήρ^{nnmsc} οὐ^{b} κοπιάω^{vifa3s} ἐν^{pd} αὐτός^{rpdmp} καί^{cc} πλήρης^{annnsn} σίδηρος^{ngmsc} καί^{cc} ξύλον^{nnnsc} δόρυ^{ngnsc} καί^{cc} ἐν^{pd} πῦρ^{ndnsc} καίω^{vifa3s} καίω^{vifp3p} αἰσχύνη^{ndfsc} αὐτός^{rpgmp}. **v.8** οὗτος^{rdnnp} ὁ^{dnnp} ὄνομα^{nnnpc} ὁ^{dgmp} δυνατός^{angmpn} Δαυίδ^{ngmsp} Ιεβοσθε^{nnmsp} ὁ^{dnms} Χαναναῖος^{nnmsp} ἄρχων^{nnmsc} ὁ^{dgns} τρίτος^{aognsn} εἰμί^{vipa3s} Αδινων^{nnmsp} ὁ^{dnms} Ασωναῖος^{nnmsp} οὗτος^{rdnms} σπάω^{viam3s} ὁ^{dafs} ῥομφαία^{nafsc} αὐτός^{rpgms} ἐπί^{pa} ὀκτακόσιοι^{acampn} τραυματίας^{nampc} εἰς^{pp} ἅπαξ^{b}. **v.9** καί^{cc} μετά^{pa} αὐτός^{rpams} Ἐλεάζαρ^{nnmsp} υἱός^{nnmsc} πατράδελφος^{ngmsc} αὐτός^{rpgms} υἱός^{nnmsc} Σουσίτης^{ngmsp} ἐν^{pd} ὁ^{ddmp} τρεῖς^{acdmpn} δυνατός^{andmpn} οὗτος^{rdnms} εἰμί^{viia3s} μετά^{pg} Δαυίδ^{ngmsp} ἐν^{pd} Σερραν^{nd-sp} καί^{cc} ἐν^{pd} ὁ^{ddns} ὀνειδίζω^{vnaa} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddmp} ἀλλόφυλος^{andmpn} συνάγω^{viap3p} ἐκεῖ^{b} εἰς^{pa} πόλεμος^{namsc} καί^{cc} ἀναβαίνω^{viaa3p} ἀνήρ^{nnmsc} Ἰσραήλ^{ngmsp}. **v.10** αὐτός^{rpnms} ἀνίστημι^{viaa3s} καί^{cc} πατάσσω^{viaa3s} ἐν^{pd} ὁ^{ddmp} ἀλλόφυλος^{andmpn} ἕως^{pg} ὅς^{rrgns} κοπιάω^{viaa3s} ὁ^{dnfs} χείρ^{nnfsc} αὐτός^{rpgms} καί^{cc} προσκολλάω^{viap3s} ὁ^{dnfs} χείρ^{nnfsc} αὐτός^{rpgms} πρός^{pa} ὁ^{dafs} μάχαιρα^{nafsc} καί^{cc} ποιέω^{viaa3s} κύριος^{nnmsc} σωτηρία^{nafsc} μέγας^{anafsn} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἐκεῖνος^{rddfs} καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} κάθημαι^{viim3s} ὀπίσω^{pg} αὐτός^{rpgms} πλήν^{b} ἐκδιδύσκω^{vnpa}. **v.11** καί^{cc} μετά^{pa} αὐτός^{rpams} Σαμαια^{nnmsp} υἱός^{nnmsc} Ασα^{ngmsp} ὁ^{dnms} Αρουχαῖος^{nnmsp} καί^{cc} συνάγω^{viap3p} ὁ^{dnmp} ἀλλόφυλος^{annmpn} εἰς^{pa} Θηρία^{na-sp} καί^{cc} εἰμί^{viia3s} ἐκεῖ^{b} μερίς^{nnfsc} ὁ^{dgms} ἀγρός^{ngmsc} πλήρης^{annfsn} φακός^{ngmsc} καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} φεύγω^{viaa3s} ἐκ^{pg} πρόσωπον^{ngnsc} ἀλλόφυλος^{angmpn}. **v.12** καί^{cc} στηλόω^{viap3s} ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgfs} μερίς^{ngfsc} καί^{cc} ἐξαιρέω^{viam3s} αὐτός^{rpafs} καί^{cc} πατάσσω^{viaa3s} ὁ^{damp} ἀλλόφυλος^{anampn} καί^{cc} ποιέω^{viaa3s} κύριος^{nnmsc} σωτηρία^{nafsc} μέγας^{anafsn}. **v.13** καί^{cc} καταβαίνω^{viaa3p} τρεῖς^{acnmpn} ἀπό^{pg} ὁ^{dgmp} τριάκοντα^{ac-n} καί^{cc} ἔρχομαι^{viaa3p} εἰς^{pa} Κασων^{na-sp} πρός^{pa} Δαυίδ^{namsp} εἰς^{pa} ὁ^{dans} σπήλαιον^{nansc} Οδολλαμ^{ng-sp} καί^{cc} τάγμα^{nansc} ὁ^{dgmp} ἀλλόφυλος^{angmpn} παρεμβάλλω^{viaa3p} ἐν^{pd} ὁ^{ddfs} κοιλάς^{ndfsc} Ραφαΐμ^{ngmpp}. **v.14** καί^{cc} Δαυίδ^{nnmsp} τότε^{b} ἐν^{pd} ὁ^{ddfs} περιοχή^{ndfsc} καί^{cc} ὁ^{dnns} ὑπόστημα^{nnnsc} ὁ^{dgmp} ἀλλόφυλος^{angmpn} τότε^{b} ἐν^{pd} Βαιθλεεμ^{nd-sp}.

τῇ πύλῃ τὸ δὲ σύστημα τῶν ἀλλοφύλων τότε ἐν Βαιθλεεμ. καὶ 16
διέρρηξαν οἱ τρεῖς δυνατοὶ ἐν τῇ παρεμβολῇ τῶν ἀλλοφύλων καὶ
ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βαιθλεεμ τοῦ ἐν τῇ πύλῃ
καὶ ἔλαβαν καὶ παρεγένοντο πρὸς Δαυιδ καὶ οὐκ ἠθέλησεν πιεῖν
αὐτὸ καὶ ἔσπεισεν αὐτὸ τῷ κυρίῳ. καὶ εἶπεν ἵλεώς μοι κύριε 17
τοῦ ποιῆσαι τοῦτο εἰ αἷμα τῶν ἀνδρῶν τῶν πορευθέντων ἐν ταῖς
ψυχαῖς αὐτῶν πίομαι καὶ οὐκ ἠθέλησεν πιεῖν αὐτό ταῦτα ἐποίη-
σαν οἱ τρεῖς δυνατοί. καὶ Αβεσσα ἀδελφὸς Ιωαβ υἱὸς Σαρουιας 18
αὐτὸς ἄρχων ἐν τοῖς τρισίν καὶ αὐτὸς ἐξήγειρεν τὸ δόρυ αὐτοῦ ἐπὶ
τριακοσίους τραυματίας καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισίν. ἐκ τῶν 19
τριῶν ἐκείνων ἔνδοξος καὶ ἐγένετο αὐτοῖς εἰς ἄρχοντα καὶ ἕως τῶν
τριῶν οὐκ ἦλθεν. καὶ Βαναιας υἱὸς Ιωδαε ἀνὴρ αὐτὸς πολλοστὸς 20
ἔργοις ἀπὸ Καβεσεηλ καὶ αὐτὸς ἐπάταξεν τοὺς δύο υἱοὺς Αριηλ
τοῦ Μωαβ καὶ αὐτὸς κατέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν μέσῳ τοῦ
λάκκου ἐν τῇ ἡμέρᾳ τῆς χιόνος. αὐτὸς ἐπάταξεν τὸν ἄνδρα τὸν 21
Αἰγύπτιον ἄνδρα ὁρατόν ἐν δὲ τῇ χειρὶ τοῦ Αἰγυπτίου δόρυ ὡς
ξύλον διαβάθρας καὶ κατέβη πρὸς αὐτὸν ἐν ῥάβδῳ καὶ ἥρπασεν
τὸ δόρυ ἐκ τῆς χειρὸς τοῦ Αἰγυπτίου καὶ ἀπέκτεινεν αὐτὸν ἐν
τῷ δόρατι αὐτοῦ. ταῦτα ἐποίησεν Βαναιας υἱὸς Ιωδαε καὶ αὐτῷ 22
ὄνομα ἐν τοῖς τρισὶν τοῖς δυνατοῖς. ἐκ τῶν τριῶν ἔνδοξος καὶ 23

---

v.15 καί^{cc} ἐπιθυμέω^{viaa3s} Δαυίδ^{nnmsp} καί^{cc} λέγω^{viaa3s} τίς^{rqnms} ποτίζω^{vifa3s} ἐγώ$^{rpa-s}$ ὕδωρ^{nansc} ἐκ^{pg} ὁ^{dgms} λάκκος^{ngmsc} ὁ^{dgms} ἐν^{pd} Βαιθλεεμ^{nd-sp} ὁ^{dgms} ἐν^{pd} ὁ^{ddfs} πύλη^{ndfsc} ὁ^{dnns} δέ^{cc} σύστημα^{nnnsc} ὁ^{dgmp} ἀλλόφυλος^{angmpn} τότε^{b} ἐν^{pd} Βαιθλεεμ^{nd-sp}. **v.16** καί^{cc} διαρρήγνυμι^{viaa3p} ὁ^{dnmp} τρεῖς^{acnmpn} δυνατός^{annmpn} ἐν^{pd} ὁ^{ddfs} παρεμβολή^{ndfsc} ὁ^{dgmp} ἀλλόφυλος^{angmpn} καί^{cc} ὑδρεύω^{viam3p} ὕδωρ^{nansc} ἐκ^{pg} ὁ^{dgms} λάκκος^{ngmsc} ὁ^{dgms} ἐν^{pd} Βαιθλεεμ^{nd-sp} ὁ^{dgms} ἐν^{pd} ὁ^{ddfs} πύλη^{ndfsc} καί^{cc} λαμβάνω^{viaa3p} καί^{cc} παραγίνομαι^{viam3p} πρός^{pa} Δαυίδ^{namsp} καί^{cc} οὐ^{b} θέλω^{viaa3s} πίνω^{vnaa} αὐτός^{rpans} καί^{cc} σπένδω^{viaa3s} αὐτός^{rpans} ὁ^{ddms} κύριος^{ndmsc}. **v.17** καί^{cc} λέγω^{viaa3s} ἵλεως^{annmsn} ἐγώ$^{rpd-s}$ κύριος^{nvmsc} ὁ^{dgns} ποιέω^{vnaa} οὗτος^{rdans} εἰ^{cs} αἷμα^{nansc} ὁ^{dgmp} ἀνήρ^{ngmpc} ὁ^{dgmp} πορεύομαι^{vpapgmp} ἐν^{pd} ὁ^{ddfp} ψυχή^{ndfpc} αὐτός^{rpgmp} πίνω^{vifm1s} καί^{cc} οὐ^{b} θέλω^{viaa3s} πίνω^{vnaa} αὐτός^{rpans} οὗτος^{rdanp} ποιέω^{viaa3p} ὁ^{dnmp} τρεῖς^{acnmpn} δυνατός^{annmpn}. **v.18** καί^{cc} Αβεσσα^{nnmsp} ἀδελφός^{nnmsc} Ιωαβ^{ngmsp} υἱός^{nnmsc} Σαρουια^{ngfsp} αὐτός^{rpnms} ἄρχων^{nnmsc} ἐν^{pd} ὁ^{ddmp} τρεῖς^{acdmpn} καί^{cc} αὐτός^{rpnms} ἐξεγείρω^{viaa3s} ὁ^{dans} δόρυ^{nansc} αὐτός^{rpgms} ἐπί^{pa} τριακόσιοι^{acampn} τραυματίας^{nampc} καί^{cc} αὐτός^{rpdms} ὄνομα^{nnnsc} ἐν^{pd} ὁ^{ddmp} τρεῖς^{acdmpn}. **v.19** ἐκ^{pg} ὁ^{dgmp} τρεῖς^{acgmpn} ἐκεῖνος^{rdgmp} ἔνδοξος^{annmsn} καί^{cc} γίνομαι^{viam3s} αὐτός^{rpdmp} εἰς^{pa} ἄρχων^{namsc} καί^{cc} ἕως^{pg} ὁ^{dgmp} τρεῖς^{acgmpn} οὐ^{b} ἔρχομαι^{viaa3s}. **v.20** καί^{cc} Βαναιας^{nnmsp} υἱός^{nnmsc} Ιωδαε^{ngmsp} ἀνήρ^{nnmsc} αὐτός^{rpnms} πολλοστός^{annmsn} ἔργον^{ndnpc} ἀπό^{pg} Καβεσεηλ^{ng-sp} καί^{cc} αὐτός^{rpnms} πατάσσω^{viaa3s} ὁ^{damp} δύο^{acamdn} υἱός^{nampc} Αριηλ^{ngmsp} ὁ^{dgms} Μωαβ^{ngmsp} καί^{cc} αὐτός^{rpnms} καταβαίνω^{viaa3s} καί^{cc} πατάσσω^{viaa3s} ὁ^{dams} λέων^{namsc} ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgms} λάκκος^{ngmsc} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{dgfs} χιών^{ngfsc}. **v.21** αὐτός^{rpnms} πατάσσω^{viaa3s} ὁ^{dams} ἀνήρ^{namsc} ὁ^{dams} Αἰγύπτιος^{anamsn} ἀνήρ^{namsc} ὁρατός^{anamsn} ἐν^{pd} δέ^{cc} ὁ^{ddfs} χείρ^{ndfsc} ὁ^{dgms} Αἰγύπτιος^{angmsn} δόρυ^{nnnsc} ὡς^{cs} ξύλον^{nnnsc} διαβάθρα^{ngfsc} καί^{cc} καταβαίνω^{viaa3s} πρός^{pa} αὐτός^{rpams} ἐν^{pd} ῥάβδος^{ndfsc} καί^{cc} ἁρπάζω^{viaa3s} ὁ^{dans} δόρυ^{nansc} ἐκ^{pg} ὁ^{dgfs} χείρ^{ngfsc} ὁ^{dgms} Αἰγύπτιος^{angmsn} καί^{cc} ἀποκτείνω^{viaa3s} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddns} δόρυ^{ndnsc} αὐτός^{rpgms}. **v.22** οὗτος^{rdanp} ποιέω^{viaa3s} Βαναιας^{nnmsp} υἱός^{nnmsc} Ιωδαε^{ngmsp} καί^{cc} αὐτός^{rpdms} ὄνομα^{nnnsc} ἐν^{pd} ὁ^{ddmp} τρεῖς^{acdmpn} ὁ^{ddmp} δυνατός^{andmpn}.

πρὸς τοὺς τρεῖς οὐκ ἦλθεν καὶ ἔταξεν αὐτὸν Δαυιδ εἰς τὰς ἀκο-
24 ὰς αὐτοῦ. καὶ ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν Δαυιδ βασιλέως
Ασαηλ ἀδελφὸς Ιωαβ οὗτος ἐν τοῖς τριάκοντα Ελεαναν υἱὸς Δουδι
25 πατραδέλφου αὐτοῦ ἐν Βαιθλεεμ. Σαμαι ὁ Αρουδαῖος Ελικα ὁ
26, 27 Αρωδαῖος. Ελλης ὁ Φελωθι Ιρας υἱὸς Εκκας ὁ Θεκωίτης. Αβιε-
28 ζερ ὁ Αναθωθίτης ἐκ τῶν υἱῶν τοῦ Ασωθίτου. Σελμων ὁ Αωίτης
29 Μοορε ὁ Νετωφαθίτης. Ελα υἱὸς Βαανα ὁ Νετωφαθίτης Εθθι υἱ-
30 ὸς Ριβα ἐκ Γαβαεθ υἱὸς Βενιαμιν. Βαναιας ὁ Φαραθωνίτης Ουρι
31 ἐκ Ναχαλιγαιας. Αβιηλ υἱὸς τοῦ Αραβωθίτου Αζμωθ ὁ Βαρσα-
32, 33 μίτης. Ελιασου ὁ Σαλαβωνίτης υἱοὶ Ιασαν Ιωναθαν. Σαμμα ὁ
34 Αρωδίτης Αχιαν υἱὸς Σαραδ ὁ Αραουρίτης. Αλιφαλεθ υἱὸς τοῦ
Ασβίτου υἱὸς τοῦ Μααχατι Ελιαβ υἱὸς Αχιτοφελ τοῦ Γελωνίτου.
35, 36 Ασαραι ὁ Καρμήλιος Φαραϊ ὁ Ερχι. Ιγααλ υἱὸς Ναθαν ἀπὸ δυ-
37 νάμεως υἱὸς Γαδδι. Ελιε ὁ Αμμανίτης Γελωραι ὁ Βηρωθαῖος
38 αἴρων τὰ σκεύη Ιωαβ υἱοῦ Σαρουιας. Ιρας ὁ Ιεθιραῖος Γαρηβ ὁ
39 Ιεθιραῖος. Ουριας ὁ Χετταῖος πάντες τριάκοντα καὶ ἑπτά.

24 καὶ προσέθετο ὀργὴ κυρίου ἐκκαῆναι ἐν Ισραηλ καὶ ἐπέσει-
σεν τὸν Δαυιδ ἐν αὐτοῖς λέγων βάδιζε ἀρίθμησον τὸν Ισραηλ καὶ
2 τὸν Ιουδα. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ιωαβ ἄρχοντα τῆς ἰσχύος
τὸν μετ᾽ αὐτοῦ δίελθε δὴ πάσας φυλὰς Ισραηλ ἀπὸ Δαν καὶ ἕως
Βηρσαβεε καὶ ἐπίσκεψαι τὸν λαόν καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ

---

v.23 ἐκ^{pg} ὁ^{dgmp} τρεῖς^{acgmpn} ἔνδοξος^{annmsn} καί^{cc} πρός^{pa} ὁ^{damp} τρεῖς^{acampn} οὐ^{b} ἔρχομαι^{viaa3s} καί^{cc} τάσσω^{viaa3s} αὐτός^{rpams} Δαυίδ^{nnmsp} εἰς^{pa} ὁ^{dafp} ἀκοή^{nafpc} αὐτός^{rpgms}. **v.24** καί^{cc} οὗτος^{rdnnp} ὁ^{dnnp} ὄνομα^{nnnpc} ὁ^{dgmp} δυνατός^{angmpn} Δαυίδ^{ngmsp} βασιλεύς^{ngmsc} Ασαηλ^{nnmsp} ἀδελφός^{nnmsc} Ιωαβ^{ngmsp} οὗτος^{rdnms} ἐν^{pd} ὁ^{ddmp} τριάκοντα^{ac-n} Ελεαναν^{nnmsp} υἱός^{nnmsc} Δουδι^{ngmsp} πατράδελφος^{ngmsc} αὐτός^{rpgms} ἐν^{pd} Βαιθλεεμ^{nd-sp}. **v.25** Σαμαι^{nnmsp} ὁ^{dnms} Αρουδαῖος^{ngmsp} Ελικα^{nnmsp} ὁ^{dnms} Αρωδαῖος^{nnmsp}. **v.26** Ελλης^{nnmsp} ὁ^{dnms} Φελωθι^{nnmsp} Ιρας^{nnmsp} υἱός^{nnmsc} Εκκας^{ngmsp} ὁ^{dnms} Θεκωίτης^{nnmsp}. **v.27** Αβιεζερ^{nnmsp} ὁ^{dnms} Αναθωχίτης^{nnmsp} ἐκ^{pg} ὁ^{dgmp} υἱός^{ngmpc} ὁ^{dgms} Ασωθίτης^{ngmsp}. **v.28** Σελμων^{nnmsp} ὁ^{dnms} Αωίτης^{nnmsp} Μοορε^{nnmsp} ὁ^{dnms} Νετωφαθίτης^{nnmsp}. **v.29** Ελα^{nnmsp} υἱός^{nnmsc} Βαανα^{ngmsp} ὁ^{dnms} Νετωφαθίτης^{nnmsp} Εθχι^{nnmsp} υἱός^{nnmsc} Ριβα^{ngmsp} ἐκ^{pg} Γαβαεθ^{ng-sp} υἱός^{nnmsc} Βενιαμίν^{ngmsp}. **v.30** Βαναιας^{nnmsp} ὁ^{dnms} Φαραθωνίτης^{nnmsp} Ουρι^{nnmsp} ἐκ^{pg} Ναχαλιγαιας^{ng-sp}. **v.31** Αβιηλ^{nnmsp} υἱός^{nnmsc} ὁ^{dgms} Αραβωθίτης^{ngmsp} Αζμωθ^{nnmsp} ὁ^{dnms} Βαρσαμίτης^{nnmsp}. **v.32** Ελιασου^{nnmsp} ὁ^{dnms} Σαλαβωνίτης^{nnmsp} υἱός^{nnmpc} Ιασαν^{ngmsp} Ιωναθαν^{nnmsp}. **v.33** Σαμμα^{nnmsp} ὁ^{dnms} Αρωδίτης^{nnmsp} Αχιαν^{nnmsp} υἱός^{nnmsc} Σαραδ^{ngmsp} ὁ^{dnms} Αραουρίτης^{nnmsp}. **v.34** Αλιφαλεθ^{nnmsp} υἱός^{nnmsc} ὁ^{dgms} Ασβίτης^{ngmsp} υἱός^{nnmsc} ὁ^{dgms} Μααχατι^{ngmsp} Ελιαβ^{nnmsp} υἱός^{nnmsc} Αχιτοφελ^{ngmsp} ὁ^{dgms} Γελωνίτης^{ngmsp}. **v.35** Ασαραι^{nnmsp} ὁ^{dnms} Καρμήλιος^{nnmsp} Φαραϊ^{nnmsp} ὁ^{dnms} Ερχι^{nnmsp}. **v.36** Ιγααλ^{nnmsp} υἱός^{nnmsc} Ναθάμ^{ngmsp} ἀπό^{pg} δύναμις^{ngfsc} υἱός^{nnmsc} Γαδδι^{ngmsp}. **v.37** Ελιε^{nnmsp} ὁ^{dnms} Αμμανίτης^{nnmsp} Γελωραι^{nnmsp} ὁ^{dnms} Βηρωθαῖος^{nnmsp} αἴρω^{vppanms} ὁ^{danp} σκεῦος^{nanpc} Ιωαβ^{ngmsp} υἱός^{ngmsc} Σαρουια^{ngfsp}. **v.38** Ιρας^{nnmsp} ὁ^{dnms} Ιεθιραῖος^{nnmsp} Γαρηβ^{nnmsp} ὁ^{dnms} Ιεθιραῖος^{nnmsp}. **v.39** Ουριας^{nnmsp} ὁ^{dnms} Χετταῖος^{nnmsp} πᾶς^{ainmpn} τριάκοντα^{ac-n} καί^{cc} ἑπτά$^{ac-n}$. **24. v.1** καί^{cc} προστίθημι^{viam3s} ὀργή^{nnfsc} κύριος^{ngmsc} ἐκκαίω^{vnap} ἐν^{pd} Ἰσραήλ^{ndmsp} καί^{cc} ἐπισείω^{viaa3s} ὁ^{dams} Δαυίδ^{namsp} ἐν^{pd} αὐτός^{rpdmp} λέγω^{vppanms} βαδίζω^{vdpa2s} ἀριθμέω^{vdaa2s} ὁ^{dams} Ἰσραήλ^{namsp} καί^{cc} ὁ^{dams} Ἰούδας^{namsp}.

λαοῦ. καὶ εἶπεν Ιωαβ πρὸς τὸν βασιλέα καὶ προσθείη κύριος ὁ 3
θεός σου πρὸς τὸν λαὸν ὥσπερ αὐτοὺς καὶ ὥσπερ αὐτοὺς ἑκατον-
ταπλασίονα καὶ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως ὁρῶντες
καὶ ὁ κύριός μου ὁ βασιλεὺς ἵνα τί βούλεται ἐν τῷ λόγῳ τού-
τῳ. καὶ ὑπερίσχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς Ιωαβ καὶ εἰς 4
τοὺς ἄρχοντας τῆς δυνάμεως καὶ ἐξῆλθεν Ιωαβ καὶ οἱ ἄρχοντες
τῆς ἰσχύος ἐνώπιον τοῦ βασιλέως ἐπισκέψασθαι τὸν λαὸν Ισραηλ.
καὶ διέβησαν τὸν Ιορδάνην καὶ παρενέβαλον ἐν Αροηρ ἐκ δεξιῶν 5
τῆς πόλεως τῆς ἐν μέσῳ τῆς φάραγγος Γαδ καὶ Ελιεζερ. καὶ 6
ἦλθον εἰς τὴν Γαλααδ καὶ εἰς γῆν Θαβασων ἥ ἐστιν Αδασαι καὶ
παρεγένοντο εἰς Δανιδαν καὶ Ουδαν καὶ ἐκύκλωσαν εἰς Σιδῶνα.
καὶ ἦλθαν εἰς Μαψαρ Τύρου καὶ πάσας τὰς πόλεις τοῦ Ευαίου 7
καὶ τοῦ Χαναναίου καὶ ἦλθαν κατὰ νότον Ιουδα εἰς Βηρσαβεε.
καὶ περιώδευσαν ἐν πάσῃ τῇ γῇ καὶ παρεγένοντο ἀπὸ τέλους ἐν- 8
νέα μηνῶν καὶ εἴκοσι ἡμερῶν εἰς Ιερουσαλημ. καὶ ἔδωκεν Ιωαβ 9
τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ πρὸς τὸν βασιλέα καὶ ἐ-
γένετο Ισραηλ ὀκτακόσιαι χιλιάδες ἀνδρῶν δυνάμεως σπωμένων
ῥομφαίαν καὶ ἀνὴρ Ιουδα πεντακόσιαι χιλιάδες ἀνδρῶν μαχη-
τῶν. καὶ ἐπάταξεν καρδία Δαυιδ αὐτὸν μετὰ τὸ ἀριθμῆσαι τὸν 10
λαόν καὶ εἶπεν Δαυιδ πρὸς κύριον ἥμαρτον σφόδρα ὃ ἐποίησα
νῦν κύριε παραβίβασον δὴ τὴν ἀνομίαν τοῦ δούλου σου ὅτι ἐμω-

---

v.2 καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] πρός[pa] Ιωαβ[namsp] ἄρχων[namsc] ὁ[dgfs] ἰσχύς[ngfsc] ὁ[dams] μετά[pg] αὐτός[rpgms] διέρχομαι[vdaa2s] δή[x] πᾶς[aiafpn] φυλή[nafpc] Ἰσραήλ[ngmsp] ἀπό[pg] Δάν[ngfsp] καί[cc] ἕως[cs] Βηρσαβεε[ngfsp] καί[cc] ἐπισκέπτομαι[vdam2s] ὁ[dams] λαός[namsc] καί[cc] γινώσκω[vifm1s] ὁ[dams] ἀριθμός[namsc] ὁ[dgms] λαός[ngmsc]. **v.3** καί[cc] λέγω[viaa3s] Ιωαβ[nnmsp] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] καί[cc] προστίθημι[voaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] σύ[rpg-s] πρός[pa] ὁ[dams] λαός[namsc] ὥσπερ[cs] αὐτός[rpamp] καί[cc] ὥσπερ[cs] αὐτός[rpamp] ἑκατονταπλασίων[ananpn] καί[cc] ὀφθαλμός[nnmpc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-s] ὁ[dgms] βασιλεύς[ngmsc] ὁράω[vppanmp] καί[cc] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-s] ὁ[dnms] βασιλεύς[nnmsc] ἵνα[cs] τίς[rqnns] βούλομαι[vipm3s] ἐν[pd] ὁ[ddms] λόγος[ndmsc] οὗτος[rddms]. **v.4** καί[cc] ὑπερισχύω[viaa3s] ὁ[dnms] λόγος[nnmsc] ὁ[dgms] βασιλεύς[ngmsc] πρός[pa] Ιωαβ[namsp] καί[cc] εἰς[pa] ὁ[damp] ἄρχων[nampc] ὁ[dgfs] δύναμις[ngfsc] καί[cc] ἐξέρχομαι[viaa3s] Ιωαβ[nnmsp] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] ὁ[dgfs] ἰσχύς[ngfsc] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] ἐπισκέπτομαι[vnam] ὁ[dams] λαός[namsc] Ἰσραήλ[ngmsp]. **v.5** καί[cc] διαβαίνω[viaa3p] ὁ[dams] Ἰορδάνης[namsp] καί[cc] παρεμβάλλω[viaa3p] ἐν[pd] Αροηρ[ndfsp] ἐκ[pg] δεξιός[angnpn] ὁ[dgfs] πόλις[ngfsc] ὁ[dgfs] ἐν[pd] μέσος[andnsn] ὁ[dgfs] φάραγξ[ngfsc] Γάδ[ngmsp] καί[cc] Ελιεζερ[ngmsp]. **v.6** καί[cc] ἔρχομαι[viaa3p] εἰς[pa] ὁ[dafs] Γαλααδ[nafsp] καί[cc] εἰς[pa] γῆ[nafsc] Θαβασων[ng-p] ὅς[rrnfs] εἰμί[vipa3s] Αδασαι[nn-p] καί[cc] παραγίνομαι[viam3p] εἰς[pa] Δανιδαν[na-sp] καί[cc] Ουδαν[na-sp] καί[cc] κυκλόω[viaa3p] εἰς[pa] Σιδών[nafsp]. **v.7** καί[cc] ἔρχομαι[viaa3p] εἰς[pa] Μαψαρ[na-sp] Τύρος[ngfsp] καί[cc] πᾶς[aiafpn] ὁ[dafp] πόλις[nafpc] ὁ[dgms] Ευαῖος[ngmsp] καί[cc] ὁ[dgms] Χαναναῖος[ngmsp] καί[cc] ἔρχομαι[viaa3p] κατά[pa] νότος[namsc] Ἰούδας[ngmsp] εἰς[pa] Βηρσαβεε[nafsp]. **v.8** καί[cc] περιοδεύω[viaa3p] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] γῆ[ndfsc] καί[cc] παραγίνομαι[viam3p] ἀπό[pg] τέλος[ngnsc] ἐννέα[ac—n] μήν[ngmpc] καί[cc] εἴκοσι[ac—n] ἡμέρα[ngfpc] εἰς[pa] Ἰερουσαλήμ[nafsp]. **v.9** καί[cc] δίδωμι[viaa3s] Ιωαβ[nnmsp] ὁ[dams] ἀριθμός[namsc] ὁ[dgfs] ἐπίσκεψις[ngfsc] ὁ[dgms] λαός[ngmsc] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] καί[cc] γίνομαι[viam3s] Ἰσραήλ[nnmsp] ὀκτακόσιοι[acnfpn] χιλιάς[nnfpc] ἀνήρ[ngmpc] δύναμις[ngfsc] σπάω[vppmgmp] ῥομφαία[nafsc] καί[cc] ἀνήρ[nnmsc] Ἰούδας[ngmsp] πεντακόσιοι[acnfpn] χιλιάς[nnfpc] ἀνήρ[ngmpc] μαχητής[ngmpc].

11 ράνθην σφόδρα. καὶ ἀνέστη Δαυιδ τὸ πρωί καὶ λόγος κυρίου
12 ἐγένετο πρὸς Γαδ τὸν προφήτην τὸν ὁρῶντα Δαυιδ λέγων. πο-
ρεύθητι καὶ λάλησον πρὸς Δαυιδ λέγων τάδε λέγει κύριος τρία
ἐγώ εἰμι αἴρω ἐπὶ σέ καὶ ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω
13 σοι. καὶ εἰσῆλθεν Γαδ πρὸς Δαυιδ καὶ ἀνήγγειλεν αὐτῷ καὶ εἶ-
πεν αὐτῷ ἔκλεξαι σεαυτῷ γενέσθαι εἰ ἔλθῃ σοι τρία ἔτη λιμὸς ἐν
τῇ γῇ σου ἢ τρεῖς μῆνας φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν σου
καὶ ἔσονται διώκοντές σε ἢ γενέσθαι τρεῖς ἡμέρας θάνατον ἐν τῇ
γῇ σου νῦν οὖν γνῶθι καὶ ἰδὲ τί ἀποκριθῶ τῷ ἀποστείλαντί με
14 ῥῆμα. καὶ εἶπεν Δαυιδ πρὸς Γαδ στενά μοι πάντοθεν σφόδρα
ἐστίν ἐμπεσοῦμαι δὴ ἐν χειρὶ κυρίου ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐ-
τοῦ σφόδρα εἰς δὲ χεῖρας ἀνθρώπου οὐ μὴ ἐμπέσω καὶ ἐξελέξατο
15 ἑαυτῷ Δαυιδ τὸν θάνατον. καὶ ἡμέραι θερισμοῦ πυρῶν καὶ ἔ-
δωκεν κύριος ἐν Ισραηλ θάνατον ἀπὸ πρωίθεν ἕως ὥρας ἀρίστου
καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ καὶ ἀπέθανεν ἐκ τοῦ λαοῦ ἀπὸ
16 Δαν καὶ ἕως Βηρσαβεε ἑβδομήκοντα χιλιάδες ἀνδρῶν. καὶ ἐξέ-
τεινεν ὁ ἄγγελος τοῦ θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς Ιερουσαλημ τοῦ
διαφθεῖραι αὐτήν καὶ παρεκλήθη κύριος ἐπὶ τῇ κακίᾳ καὶ εἶπεν
τῷ ἀγγέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ πολὺ νῦν ἄνες τὴν χεῖρά

---

v.10 καί^{cc} πατάσσω^{viaa3s} καρδία^{nnfsc} Δαυίδ^{ngmsp} αὐτός^{rpams} μετά^{pa} ὁ^{dans} ἀριθμέω^{vnaa} ὁ^{dams} λαός^{namsc} καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} πρός^{pa} κύριος^{namsc} ἁμαρτάνω^{viaa1s} σφόδρα^{b} ὅς^{rrans} ποιέω^{viaa1s} νῦν^{b} κύριος^{nvmsc} παραβιβάζω^{vdaa2s} δή^{x} ὁ^{dafs} ἀνομία^{nafsc} ὁ^{dgms} δοῦλος^{ngmsc} σύ$^{rpg-s}$ ὅτι^{cs} μωραίνω^{viap1s} σφόδρα^{b}. **v.11** καί^{cc} ἀνίστημι^{viaa3s} Δαυίδ^{nnmsp} ὁ^{dans} πρωΐ^{b} καί^{cc} λόγος^{nnmsc} κύριος^{ngmsc} γίνομαι^{viam3s} πρός^{pa} Γάδ^{namsp} ὁ^{dams} προφήτης^{namsc} ὁ^{dams} ὁράω^{vppaams} Δαυίδ^{ngmsp} λέγω^{vppanms}. **v.12** πορεύομαι^{vdap2s} καί^{cc} λαλέω^{vdaa2s} πρός^{pa} Δαυίδ^{namsp} λέγω^{vppanms} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} τρεῖς^{acanpn} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} αἴρω^{vipa1s} ἐπί^{pa} σύ$^{rpa-s}$ καί^{cc} ἐκλέγω^{vdam2s} σεαυτοῦ^{rxdms} εἷς^{acansn} ἐκ^{pg} αὐτός^{rpgnp} καί^{cc} ποιέω^{vifa1s} σύ$^{rpd-s}$. **v.13** καί^{cc} εἰσέρχομαι^{viaa3s} Γάδ^{nnmsp} πρός^{pa} Δαυίδ^{namsp} καί^{cc} ἀναγγέλλω^{viaa3s} αὐτός^{rpdms} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} ἐκλέγω^{vdam2s} σεαυτοῦ^{rxdms} γίνομαι^{vnam} εἰ^{cs} ἔρχομαι^{vsaa3s} σύ$^{rpd-s}$ τρεῖς^{acanpn} ἔτος^{nanpc} λιμός^{nnmsc} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} σύ$^{rpg-s}$ ἤ^{cc} τρεῖς^{acampn} μήν^{nampc} φεύγω^{vnpa} σύ$^{rpa-s}$ ἔμπροσθεν^{pg} ὁ^{dgmp} ἐχθρός^{angmpn} σύ$^{rpg-s}$ καί^{cc} εἰμί^{vifm3p} διώκω^{vppanmp} σύ$^{rpa-s}$ ἤ^{cc} γίνομαι^{vnam} τρεῖς^{acafpn} ἡμέρα^{nafpc} θάνατος^{namsc} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} σύ$^{rpg-s}$ νῦν^{b} οὖν^{cc} γινώσκω^{vdaa2s} καί^{cc} ὁράω^{vdaa2s} τίς^{rqans} ἀποκρίνομαι^{vsap1s} ὁ^{ddms} ἀποστέλλω^{vpaadms} ἐγώ$^{rpa-s}$ ῥῆμα^{nansc}. **v.14** καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} πρός^{pa} Γάδ^{namsp} στενός^{annnpn} ἐγώ$^{rpd-s}$ πάντοθεν^{b} σφόδρα^{b} εἰμί^{vipa3s} ἐμπίπτω^{vifm1s} δή^{x} ἐν^{pd} χείρ^{ndfsc} κύριος^{ngmsc} ὅτι^{cs} πολύς^{annmpn} ὁ^{dnmp} οἰκτιρμός^{nnmpc} αὐτός^{rpgms} σφόδρα^{b} εἰς^{pa} δέ^{cc} χείρ^{nafpc} ἄνθρωπος^{ngmsc} οὐ^{b} μή^{x} ἐμπίπτω^{vsaa1s} καί^{cc} ἐκλέγω^{viam3s} ἑαυτοῦ^{rxdms} Δαυίδ^{nnmsp} ὁ^{dams} θάνατος^{namsc}. **v.15** καί^{cc} ἡμέρα^{nnfpc} θερισμός^{ngmsc} πυρός^{ngmpc} καί^{cc} δίδωμι^{viaa3s} κύριος^{nnmsc} ἐν^{pd} Ἰσραήλ^{ndmsp} θάνατος^{namsc} ἀπό^{pp} πρωΐθεν^{b} ἕως^{pg} ὥρα^{ngfsc} ἄριστον^{ngnsc} καί^{cc} ἄρχω^{viam3s} ὁ^{dnfs} θραῦσις^{nnfsc} ἐν^{pd} ὁ^{ddms} λαός^{ndmsc} καί^{cc} ἀποθνῄσκω^{viaa3s} ἐκ^{pg} ὁ^{dgms} λαός^{ngmsc} ἀπό^{pg} Δάν^{ngfsp} καί^{cc} ἕως^{cs} Βηρσαβεε^{ngfsp} ἑβδομήκοντα$^{ac—n}$ χιλιάς^{nnfpc} ἀνήρ^{ngmpc}.

σου καὶ ὁ ἄγγελος κυρίου ἦν παρὰ τῷ ἅλῳ Ορνα τοῦ Ιεβουσαίου.
καὶ εἶπεν Δαυιδ πρὸς κύριον ἐν τῷ ἰδεῖν αὐτὸν τὸν ἄγγελον τύ- 17
πτοντα ἐν τῷ λαῷ καὶ εἶπεν ἰδοὺ ἐγώ εἰμι ἠδίκησα καὶ ἐγώ εἰμι ὁ
ποιμὴν ἐκακοποίησα καὶ οὗτοι τὰ πρόβατα τί ἐποίησαν γενέσθω
δὴ ἡ χείρ σου ἐν ἐμοὶ καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ ἦλθεν 18
Γαδ πρὸς Δαυιδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶπεν αὐτῷ ἀνάβηθι καὶ
στῆσον τῷ κυρίῳ θυσιαστήριον ἐν τῷ ἅλωνι Ορνα τοῦ Ιεβουσαίου.
καὶ ἀνέβη Δαυιδ κατὰ τὸν λόγον Γαδ καθ᾽ ὃν τρόπον ἐνετείλατο 19
αὐτῷ κύριος. καὶ διέκυψεν Ορνα καὶ εἶδεν τὸν βασιλέα καὶ 20
τοὺς παῖδας αὐτοῦ παραπορευομένους ἐπάνω αὐτοῦ καὶ ἐξῆλ-
θεν Ορνα καὶ προσεκύνησεν τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ
τὴν γῆν. καὶ εἶπεν Ορνα τί ὅτι ἦλθεν ὁ κύριός μου ὁ βασιλεὺς 21
πρὸς τὸν δοῦλον αὐτοῦ καὶ εἶπεν Δαυιδ κτήσασθαι παρὰ σοῦ τὸν
ἅλωνα τοῦ οἰκοδομῆσαι θυσιαστήριον τῷ κυρίῳ καὶ συσχεθῇ ἡ
θραῦσις ἐπάνω τοῦ λαοῦ. καὶ εἶπεν Ορνα πρὸς Δαυιδ λαβέτω 22
καὶ ἀνενεγκέτω ὁ κύριός μου ὁ βασιλεὺς τῷ κυρίῳ τὸ ἀγαθὸν ἐν
ὀφθαλμοῖς αὐτοῦ ἰδοὺ οἱ βόες εἰς ὁλοκαύτωμα καὶ οἱ τροχοὶ καὶ
τὰ σκεύη τῶν βοῶν εἰς ξύλα. τὰ πάντα ἔδωκεν Ορνα τῷ βασιλεῖ 23
καὶ εἶπεν Ορνα πρὸς τὸν βασιλέα κύριος ὁ θεός σου εὐλογήσαι

---

v.16 καί^{cc} ἐκτείνω^{viaa3s} ὁ^{dnms} ἄγγελος^{nnmsc} ὁ^{dgms} θεός^{ngmsc} ὁ^{dafs} χείρ^{nafsc} αὐτός^{rpgms} εἰς^{pa} Ἰερουσαλήμ^{nafsp} ὁ^{dgns} διαφθείρω^{vnaa} αὐτός^{rpafs} καί^{cc} παρακαλέω^{viap3s} κύριος^{nnmsc} ἐπί^{pd} ὁ^{ddfs} κακία^{ndfsc} καί^{cc} λέγω^{viaa3s} ὁ^{ddms} ἄγγελος^{ndmsc} ὁ^{ddms} διαφθείρω^{vppadms} ἐν^{pd} ὁ^{ddms} λαός^{ndmsc} πολύς^{annnsn} νῦν^{b} ἀνίημι^{vdaa2s} ὁ^{dafs} χείρ^{nafsc} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{dnms} ἄγγελος^{nnmsc} κύριος^{ngmsc} εἰμί^{viia3s} παρά^{pd} ὁ^{ddms} ἅλως^{ndmsc} Ορνα^{ngmsp} ὁ^{dgms} Ιεβουσαῖος^{ngmsp}. **v.17** καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} πρός^{pa} κύριος^{namsc} ἐν^{pd} ὁ^{ddns} ὁράω^{vnaa} αὐτός^{rpams} ὁ^{dams} ἄγγελος^{namsc} τύπτω^{vppaams} ἐν^{pd} ὁ^{ddms} λαός^{ndmsc} καί^{cc} λέγω^{viaa3s} ἰδού^{i} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} ἀδικέω^{viaa1s} καί^{cc} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} ὁ^{dnms} ποιμήν^{nnmsc} κακοποιέω^{viaa1s} καί^{cc} οὗτος^{rdnmp} ὁ^{dnnp} πρόβατον^{nnnpc} τίς^{rqans} ποιέω^{viaa3p} γίνομαι^{vdam3s} δή^{x} ὁ^{dnfs} χείρ^{nnfsc} σύ$^{rpg-s}$ ἐν^{pd} ἐγώ$^{rpd-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddms} οἶκος^{ndmsc} ὁ^{dgms} πατήρ^{ngmsc} ἐγώ$^{rpg-s}$. **v.18** καί^{cc} ἔρχομαι^{viaa3s} Γάδ^{nnmsp} πρός^{pa} Δαυίδ^{namsp} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἐκεῖνος^{rddfs} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} ἀναβαίνω^{vdaa2s} καί^{cc} ἵστημι^{vdaa2s} ὁ^{ddms} κύριος^{ndmsc} θυσιαστήριον^{nansc} ἐν^{pd} ὁ^{ddms} ἅλων^{ndmsc} Ορνα^{ngmsp} ὁ^{dgms} Ιεβουσαῖος^{ngmsp}. **v.19** καί^{cc} ἀναβαίνω^{viaa3s} Δαυίδ^{nnmsp} κατά^{pa} ὁ^{dams} λόγος^{namsc} Γάδ^{ngmsp} κατά^{pa} ὅς^{rrams} τρόπος^{namsc} ἐντέλλομαι^{viam3s} αὐτός^{rpdms} κύριος^{nnmsc}. **v.20** καί^{cc} διακύπτω^{viaa3s} Ορνα^{nnmsp} καί^{cc} ὁράω^{viaa3s} ὁ^{dams} βασιλεύς^{namsc} καί^{cc} ὁ^{damp} παῖς^{nampc} αὐτός^{rpgms} παραπορεύομαι^{vppmamp} ἐπάνω^{pg} αὐτός^{rpgms} καί^{cc} ἐξέρχομαι^{viaa3s} Ορνα^{nnmsp} καί^{cc} προσκυνέω^{viaa3s} ὁ^{ddms} βασιλεύς^{ndmsc} ἐπί^{pa} πρόσωπον^{nansc} αὐτός^{rpgms} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc}. **v.21** καί^{cc} λέγω^{viaa3s} Ορνα^{nnmsp} τίς^{rqnns} ὅτι^{cs} ἔρχομαι^{viaa3s} ὁ^{dnms} κύριος^{nnmsc} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} βασιλεύς^{nnmsc} πρός^{pa} ὁ^{dams} δοῦλος^{namsc} αὐτός^{rpgms} καί^{cc} λέγω^{viaa3s} Δαυίδ^{nnmsp} κτάομαι^{vnam} παρά^{pg} σύ$^{rpg-s}$ ὁ^{dams} ἅλων^{namsc} ὁ^{dgns} οἰκοδομέω^{vnaa} θυσιαστήριον^{nansc} ὁ^{ddms} κύριος^{ndmsc} καί^{cc} συνέχω^{vsap3s} ὁ^{dnfs} θραῦσις^{nnfsc} ἐπάνω^{pg} ὁ^{dgms} λαός^{ngmsc}. **v.22** καί^{cc} λέγω^{viaa3s} Ορνα^{nnmsp} πρός^{pa} Δαυίδ^{namsp} λαμβάνω^{vdaa3s} καί^{cc} ἀναφέρω^{vdaa3s} ὁ^{dnms} κύριος^{nnmsc} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} βασιλεύς^{nnmsc} ὁ^{ddms} κύριος^{ndmsc} ὁ^{dans} ἀγαθός^{anansn} ἐν^{pd} ὀφθαλμός^{ndmpc} αὐτός^{rpgms} ἰδού^{i} ὁ^{dnmp} βοῦς^{nnmpc} εἰς^{pa} ὁλοκαύτωμα^{nansc} καί^{cc} ὁ^{dnmp} τροχός^{nnmpc} καί^{cc} ὁ^{dnnp} σκεῦος^{nnnpc} ὁ^{dgmp} βοῦς^{ngmpc} εἰς^{pa} ξύλον^{nanpc}.

24 σε. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ορνα οὐχί ὅτι ἀλλὰ κτώμενος
κτήσομαι παρὰ σοῦ ἐν ἀλλάγματι καὶ οὐκ ἀνοίσω τῷ κυρίῳ θε-
ῷ μου ὁλοκαύτωμα δωρεάν καὶ ἐκτήσατο Δαυιδ τὸν ἅλωνα καὶ
25 τοὺς βόας ἐν ἀργυρίῳ σίκλων πεντήκοντα. καὶ ᾠκοδόμησεν ἐ-
κεῖ Δαυιδ θυσιαστήριον κυρίῳ καὶ ἀνήνεγκεν ὁλοκαυτώσεις καὶ
εἰρηνικάς καὶ προσέθηκεν Σαλωμων ἐπὶ τὸ θυσιαστήριον ἐπ᾽ ἐ-
σχάτῳ ὅτι μικρὸν ἦν ἐν πρώτοις καὶ ἐπήκουσεν κύριος τῇ γῇ καὶ
συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν Ισραηλ.

---

v.23 ὁ^danp πᾶς^aianpn δίδωμι^viaa3s Ορνα^nnmsp ὁ^ddms βασιλεύς^ndmsc καί^cc λέγω^viaa3s Ορνα^nnmsp πρός^pa ὁ^dams βασιλεύς^namsc κύριος^nnmsc ὁ^dnms θεός^nnmsc σύ^rpg-s εὐλογέω^voaa3s σύ^rpa-s. **v.24** καί^cc λέγω^viaa3s ὁ^dnms βασιλεύς^nnmsc πρός^pa Ορνα^namsp οὐχί^b ὅτι^cs ἀλλά^cc κτάομαι^vppmnms κτάομαι^vifm1s παρά^pg σύ^rpg-s ἐν^pd ἄλλαγμα^ndnsc καί^cc οὐ^b ἀναφέρω^vifa1s ὁ^ddms κύριος^ndmsc θεός^ndmsc ἐγώ^rpg-s ὁλοκαύτωμα^nansc δωρεάν^b καί^cc κτάομαι^viam3s Δαυίδ^nnmsp ὁ^dams ἅλων^namsc καί^cc ὁ^damp βοῦς^nampc ἐν^pd ἀργύριον^ndnsc σίκλος^ngmpc πεντήκοντα^ac—n. **v.25** καί^cc οἰκοδομέω^viaa3s ἐκεῖ^b Δαυίδ^nnmsp θυσιαστήριον^nansc κύριος^ndmsc καί^cc ἀναφέρω^viaa3s ὁλοκαύτωσις^nafpc καί^cc εἰρηνικός^anafpn καί^cc προστίθημι^viaa3s Σαλωμών^nnmsp ἐπί^pa ὁ^dans θυσιαστήριον^nansc ἐπί^pd ἔσχατος^andnsn ὅτι^cs μικρός^annnsn εἰμί^viia3s ἐν^pd πρῶτος^aodnpn καί^cc ἐπακούω^viaa3s κύριος^nnmsc ὁ^ddfs γῆ^ndfsc καί^cc συνέχω^viap3s ὁ^dnfs θραῦσις^nnfsc ἐπάνωθεν^b Ἰσραήλ^ngmsp.

ΒΑΣΙΛΕΙΩΝ Γ

καὶ ὁ βασιλεὺς Δαυιδ πρεσβύτερος προβεβηκὼς ἡμέραις καὶ **1**
περιέβαλλον αὐτὸν ἱματίοις καὶ οὐκ ἐθερμαίνετο. καὶ εἶπον οἱ 2
παῖδες αὐτοῦ ζητησάτωσαν τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ παρθένον
νεάνιδα καὶ παραστήσεται τῷ βασιλεῖ καὶ ἔσται αὐτὸν θάλπουσα
καὶ κοιμηθήσεται μετ᾽ αὐτοῦ καὶ θερμανθήσεται ὁ κύριος ἡμῶν ὁ
βασιλεύς. καὶ ἐζήτησαν νεάνιδα καλὴν ἐκ παντὸς ὁρίου Ισραηλ 3
καὶ εὗρον τὴν Αβισακ τὴν Σωμανῖτιν καὶ ἤνεγκαν αὐτὴν πρὸς
τὸν βασιλέα. καὶ ἡ νεᾶνις καλὴ ἕως σφόδρα καὶ ἦν θάλπουσα 4
τὸν βασιλέα καὶ ἐλειτούργει αὐτῷ καὶ ὁ βασιλεὺς οὐκ ἔγνω αὐ-
τήν. καὶ Αδωνιας υἱὸς Αγγιθ ἐπῆρετο λέγων ἐγὼ βασιλεύσω καὶ 5
ἐποίησεν ἑαυτῷ ἅρματα καὶ ἱππεῖς καὶ πεντήκοντα ἄνδρας παρα-
τρέχειν ἔμπροσθεν αὐτοῦ. καὶ οὐκ ἀπεκώλυσεν αὐτὸν ὁ πατὴρ 6
αὐτοῦ οὐδέποτε λέγων διὰ τί σὺ ἐποίησας καί γε αὐτὸς ὡραῖος τῇ
ὄψει σφόδρα καὶ αὐτὸν ἔτεκεν ὀπίσω Αβεσσαλωμ. καὶ ἐγένοντο 7
οἱ λόγοι αὐτοῦ μετὰ Ιωαβ τοῦ υἱοῦ Σαρουιας καὶ μετὰ Αβιαθαρ
τοῦ ἱερέως καὶ ἐβοήθουν ὀπίσω Αδωνιου. καὶ Σαδωκ ὁ ἱερεὺς καὶ 8
Βαναιας υἱὸς Ιωδαε καὶ Ναθαν ὁ προφήτης καὶ Σεμεϊ καὶ Ρηι καὶ

---

1. v.1 καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] Δαυίδ[nnmsp] πρεσβύτερος[annmsc] προβαίνω[vpxanms] ἡμέρα[ndfpc] καί[cc] περιβάλλω[viia3p] αὐτός[rpams] ἱμάτιον[ndnpc] καί[cc] οὐ[b] θερμαίνω[viip3s]. **v.2** καί[cc] λέγω[viaa3p] ὁ[dnmp] παῖς[nnmpc] αὐτός[rpgms] ζητέω[vdaa3p] ὁ[ddms] κύριος[ndmsc] ἐγώ[rpg-p] ὁ[ddms] βασιλεύς[ndmsc] παρθένος[nafsc] νεᾶνις[nafsc] καί[cc] παρίστημι[vifm3s] ὁ[ddms] βασιλεύς[ndmsc] καί[cc] εἰμί[vifm3s] αὐτός[rpams] θάλπω[vpaanfs] καί[cc] κοιμάομαι[vifp3s] μετά[pg] αὐτός[rpgms] καί[cc] θερμαίνω[vifp3s] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-p] ὁ[dnms] βασιλεύς[nnmsc]. **v.3** καί[cc] ζητέω[viaa3p] νεᾶνις[nafsc] καλός[anafsn] ἐκ[pg] πᾶς[aignsn] ὅριον[ngnsc] Ἰσραήλ[ngmsp] καί[cc] εὑρίσκω[viaa3p] ὁ[dafs] Αβισακ[nafsp] ὁ[dafs] Σωμανῖτις[nafsp] καί[cc] φέρω[viaa3p] αὐτός[rpafs] πρός[pa] ὁ[dams] βασιλεύς[namsc]. **v.4** καί[cc] ὁ[dnfs] νεᾶνις[nnfsc] καλός[annfsn] ἕως[pp] σφόδρα[b] καί[cc] εἰμί[viia3s] θάλπω[vppanfs] ὁ[dams] βασιλεύς[namsc] καί[cc] λειτουργέω[viia3s] αὐτός[rpdms] καί[cc] ὁ[dnms] βασιλεύς[nnmsc] οὐ[b] γινώσκω[viaa3s] αὐτός[rpafs]. **v.5** καί[cc] Αδωνίας[nnmsp] υἱός[nnmsc] Αγγιθ[ngmsp] ἐπαίρω[viim3s] λέγω[vppanms] ἐγώ[rpn-s] βασιλεύω[vifa1s] καί[cc] ποιέω[viaa3s] ἑαυτοῦ[rxdms] ἅρμα[nanpc] καί[cc] ἱππεύς[nampc] καί[cc] πεντήκοντα[ac—n] ἀνήρ[nampc] παρατρέχω[vnpa] ἔμπροσθεν[pg] αὐτός[rpgms]. **v.6** καί[cc] οὐ[b] ἀποκωλύω[viaa3s] αὐτός[rpams] ὁ[dnms] πατήρ[nnmsc] αὐτός[rpgms] οὐδέποτε[b] λέγω[vppanms] διά[pa] τίς[rqans] σύ[rpn-s] ποιέω[viaa2s] καί[cc] γέ[x] αὐτός[rpnms] ὡραῖος[annmsn] ὁ[ddfs] ὄψις[ndfsc] σφόδρα[b] καί[cc] αὐτός[rpams] τίκτω[viaa3s] ὀπίσω[pg] Αβεσσαλωμ[ngmsp]. **v.7** καί[cc] γίνομαι[viam3p] ὁ[dnmp] λόγος[nnmpc] αὐτός[rpgms] μετά[pg] Ιωαβ[ngmsp] ὁ[dgms] υἱός[ngmsc] Σαρουια[ngfsp] καί[cc] μετά[pg] Ἀβιαθάρ[ngmsp] ὁ[dgms] ἱερεύς[ngmsc] καί[cc] βοηθέω[viia3p] ὀπίσω[pg] Αδωνίας[ngmsp].

9 οἱ δυνατοὶ τοῦ Δαυιδ οὐκ ἦσαν ὀπίσω Αδωνιου. καὶ ἐθυσίασεν
Αδωνιας πρόβατα καὶ μόσχους καὶ ἄρνας μετὰ λίθου τοῦ Ζωελεθ
ὃς ἦν ἐχόμενα τῆς πηγῆς Ρωγηλ καὶ ἐκάλεσεν πάντας τοὺς ἀδελ-
φοὺς αὐτοῦ καὶ πάντας τοὺς ἁδροὺς Ιουδα παῖδας τοῦ βασιλέως.
10 καὶ τὸν Ναθαν τὸν προφήτην καὶ Βαναιαν καὶ τοὺς δυνατοὺς καὶ
11 τὸν Σαλωμων ἀδελφὸν αὐτοῦ οὐκ ἐκάλεσεν. καὶ εἶπεν Ναθαν
πρὸς Βηρσαβεε μητέρα Σαλωμων λέγων οὐκ ἤκουσας ὅτι ἐβασί-
λευσεν Αδωνιας υἱὸς Αγγιθ καὶ ὁ κύριος ἡμῶν Δαυιδ οὐκ ἔγνω.
12 καὶ νῦν δεῦρο συμβουλεύσω σοι δὴ συμβουλίαν καὶ ἐξελοῦ τὴν
13 ψυχήν σου καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου Σαλωμων. δεῦρο εἴσελθε
πρὸς τὸν βασιλέα Δαυιδ καὶ ἐρεῖς πρὸς αὐτὸν λέγουσα οὐχὶ σύ
κύριέ μου βασιλεῦ ὤμοσας τῇ δούλῃ σου λέγων ὅτι Σαλωμων ὁ
υἱός σου βασιλεύσει μετ᾽ ἐμὲ καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρό-
14 νου μου καὶ τί ὅτι ἐβασίλευσεν Αδωνιας. καὶ ἰδοὺ ἔτι λαλούσης
σου ἐκεῖ μετὰ τοῦ βασιλέως καὶ ἐγὼ εἰσελεύσομαι ὀπίσω σου καὶ
15 πληρώσω τοὺς λόγους σου. καὶ εἰσῆλθεν Βηρσαβεε πρὸς τὸν
βασιλέα εἰς τὸ ταμίειον καὶ ὁ βασιλεὺς πρεσβύτης σφόδρα καὶ
16 Αβισακ ἡ Σωμανῖτις ἦν λειτουργοῦσα τῷ βασιλεῖ. καὶ ἔκυψεν
Βηρσαβεε καὶ προσεκύνησεν τῷ βασιλεῖ καὶ εἶπεν ὁ βασιλεύς τί
17 ἐστίν σοι. ἡ δὲ εἶπεν κύριέ μου βασιλεῦ σὺ ὤμοσας ἐν κυρίῳ τῷ
θεῷ σου τῇ δούλῃ σου λέγων ὅτι Σαλωμων ὁ υἱός σου βασιλεύ-

---

v.8 καίᶜᶜ Σαδώκⁿⁿᵐˢᵖ ὁᵈⁿᵐˢ ἱερεύςⁿⁿᵐˢᶜ καίᶜᶜ Βαναιαςⁿⁿᵐˢᵖ υἱόςⁿⁿᵐˢᶜ Ιωδαεⁿᵍᵐˢᵖ καίᶜᶜ Ναθάμⁿⁿᵐˢᵖ ὁᵈⁿᵐˢ προφήτηςⁿⁿᵐˢᶜ καίᶜᶜ Σεμεῖⁿⁿᵐˢᵖ καίᶜᶜ Ρηιⁿⁿᵐˢᵖ καίᶜᶜ ὁᵈⁿᵐᵖ δυνατόςᵃⁿⁿᵐᵖⁿ ὁᵈᵍᵐˢ Δαυίδⁿᵍᵐˢᵖ οὐᵇ εἰμίᵛⁱⁱᵃ³ᵖ ὀπίσωᵖᵍ Αδωνίαςⁿᵍᵐˢᵖ. **v.9** καίᶜᶜ θυσιάζωᵛⁱᵃᵃ³ˢ Αδωνίαςⁿⁿᵐˢᵖ πρόβατονⁿᵃⁿᵖᶜ καίᶜᶜ μόσχοςⁿᵃᵐᵖᶜ καίᶜᶜ ἀρνόςⁿᵃᵐᵖᶜ μετάᵖᵍ λίθοςⁿᵍᵐˢᶜ ὁᵈᵍᵐˢ Ζωελεθⁿᵍᵐˢᵖ ὅςʳʳⁿᵐˢ εἰμίᵛⁱⁱᵃ³ˢ ἔχωᵛᵖᵖᵐᵃⁿ'ᵖᵇ ὁᵈᵍᶠˢ πηγήⁿᵍᶠˢᶜ Ρωγηλⁿᵍ⁻ˢᵖ καίᶜᶜ καλέωᵛⁱᵃᵃ³ˢ πᾶςᵃⁱᵃᵐᵖⁿ ὁᵈᵃᵐᵖ ἀδελφόςⁿᵃᵐᵖᶜ αὐτόςʳᵖᵍᵐˢ καίᶜᶜ πᾶςᵃⁱᵃᵐᵖⁿ ὁᵈᵃᵐᵖ ἁδρόςᵃⁿᵃᵐᵖⁿ Ἰούδαςⁿᵍᵐˢᵖ παῖςⁿᵃᵐᵖᶜ ὁᵈᵍᵐˢ βασιλεύςⁿᵍᵐˢᶜ. **v.10** καίᶜᶜ ὁᵈᵃᵐˢ Ναθάμⁿᵃᵐˢᵖ ὁᵈᵃᵐˢ προφήτηςⁿᵃᵐˢᶜ καίᶜᶜ Βαναιαςⁿᵃᵐˢᵖ καίᶜᶜ ὁᵈᵃᵐᵖ δυνατόςᵃⁿᵃᵐᵖⁿ καίᶜᶜ ὁᵈᵃᵐˢ Σαλωμώνⁿᵃᵐˢᵖ ἀδελφόςⁿᵃᵐˢᶜ αὐτόςʳᵖᵍᵐˢ οὐᵇ καλέωᵛⁱᵃᵃ³ˢ. **v.11** καίᶜᶜ λέγωᵛⁱᵃᵃ³ˢ Ναθάμⁿⁿᵐˢᵖ πρόςᵖᵃ Βηρσαβεεⁿᵃᶠˢᵖ μήτηρⁿᵃᶠˢᶜ Σαλωμώνⁿᵍᵐˢᵖ λέγωᵛᵖᵖᵃⁿᵐˢ οὐᵇ ἀκούωᵛⁱᵃᵃ²ˢ ὅτιᶜˢ βασιλεύωᵛⁱᵃᵃ³ˢ Αδωνίαςⁿⁿᵐˢᵖ υἱόςⁿⁿᵐˢᶜ Αγγιθⁿᵍᵐˢᵖ καίᶜᶜ ὁᵈⁿᵐˢ κύριοςⁿⁿᵐˢᶜ ἐγώʳᵖᵍ⁻ᵖ Δαυίδⁿⁿᵐˢᵖ οὐᵇ γινώσκωᵛⁱᵃᵃ³ˢ. **v.12** καίᶜᶜ νῦνᵇ δεῦροᵇ συμβουλεύωᵛⁱᶠᵃ¹ˢ σύʳᵖᵈ⁻ˢ δήˣ συμβουλίαⁿᵃᶠˢᶜ καίᶜᶜ ἐξαιρέωᵛᵈᵃᵐ²ˢ ὁᵈᵃᶠˢ ψυχήⁿᵃᶠˢᶜ σύʳᵖᵍ⁻ˢ καίᶜᶜ ὁᵈᵃᶠˢ ψυχήⁿᵃᶠˢᶜ ὁᵈᵍᵐˢ υἱόςⁿᵍᵐˢᶜ σύʳᵖᵍ⁻ˢ Σαλωμώνⁿᵍᵐˢᵖ. **v.13** δεῦροᵇ εἰσέρχομαιᵛᵈᵃᵃ²ˢ πρόςᵖᵃ ὁᵈᵃᵐˢ βασιλεύςⁿᵃᵐˢᶜ Δαυίδⁿᵃᵐˢᵖ καίᶜᶜ λέγωᵛⁱᶠᵃ²ˢ πρόςᵖᵃ αὐτόςʳᵖᵃᵐˢ λέγωᵛᵖᵖᵃⁿᶠˢ οὐχίᵇ σύʳᵖⁿ⁻ˢ κύριοςⁿᵛᵐˢᶜ ἐγώʳᵖᵍ⁻ˢ βασιλεύςⁿᵛᵐˢᶜ ὄμνυμιᵛⁱᵃᵃ²ˢ ὁᵈᵈᶠˢ δούληⁿᵈᶠˢᶜ σύʳᵖᵍ⁻ˢ λέγωᵛᵖᵖᵃⁿᵐˢ ὅτιᶜˢ Σαλωμώνⁿⁿᵐˢᵖ ὁᵈⁿᵐˢ υἱόςⁿⁿᵐˢᶜ σύʳᵖᵍ⁻ˢ βασιλεύωᵛⁱᶠᵃ³ˢ μετάᵖᵃ ἐγώʳᵖᵃ⁻ˢ καίᶜᶜ αὐτόςʳᵖⁿᵐˢ καθίζωᵛⁱᶠᵐ³ˢ ἐπίᵖᵍ ὁᵈᵍᵐˢ θρόνοςⁿᵍᵐˢᶜ ἐγώʳᵖᵍ⁻ˢ καίᶜᶜ τίςʳᵠⁿⁿˢ ὅτιᶜˢ βασιλεύωᵛⁱᵃᵃ³ˢ Αδωνίαςⁿⁿᵐˢᵖ. **v.14** καίᶜᶜ ἰδούⁱ ἔτιᵇ λαλέωᵛᵖᵖᵃᵍᶠˢ σύʳᵖᵍ⁻ˢ ἐκεῖᵇ μετάᵖᵍ ὁᵈᵍᵐˢ βασιλεύςⁿᵍᵐˢᶜ καίᶜᶜ ἐγώʳᵖⁿ⁻ˢ εἰσέρχομαιᵛⁱᶠᵐ¹ˢ ὀπίσωᵖᵍ σύʳᵖᵍ⁻ˢ καίᶜᶜ πληρόωᵛⁱᶠᵃ¹ˢ ὁᵈᵃᵐᵖ λόγοςⁿᵃᵐᵖᶜ σύʳᵖᵍ⁻ˢ. **v.15** καίᶜᶜ εἰσέρχομαιᵛⁱᵃᵃ³ˢ Βηρσαβεεⁿⁿᶠˢᵖ πρόςᵖᵃ ὁᵈᵃᵐˢ βασιλεύςⁿᵃᵐˢᶜ εἰςᵖᵃ ὁᵈᵃⁿˢ ταμιεῖονⁿᵃⁿˢᶜ καίᶜᶜ ὁᵈⁿᵐˢ βασιλεύςⁿⁿᵐˢᶜ πρεσβύτηςⁿⁿᵐˢᶜ σφόδραᵇ καίᶜᶜ Αβισακⁿⁿᶠˢᵖ ὁᵈⁿᶠˢ Σωμανῖτιςⁿⁿᶠˢᵖ εἰμίᵛⁱⁱᵃ³ˢ λειτουργέωᵛᵖᵖᶠⁿˢ ὁᵈᵈᵐˢ βασιλεύςⁿᵈᵐˢᶜ. **v.16** καίᶜᶜ κύπτωᵛⁱᵃᵃ³ˢ Βηρσαβεεⁿⁿᶠˢᵖ καίᶜᶜ προσκυνέωᵛⁱᵃᵃ³ˢ ὁᵈᵈᵐˢ βασιλεύςⁿᵈᵐˢᶜ καίᶜᶜ λέγωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ βασιλεύςⁿⁿᵐˢᶜ τίςʳᵠⁿⁿˢ εἰμίᵛⁱᵖᵃ³ˢ σύʳᵖᵈ⁻ˢ.

σει μετ᾽ ἐμὲ καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου. καὶ νῦν 18
ἰδοὺ Αδωνιας ἐβασίλευσεν καὶ σύ κύριέ μου βασιλεῦ οὐκ ἔγνως.
καὶ ἐθυσίασεν μόσχους καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος καὶ 19
ἐκάλεσεν πάντας τοὺς υἱοὺς τοῦ βασιλέως καὶ Αβιαθαρ τὸν ἱερέα
καὶ Ιωαβ τὸν ἄρχοντα τῆς δυνάμεως καὶ τὸν Σαλωμων τὸν δοῦ-
λόν σου οὐκ ἐκάλεσεν. καὶ σύ κύριέ μου βασιλεῦ οἱ ὀφθαλμοὶ 20
παντὸς Ισραηλ πρὸς σὲ ἀπαγγεῖλαι αὐτοῖς τίς καθήσεται ἐπὶ τοῦ
θρόνου τοῦ κυρίου μου τοῦ βασιλέως μετ᾽ αὐτόν. καὶ ἔσται ὡς 21
ἂν κοιμηθῇ ὁ κύριός μου ὁ βασιλεὺς μετὰ τῶν πατέρων αὐτοῦ
καὶ ἔσομαι ἐγὼ καὶ ὁ υἱός μου Σαλωμων ἁμαρτωλοί. καὶ ἰδοὺ 22
ἔτι αὐτῆς λαλούσης μετὰ τοῦ βασιλέως καὶ Ναθαν ὁ προφήτης
ἦλθεν. καὶ ἀνηγγέλη τῷ βασιλεῖ ἰδοὺ Ναθαν ὁ προφήτης καὶ 23
εἰσῆλθεν κατὰ πρόσωπον τοῦ βασιλέως καὶ προσεκύνησεν τῷ βα-
σιλεῖ κατὰ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ εἶπεν Ναθαν κύριέ 24
μου βασιλεῦ σὺ εἶπας Αδωνιας βασιλεύσει ὀπίσω μου καὶ αὐτὸς
καθήσεται ἐπὶ τοῦ θρόνου μου. ὅτι κατέβη σήμερον καὶ ἐθυσί- 25
ασεν μόσχους καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος καὶ ἐκάλεσεν
πάντας τοὺς υἱοὺς τοῦ βασιλέως καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως
καὶ Αβιαθαρ τὸν ἱερέα καὶ ἰδοὺ εἰσιν ἐσθίοντες καὶ πίνοντες ἐνώ-

---

v.17 ὁ^{dnfs} δέ^{cc} λέγω^{viaa3s} κύριος^{nvmsc} ἐγώ$^{rpg\text{-}s}$ βασιλεύς^{nvmsc} σύ$^{rpn\text{-}s}$ ὄμνυμι^{viaa2s} ἐν^{pd} κύριος^{ndmsc} ὁ^{ddms} θεός^{ndmsc} σύ$^{rpg\text{-}s}$ ὁ^{ddfs} δούλη^{ndfsc} σύ$^{rpg\text{-}s}$ λέγω^{vppanms} ὅτι^{cs} Σαλωμών^{nnmsp} ὁ^{dnms} υἱός^{nnmsc} σύ$^{rpg\text{-}s}$ βασιλεύω^{vifa3s} μετά^{pa} ἐγώ$^{rpa\text{-}s}$ καί^{cc} αὐτός^{rpnms} κάθημαι^{vifm3s} ἐπί^{pg} ὁ^{dgms} θρόνος^{ngmsc} ἐγώ$^{rpg\text{-}s}$. **v.18** καί^{cc} νῦν^{b} ἰδού^{i} Αδωνίας^{nnmsp} βασιλεύω^{viaa3s} καί^{cc} σύ$^{rpn\text{-}s}$ κύριος^{nvmsc} ἐγώ$^{rpg\text{-}s}$ βασιλεύς^{nvmsc} οὐ^{b} γινώσκω^{viaa2s}. **v.19** καί^{cc} θυσιάζω^{viaa3s} μόσχος^{nampc} καί^{cc} ἀρνός^{nampc} καί^{cc} πρόβατον^{nanpc} εἰς^{pa} πλῆθος^{nansc} καί^{cc} καλέω^{viaa3s} πᾶς^{aiampn} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} Ἀβιαθάρ^{namsp} ὁ^{dams} ἱερεύς^{namsc} καί^{cc} Ιωαβ^{namsp} ὁ^{dams} ἄρχων^{namsc} ὁ^{dgfs} δύναμις^{ngfsc} καί^{cc} ὁ^{dams} Σαλωμών^{namsp} ὁ^{dams} δοῦλος^{namsc} σύ$^{rpg\text{-}s}$ οὐ^{b} καλέω^{viaa3s}. **v.20** καί^{cc} σύ$^{rpn\text{-}s}$ κύριος^{nvmsc} ἐγώ$^{rpg\text{-}s}$ βασιλεύς^{nvmsc} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} πᾶς^{aigmsn} Ἰσραήλ^{ngmsp} πρός^{pa} σύ$^{rpa\text{-}s}$ ἀπαγγέλλω^{vnaa} αὐτός^{rpdmp} τίς^{rqans} κάθημαι^{vifm3s} ἐπί^{pg} ὁ^{dgms} θρόνος^{ngmsc} ὁ^{dgms} κύριος^{ngmsc} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dgms} βασιλεύς^{ngmsc} μετά^{pa} αὐτός^{rpams}. **v.21** καί^{cc} εἰμί^{vifm3s} ὡς^{cs} ἄν^{x} κοιμάομαι^{vsap3s} ὁ^{dnms} κύριος^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnms} βασιλεύς^{nnmsc} μετά^{pg} ὁ^{dgmp} πατήρ^{ngmpc} αὐτός^{rpgms} καί^{cc} εἰμί^{vifm1s} ἐγώ$^{rpn\text{-}s}$ καί^{cc} ὁ^{dnms} υἱός^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ Σαλωμών^{nnmsp} ἁμαρτωλός^{annmpn}. **v.22** καί^{cc} ἰδού^{i} ἔτι^{b} αὐτός^{rpgfs} λαλέω^{vppagfs} μετά^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} Ναθάμ^{nnmsp} ὁ^{dnms} προφήτης^{nnmsc} ἔρχομαι^{viaa3s}. **v.23** καί^{cc} ἀναγγέλλω^{viap3s} ὁ^{ddms} βασιλεύς^{ndmsc} ἰδού^{i} Ναθάμ^{nnmsp} ὁ^{dnms} προφήτης^{nnmsc} καί^{cc} εἰσέρχομαι^{viaa3s} κατά^{pa} πρόσωπον^{nansc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} προσκυνέω^{viaa3s} ὁ^{ddms} βασιλεύς^{ndmsc} κατά^{pa} πρόσωπον^{nansc} αὐτός^{rpgms} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc}. **v.24** καί^{cc} λέγω^{viaa3s} Ναθάμ^{nnmsp} κύριος^{nvmsc} ἐγώ^{rpgms} βασιλεύς^{nvmsc} σύ^{rpnms} λέγω^{viaa2s} Αδωνίας^{nnmsp} βασιλεύω^{vifa3s} ὀπίσω^{pg} ἐγώ^{rpgms} καί^{cc} αὐτός^{rpnms} κάθημαι^{vifm3s} ἐπί^{pg} ὁ^{dgms} θρόνος^{ngmsc} ἐγώ^{rpgms}.

26 πιον αὐτοῦ καὶ εἶπαν ζήτω ὁ βασιλεὺς Αδωνιας. καὶ ἐμὲ αὐτὸν
τὸν δοῦλόν σου καὶ Σαδωκ τὸν ἱερέα καὶ Βαναιαν υἱὸν Ιωδαε καὶ
27 Σαλωμων τὸν δοῦλόν σου οὐκ ἐκάλεσεν. εἰ διὰ τοῦ κυρίου μου
τοῦ βασιλέως γέγονεν τὸ ῥῆμα τοῦτο καὶ οὐκ ἐγνώρισας τῷ δούλῳ
σου τίς καθήσεται ἐπὶ τὸν θρόνον τοῦ κυρίου μου τοῦ βασιλέως
28 μετ᾽ αὐτόν. καὶ ἀπεκρίθη Δαυιδ καὶ εἶπεν καλέσατέ μοι τὴν
Βηρσαβεε καὶ εἰσῆλθεν ἐνώπιον τοῦ βασιλέως καὶ ἔστη ἐνώπιον
29 αὐτοῦ. καὶ ὤμοσεν ὁ βασιλεὺς καὶ εἶπεν ζῇ κύριος ὃς ἐλυτρώ-
30 σατο τὴν ψυχήν μου ἐκ πάσης θλίψεως. ὅτι καθὼς ὤμοσά σοι
ἐν κυρίῳ τῷ θεῷ Ισραηλ λέγων ὅτι Σαλωμων ὁ υἱός σου βασιλεύ-
σει μετ᾽ ἐμὲ καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου ἀντ᾽ ἐμοῦ
31 ὅτι οὕτως ποιήσω τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἔκυψεν Βηρσαβεε ἐπὶ
πρόσωπον ἐπὶ τὴν γῆν καὶ προσεκύνησεν τῷ βασιλεῖ καὶ εἶπεν
32 ζήτω ὁ κύριός μου ὁ βασιλεὺς Δαυιδ εἰς τὸν αἰῶνα. καὶ εἶπεν
ὁ βασιλεὺς Δαυιδ καλέσατέ μοι Σαδωκ τὸν ἱερέα καὶ Ναθαν τὸν
προφήτην καὶ Βαναιαν υἱὸν Ιωδαε καὶ εἰσῆλθον ἐνώπιον τοῦ βα-
33 σιλέως. καὶ εἶπεν ὁ βασιλεὺς αὐτοῖς λάβετε τοὺς δούλους τοῦ
κυρίου ὑμῶν μεθ᾽ ὑμῶν καὶ ἐπιβιβάσατε τὸν υἱόν μου Σαλωμων ἐ-
34 πὶ τὴν ἡμίονον τὴν ἐμὴν καὶ καταγάγετε αὐτὸν εἰς τὸν Γιων. καὶ

---

v.25 ὅτι^{cs} καταβαίνω^{viaa3s} σήμερον^{b} καί^{cc} θυσιάζω^{viaa3s} μόσχος^{nampc} καί^{cc} ἀρνός^{nampc} καί^{cc} πρόβατον^{nanpc} εἰς^{pa} πλῆθος^{nansc} καί^{cc} καλέω^{viaa3s} πᾶς^{aiampn} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} ὁ^{damp} ἄρχων^{nampc} ὁ^{dgfs} δύναμις^{ngfsc} καί^{cc} Ἀβιαθάρ^{namsp} ὁ^{dams} ἱερεύς^{namsc} καί^{cc} ἰδού^{i} εἰμί^{vipa3p} ἐσθίω^{vppanmp} καί^{cc} πίνω^{vppanmp} ἐνώπιον^{pg} αὐτός^{rpgms} καί^{cc} λέγω^{viaa3p} ζάω^{vdpa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} Αδωνίας^{nnmsp}. **v.26** καί^{cc} ἐγώ$^{rpa-s}$ αὐτός^{rtams} ὁ^{dams} δοῦλος^{namsc} σύ$^{rpg-s}$ καί^{cc} Σαδώκ^{namsp} ὁ^{dams} ἱερεύς^{namsc} καί^{cc} Βαναιας^{namsp} υἱός^{namsc} Ιωδαε^{ngmsp} καί^{cc} Σαλωμών^{namsp} ὁ^{dams} δοῦλος^{namsc} σύ$^{rpg-s}$ οὐ^{b} καλέω^{viaa3s}. **v.27** εἰ^{cs} διά^{pg} ὁ^{dgms} κύριος^{ngmsc} ἐγώ$^{rpg-s}$ ὁ^{dgms} βασιλεύς^{ngmsc} γίνομαι^{vixa3s} ὁ^{dnns} ῥῆμα^{nnnsc} οὗτος^{rdnns} καί^{cc} οὐ^{b} γνωρίζω^{viaa2s} ὁ^{ddms} δοῦλος^{ndmsc} σύ$^{rpg-s}$ τίς^{rqnms} κάθημαι^{vifm3s} ἐπί^{pa} ὁ^{dams} θρόνος^{namsc} ὁ^{dgms} κύριος^{ngmsc} ἐγώ$^{rpg-s}$ ὁ^{dgms} βασιλεύς^{ngmsc} μετά^{pa} αὐτός^{rpams}. **v.28** καί^{cc} ἀποκρίνομαι^{viap3s} Δαυίδ^{nnmsp} καί^{cc} λέγω^{viaa3s} καλέω^{vdaa2p} ἐγώ$^{rpd-s}$ ὁ^{dafs} Βηρσαβεε^{nafsp} καί^{cc} εἰσέρχομαι^{viaa3s} ἐνώπιον^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} ἵστημι^{viaa3s} ἐνώπιον^{pg} αὐτός^{rpgms}. **v.29** καί^{cc} ὄμνυμι^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} καί^{cc} λέγω^{viaa3s} ζάω^{vipa3s} κύριος^{nnmsc} ὅς^{rrnms} λυτρόω^{viam3s} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg-s}$ ἐκ^{pg} πᾶς^{aaigfsn} θλῖψις^{ngfsc}. **v.30** ὅτι^{cs} καθώς^{cs} ὄμνυμι^{viaa1s} σύ$^{rpd-s}$ ἐν^{pd} κύριος^{ndmsc} ὁ^{ddms} θεός^{ndmsc} Ισραήλ^{ngmsp} λέγω^{vppanms} ὅτι^{cs} Σαλωμών^{nnmsp} ὁ^{dnms} υἱός^{nnmsc} σύ$^{rpg-s}$ βασιλεύω^{vifa3s} μετά^{pa} ἐγώ$^{rpa-s}$ καί^{cc} αὐτός^{rpnms} κάθημαι^{vifm3s} ἐπί^{pg} ὁ^{dgms} θρόνος^{ngmsc} ἐγώ$^{rpg-s}$ ἀντί^{pg} ἐγώ$^{rpg-s}$ ὅτι^{cs} οὕτως^{b} ποιέω^{vifa1s} ὁ^{ddfs} ἡμέρα^{ndfsc} οὗτος^{rddfs}. **v.31** καί^{cc} κύπτω^{viaa3s} Βηρσαβεε^{nnfsp} ἐπί^{pa} πρόσωπον^{nansc} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} προσκυνέω^{viaa3s} ὁ^{ddms} βασιλεύς^{ndmsc} καί^{cc} λέγω^{viaa3s} ζάω^{vdpa3s} ὁ^{dnms} κύριος^{nnmsc} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} βασιλεύς^{nnmsc} Δαυίδ^{nnmsp} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.32** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} Δαυίδ^{nnmsp} καλέω^{vdaa2p} ἐγώ$^{rpd-s}$ Σαδώκ^{namsp} ὁ^{dams} ἱερεύς^{namsc} καί^{cc} Ναθάμ^{namsp} ὁ^{dams} προφήτης^{namsc} καί^{cc} Βαναιας^{namsp} υἱός^{namsc} Ιωδαε^{ngmsp} καί^{cc} εἰσέρχομαι^{viaa3p} ἐνώπιον^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc}. **v.33** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} αὐτός^{rpdmp} λαμβάνω^{vdaa2p} ὁ^{damp} δοῦλος^{nampc} ὁ^{dgms} κύριος^{ngmsc} σύ$^{rpg-p}$ μετά^{pg} σύ$^{rpg-p}$ καί^{cc} ἐπιβιβάζω^{vdaa2p} ὁ^{dams} υἱός^{namsc} ἐγώ$^{rpg-s}$ Σαλωμών^{namsp} ἐπί^{pa} ὁ^{dafs} ἡμίονος^{nafsc} ὁ^{dafs} ἐμός^{asafsn} καί^{cc} κατάγω^{vdaa2p} αὐτός^{rpams} εἰς^{pa} ὁ^{dams} Γιων^{namsp}.

χρισάτω αὐτὸν ἐκεῖ Σαδωκ ὁ ἱερεὺς καὶ Ναθαν ὁ προφήτης εἰς
βασιλέα ἐπὶ Ισραηλ καὶ σαλπίσατε κερατίνῃ καὶ ἐρεῖτε ζήτω ὁ βα-
σιλεὺς Σαλωμων. καὶ καθήσεται ἐπὶ τοῦ θρόνου μου καὶ αὐτὸς 35
βασιλεύσει ἀντ᾽ ἐμοῦ καὶ ἐγὼ ἐνετειλάμην τοῦ εἶναι εἰς ἡγούμε-
νον ἐπὶ Ισραηλ καὶ Ιουδα. καὶ ἀπεκρίθη Βαναιας υἱὸς Ιωδαε τῷ 36
βασιλεῖ καὶ εἶπεν γένοιτο οὕτως πιστώσαι κύριος ὁ θεὸς τοῦ κυ-
ρίου μου τοῦ βασιλέως. καθὼς ἦν κύριος μετὰ τοῦ κυρίου μου 37
τοῦ βασιλέως οὕτως εἴη μετὰ Σαλωμων καὶ μεγαλύναι τὸν θρό-
νον αὐτοῦ ὑπὲρ τὸν θρόνον τοῦ κυρίου μου τοῦ βασιλέως Δαυιδ.
καὶ κατέβη Σαδωκ ὁ ἱερεὺς καὶ Ναθαν ὁ προφήτης καὶ Βαναιας 38
υἱὸς Ιωδαε καὶ ὁ χερεθθι καὶ ὁ φελεθθι καὶ ἐπεκάθισαν τὸν Σα-
λωμων ἐπὶ τὴν ἡμίονον τοῦ βασιλέως Δαυιδ καὶ ἀπήγαγον αὐτὸν
εἰς τὸν Γιων. καὶ ἔλαβεν Σαδωκ ὁ ἱερεὺς τὸ κέρας τοῦ ἐλαίου ἐκ 39
τῆς σκηνῆς καὶ ἔχρισεν τὸν Σαλωμων καὶ ἐσάλπισεν τῇ κερατίνῃ
καὶ εἶπεν πᾶς ὁ λαὸς ζήτω ὁ βασιλεὺς Σαλωμων. καὶ ἀνέβη πᾶς 40
ὁ λαὸς ὀπίσω αὐτοῦ καὶ ἐχόρευον ἐν χοροῖς καὶ εὐφραινόμενοι
εὐφροσύνην μεγάλην καὶ ἐρράγη ἡ γῆ ἐν τῇ φωνῇ αὐτῶν. καὶ 41
ἤκουσεν Αδωνιας καὶ πάντες οἱ κλητοὶ αὐτοῦ καὶ αὐτοὶ συνε-
τέλεσαν φαγεῖν καὶ ἤκουσεν Ιωαβ τὴν φωνὴν τῆς κερατίνης καὶ
εἶπεν τίς ἡ φωνὴ τῆς πόλεως ἠχούσης. ἔτι αὐτοῦ λαλοῦντος καὶ 42
ἰδοὺ Ιωναθαν υἱὸς Αβιαθαρ τοῦ ἱερέως ἦλθεν καὶ εἶπεν Αδωνιας

---

v.34 καί[cc] χρίω[vdaa3s] αὐτός[rpams] ἐκεῖ[b] Σαδώκ[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] καί[cc] Ναθάμ[nnmsp] ὁ[dnms] προφήτης[nnmsc] εἰς[pa] βασιλεύς[namsc] ἐπί[pa] Ἰσραήλ[namsp] καί[cc] σαλπίζω[vdaa2p] κερατίνη[ndfsc] καί[cc] λέγω[vifa2p] ζάω[vdpa3s] ὁ[dnms] βασιλεύς[nnmsc] Σαλωμών[nnmsp]. **v.35** καί[cc] κάθημαι[vifm3s] ἐπί[pg] ὁ[dgms] θρόνος[ngmsc] ἐγώ[rpg-s] καί[cc] αὐτός[rpnms] βασιλεύω[vifa3s] ἀντί[pg] ἐγώ[rpg-s] καί[cc] ἐγώ[rpn-s] ἐντέλλομαι[viam1s] ὁ[dgns] εἰμί[vnpa] εἰς[pa] ἡγέομαι[vppmams] ἐπί[pa] Ἰσραήλ[namsp] καί[cc] Ἰούδας[namsp]. **v.36** καί[cc] ἀποκρίνομαι[viap3s] Βαναιας[nnmsp] υἱός[nnmsc] Ιωδαε[ngmsp] ὁ[ddms] βασιλεύς[ndmsc] καί[cc] λέγω[viaa3s] γίνομαι[voam3s] οὕτως[b] πιστόω[voaa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-s] ὁ[dgms] βασιλεύς[ngmsc]. **v.37** καθώς[cs] εἰμί[viia3s] κύριος[nnmsc] μετά[pg] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-s] ὁ[dgms] βασιλεύς[ngmsc] οὕτως[b] εἰμί[vopa3s] μετά[pg] Σαλωμών[ngmsp] καί[cc] μεγαλύνω[voaa3s] ὁ[dams] θρόνος[namsc] αὐτός[rpgms] ὑπέρ[pa] ὁ[dams] θρόνος[namsc] ὁ[dgms] κύριος[ngmsc] ἐγώ[rpg-s] ὁ[dgms] βασιλεύς[ngmsc] Δαυίδ[ngmsp]. **v.38** καί[cc] καταβαίνω[viaa3s] Σαδώκ[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] καί[cc] Ναθάμ[nnmsp] ὁ[dnms] προφήτης[nnmsc] καί[cc] Βαναιας[nnmsp] υἱός[nnmsc] Ιωδαε[ngmsp] καί[cc] ὁ[dnms] Χερεθχι[nnmsp] καί[cc] ὁ[dnms] φελεθχι[nnmsc] καί[cc] ἐπικαθίζω[viaa3p] ὁ[dams] Σαλωμών[namsp] ἐπί[pa] ὁ[dafs] ἡμίονος[nafsc] ὁ[dgms] βασιλεύς[ngmsc] Δαυίδ[ngmsp] καί[cc] ἀπάγω[viaa3p] αὐτός[rpams] εἰς[pa] ὁ[dams] Γιων[namsp]. **v.39** καί[cc] λαμβάνω[viaa3s] Σαδώκ[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] ὁ[dans] κέρας[nansc] ὁ[dgns] ἔλαιον[ngnsc] ἐκ[pg] ὁ[dgfs] σκηνή[ngfsc] καί[cc] χρίω[viaa3s] ὁ[dams] Σαλωμών[namsp] καί[cc] σαλπίζω[viaa3s] ὁ[ddfs] κερατίνη[ndfsc] καί[cc] λέγω[viaa3s] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] ζάω[vdpa3s] ὁ[dnms] βασιλεύς[nnmsc] Σαλωμών[nnmsp]. **v.40** καί[cc] ἀναβαίνω[viaa3s] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] ὀπίσω[pg] αὐτός[rpgms] καί[cc] χορεύω[viia3p] ἐν[pd] χορός[ndmpc] καί[cc] εὐφραίνω[vppmnmp] εὐφροσύνη[nafsc] μέγας[anafsn] καί[cc] ῥήγνυμι[viap3s] ὁ[dnfs] γῆ[nnfsc] ἐν[pd] ὁ[ddfs] φωνή[ndfsc] αὐτός[rpgmp]. **v.41** καί[cc] ἀκούω[viaa3s] Αδωνίας[nnmsp] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] κλητός[annmpn] αὐτός[rpgms] καί[cc] αὐτός[rpnmp] συντελέω[viaa3p] ἐσθίω[vnaa] καί[cc] ἀκούω[viaa3s] Ιωαβ[nnmsp] ὁ[dafs] φωνή[nafsc] ὁ[dgfs] κερατίνη[ngfsc] καί[cc] λέγω[viaa3s] τίς[aqnfsn] ὁ[dnfs] φωνή[nnfsc] ὁ[dgfs] πόλις[ngfsc] ἠχέω[vppagfs].

43 εἴσελθε ὅτι ἀνὴρ δυνάμεως εἶ σύ καὶ ἀγαθὰ εὐαγγέλισαι. καὶ
ἀπεκρίθη Ιωναθαν καὶ εἶπεν καὶ μάλα ὁ κύριος ἡμῶν ὁ βασιλεὺς
44 Δαυιδ ἐβασίλευσεν τὸν Σαλωμων. καὶ ἀπέστειλεν ὁ βασιλεὺς μετ᾽
αὐτοῦ τὸν Σαδωκ τὸν ἱερέα καὶ Ναθαν τὸν προφήτην καὶ Βαναιαν
υἱὸν Ιωδαε καὶ τὸν χερεθθι καὶ τὸν φελεθθι καὶ ἐπεκάθισαν αὐ-
45 τὸν ἐπὶ τὴν ἡμίονον τοῦ βασιλέως. καὶ ἔχρισαν αὐτὸν Σαδωκ ὁ
ἱερεὺς καὶ Ναθαν ὁ προφήτης εἰς βασιλέα ἐν τῷ Γιων καὶ ἀνέ-
βησαν ἐκεῖθεν εὐφραινόμενοι καὶ ἤχησεν ἡ πόλις αὕτη ἡ φωνή
46 ἣν ἠκούσατε. καὶ ἐκάθισεν Σαλωμων ἐπὶ θρόνον τῆς βασιλείας.
47 καὶ εἰσῆλθον οἱ δοῦλοι τοῦ βασιλέως εὐλογῆσαι τὸν κύριον ἡμῶν
τὸν βασιλέα Δαυιδ λέγοντες ἀγαθύναι ὁ θεὸς τὸ ὄνομα Σαλωμων
τοῦ υἱοῦ σου ὑπὲρ τὸ ὄνομά σου καὶ μεγαλύναι τὸν θρόνον αὐτοῦ
ὑπὲρ τὸν θρόνον σου καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐπὶ τὴν κοίτην
48 αὐτοῦ. καί γε οὕτως εἶπεν ὁ βασιλεύς εὐλογητὸς κύριος ὁ θεὸς
Ισραηλ ὃς ἔδωκεν σήμερον ἐκ τοῦ σπέρματός μου καθήμενον ἐπὶ
49 τοῦ θρόνου μου καὶ οἱ ὀφθαλμοί μου βλέπουσιν. καὶ ἐξέστησαν
καὶ ἐξανέστησαν πάντες οἱ κλητοὶ τοῦ Αδωνιου καὶ ἀπῆλθον ἀνὴρ
50 εἰς τὴν ὁδὸν αὐτοῦ. καὶ Αδωνιας ἐφοβήθη ἀπὸ προσώπου Σα-
λωμων καὶ ἀνέστη καὶ ἀπῆλθεν καὶ ἐπελάβετο τῶν κεράτων τοῦ
51 θυσιαστηρίου. καὶ ἀνηγγέλη τῷ Σαλωμων λέγοντες ἰδοὺ Αδω-

---

v.42 ἔτι[b] αὐτός[rpgms] λαλέω[vppagms] καί[cc] ἰδού[i] Ιωναθαν[nnmsp] υἱός[nnmsc] Ἀβιαθάρ[ngmsp] ὁ[dgms] ἱερεύς[ngmsc] ἔρχομαι[viaa3s] καί[cc] λέγω[viaa3s] Αδωνίας[nnmsp] εἰσέρχομαι[vdaa2s] ὅτι[cs] ἀνήρ[nnmsc] δύναμις[ngfsc] εἰμί[vipa2s] σύ[rpn-s] καί[cc] ἀγαθός[ananpn] εὐαγγελίζω[vdam2s]. **v.43** καί[cc] ἀποκρίνομαι[viap3s] Ιωναθαν[nnmsp] καί[cc] λέγω[viaa3s] καί[cc] μάλα[b] ὁ[dnms] κύριος[nnmsc] ἐγώ[rpg-p] ὁ[dnms] βασιλεύς[nnmsc] Δαυίδ[nnmsp] βασιλεύω[viaa3s] ὁ[dams] Σαλωμών[namsp]. **v.44** καί[cc] ἀποστέλλω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] μετά[pg] αὐτός[rpgms] ὁ[dams] Σαδώκ[namsp] ὁ[dams] ἱερεύς[namsc] καί[cc] Ναθάμ[namsp] ὁ[dams] προφήτης[namsc] καί[cc] Βαναιας[namsp] υἱός[namsc] Ιωδαε[ngmsp] καί[cc] ὁ[dams] χερεθι[namsc] καί[cc] ὁ[dams] φελεθι[namsc] καί[cc] ἐπικαθίζω[viaa3p] αὐτός[rpams] ἐπί[pa] ὁ[dafs] ἡμίονος[nafsc] ὁ[dgms] βασιλεύς[ngmsc]. **v.45** καί[cc] χρίω[viaa3p] αὐτός[rpams] Σαδώκ[nnmsp] ὁ[dnms] ἱερεύς[nnmsc] καί[cc] Ναθάμ[nnmsp] ὁ[dnms] προφήτης[nnmsc] εἰς[pa] βασιλεύς[namsc] ἐν[pd] ὁ[ddms] Γιων[ndmsp] καί[cc] ἀναβαίνω[viaa3p] ἐκεῖθεν[b] εὐφραίνω[vppmnmp] καί[cc] ἠχέω[viaa3s] ὁ[dnfs] πόλις[nnfsc] οὗτος[rdnfs] ὁ[dnfs] φωνή[nnfsc] ὅς[rrafs] ἀκούω[viaa2p]. **v.46** καί[cc] καθίζω[viaa3s] Σαλωμών[nnmsp] ἐπί[pa] θρόνος[namsc] ὁ[dgfs] βασιλεία[ngfsc]. **v.47** καί[cc] εἰσέρχομαι[viaa3p] ὁ[dnmp] δοῦλος[nnmpc] ὁ[dgms] βασιλεύς[ngmsc] εὐλογέω[vnaa] ὁ[dams] κύριος[namsc] ἐγώ[rpg-p] ὁ[dams] βασιλεύς[namsc] Δαυίδ[namsp] λέγω[vppanmp] ἀγαθύνω[voaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dans] ὄνομα[nansc] Σαλωμών[namsp] ὁ[dgms] υἱός[ngmsc] σύ[rpg-s] ὑπέρ[pa] ὁ[dans] ὄνομα[nansc] σύ[rpg-s] καί[cc] μεγαλύνω[voaa3s] ὁ[dams] θρόνος[namsc] αὐτός[rpgms] ὑπέρ[pa] ὁ[dams] θρόνος[namsc] σύ[rpg-s] καί[cc] προσκυνέω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ἐπί[pa] ὁ[dafs] κοίτη[nafsc] αὐτός[rpgms]. **v.48** καί[cc] γέ[x] οὕτως[b] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] εὐλογητός[annmsn] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] Ἰσραήλ[ngmsp] ὅς[rrnms] δίδωμι[viaa3s] σήμερον[b] ἐκ[pg] ὁ[dgns] σπέρμα[ngnsc] ἐγώ[rpg-s] κάθημαι[vppmams] ἐπί[pg] ὁ[dgms] θρόνος[ngmsc] ἐγώ[rpg-s] καί[cc] ὁ[dnmp] ὀφθαλμός[nnmpc] ἐγώ[rpg-s] βλέπω[vipa3p]. **v.49** καί[cc] ἐξίστημι[viaa3p] καί[cc] ἐξανίστημι[viaa3p] πᾶς[ainmpn] ὁ[dnmp] κλητός[annmpn] ὁ[dgms] Αδωνίας[ngmsp] καί[cc] ἀπέρχομαι[viaa3p] ἀνήρ[nnmsc] εἰς[pa] ὁ[dafs] ὁδός[nafsc] αὐτός[rpgms]. **v.50** καί[cc] Αδωνίας[nnmsp] φοβέω[viap3s] ἀπό[pg] πρόσωπον[ngnsc] Σαλωμών[ngmsp] καί[cc] ἀνίστημι[viaa3s] καί[cc] ἀπέρχομαι[viaa3s] καί[cc] ἐπιλαμβάνω[viam3s] ὁ[dgnp] κέρας[ngnpc] ὁ[dgns] θυσιαστήριον[ngnsc].

νιας ἐφοβήθη τὸν βασιλέα Σαλωμων καὶ κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου λέγων ὀμοσάτω μοι σήμερον ὁ βασιλεὺς Σαλωμων εἰ οὐ θανατώσει τὸν δοῦλον αὐτοῦ ἐν ῥομφαίᾳ. καὶ εἶπεν Σαλω- 52
μων ἐὰν γένηται εἰς υἱὸν δυνάμεως εἰ πεσεῖται τῶν τριχῶν αὐτοῦ ἐπὶ τὴν γῆν καὶ ἐὰν κακία εὑρεθῇ ἐν αὐτῷ θανατωθήσεται. καὶ 53
ἀπέστειλεν ὁ βασιλεὺς Σαλωμων καὶ κατήνεγκεν αὐτὸν ἀπάνω-
θεν τοῦ θυσιαστηρίου καὶ εἰσῆλθεν καὶ προσεκύνησεν τῷ βασιλεῖ
Σαλωμων καὶ εἶπεν αὐτῷ Σαλωμων δεῦρο εἰς τὸν οἶκόν σου.

καὶ ἤγγισαν αἱ ἡμέραι Δαυιδ ἀποθανεῖν αὐτόν καὶ ἐνετείλατο **2**
τῷ Σαλωμων υἱῷ αὐτοῦ λέγων. ἐγώ εἰμι πορεύομαι ἐν ὁδῷ πάσης 2
τῆς γῆς καὶ ἰσχύσεις καὶ ἔσῃ εἰς ἄνδρα. καὶ φυλάξεις τὴν φυ- 3
λακὴν κυρίου τοῦ θεοῦ σου τοῦ πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ
φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα
τὰ γεγραμμένα ἐν νόμῳ Μωυσέως ἵνα συνίῃς ἃ ποιήσεις κατὰ
πάντα ὅσα ἂν ἐντείλωμαί σοι. ἵνα στήσῃ κύριος τὸν λόγον αὐτοῦ 4
ὃν ἐλάλησεν λέγων ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν
πορεύεσθαι ἐνώπιον ἐμοῦ ἐν ἀληθείᾳ ἐν ὅλῃ καρδίᾳ αὐτῶν καὶ
ἐν ὅλῃ ψυχῇ αὐτῶν λέγων οὐκ ἐξολεθρευθήσεταί σοι ἀνὴρ ἐπά-
νωθεν θρόνου Ισραηλ. καί γε σὺ ἔγνως ὅσα ἐποίησέν μοι Ιωαβ 5
υἱὸς Σαρουιας ὅσα ἐποίησεν τοῖς δυσὶν ἄρχουσιν τῶν δυνάμεων
Ισραηλ τῷ Αβεννηρ υἱῷ Νηρ καὶ τῷ Αμεσσαϊ υἱῷ Ιεθερ καὶ ἀ-
πέκτεινεν αὐτοὺς καὶ ἔταξεν τὰ αἵματα πολέμου ἐν εἰρήνῃ καὶ

---

v.51 καί^{cc} ἀναγγέλλω^{viap3s} ὁ^{ddms} Σαλωμών^{ndmsp} λέγω^{vppanmp} ἰδού^{i} Αδωνίας^{nnmsp} φοβέω^{viap3s} ὁ^{dams} βασιλεύς^{namsc} Σαλωμών^{namsp} καί^{cc} κατέχω^{vipa3s} ὁ^{dgnp} κέρας^{ngnpc} ὁ^{dgns} θυσιαστήριον^{ngnsc} λέγω^{vppanms} ὄμνυμι^{vdaa3s} ἐγώ$^{rpd-s}$ σήμερον^{b} ὁ^{dnms} βασιλεύς^{nnmsc} Σαλωμών^{nnmsp} εἰ^{cs} οὐ^{b} θανατόω^{vifa3s} ὁ^{dams} δοῦλος^{namsc} αὐτός^{rpgms} ἐν^{pd} ῥομφαία^{ndfsc}. **v.52** καί^{cc} λέγω^{viaa3s} Σαλωμών^{nnmsp} ἐάν^{cs} γίνομαι^{vsam3s} εἰς^{pa} υἱός^{namsc} δύναμις^{ngfsc} εἰ^{cs} πίπτω^{vifm3s} ὁ^{dgfp} θρίξ^{ngfpc} αὐτός^{rpgms} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} ἐάν^{cs} κακία^{nnfsc} εὑρίσκω^{vsap3s} ἐν^{pd} αὐτός^{rpdms} θανατόω^{vifp3s}. **v.53** καί^{cc} ἀποστέλλω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} Σαλωμών^{nnmsp} καί^{cc} καταφέρω^{viaa3s} αὐτός^{rpams} ἀπάνωθεν^{pg} ὁ^{dgns} θυσιαστήριον^{ngnsc} καί^{cc} εἰσέρχομαι^{viaa3s} καί^{cc} προσκυνέω^{viaa3s} ὁ^{ddms} βασιλεύς^{ndmsc} Σαλωμών^{ndmsp} καί^{cc} λέγω^{viaa3s} αὐτός^{rpdms} Σαλωμών^{nnmsp} δεῦρο^{b} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} σύ$^{rpg-s}$. **2. v.1** καί^{cc} ἐγγίζω^{viaa3p} ὁ^{dnfp} ἡμέρα^{nnfpc} Δαυίδ^{namsp} ἀποθνῄσκω^{vnaa} αὐτός^{rpams} καί^{cc} ἐντέλλομαι^{viam3s} ὁ^{ddms} Σαλωμών^{ndmsp} υἱός^{ndmsc} αὐτός^{rpgms} λέγω^{vppanms}. **v.2** ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} πορεύομαι^{vipm1s} ἐν^{pd} ὁδός^{ndfsc} πᾶς^{aigfsn} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} ἰσχύω^{vifa2s} καί^{cc} εἰμί^{vifm2s} εἰς^{pa} ἀνήρ^{namsc}. **v.3** καί^{cc} φυλάσσω^{vifa2s} ὁ^{dafs} φυλακή^{nafsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} σύ$^{rpg-s}$ ὁ^{dgns} πορεύομαι^{vnpm} ἐν^{pd} ὁ^{ddfp} ὁδός^{ndfpc} αὐτός^{rpgms} φυλάσσω^{vnpa} ὁ^{dafp} ἐντολή^{nafpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} δικαίωμα^{nanpc} καί^{cc} ὁ^{danp} κρίμα^{nanpc} ὁ^{danp} γράφω^{vpxpanp} ἐν^{pd} νόμος^{ndmsc} Μωϋσῆς^{ngmsp} ἵνα^{cs} συνίημι^{vspa2s} ὅς^{rranp} ποιέω^{vifa2s} κατά^{pa} πᾶς^{aianpn} ὅσος^{aranpn} ἄν^{x} ἐντέλλομαι^{vsam1s} σύ$^{rpd-s}$. **v.4** ἵνα^{cs} ἵστημι^{vsaa3s} κύριος^{nnmsc} ὁ^{dams} λόγος^{namsc} αὐτός^{rpgms} ὅς^{rrams} λαλέω^{viaa3s} λέγω^{vppanms} ἐάν^{cs} φυλάσσω^{vsaa3p} ὁ^{dnmp} υἱός^{nnmpc} σύ$^{rpg-s}$ ὁ^{dafs} ὁδός^{nafsc} αὐτός^{rpgmp} πορεύομαι^{vnpm} ἐνώπιον^{pg} ἐγώ$^{rpg-s}$ ἐν^{pd} ἀλήθεια^{ndfsc} ἐν^{pd} ὅλος^{andfsn} καρδία^{ndfsc} αὐτός^{rpgmp} καί^{cc} ἐν^{pd} ὅλος^{andfsn} ψυχή^{ndfsc} αὐτός^{rpgmp} λέγω^{vppanms} οὐ^{b} ἐξολεθρεύω^{vifp3s} σύ$^{rpd-s}$ ἀνήρ^{nnmsc} ἐπάνωθεν^{b} θρόνος^{ngmsc} Ἰσραήλ^{ngmsp}.

ἔδωκεν αἷμα ἀθῷον ἐν τῇ ζώνῃ αὐτοῦ τῇ ἐν τῇ ὀσφύι αὐτοῦ καὶ
6 ἐν τῷ ὑποδήματι αὐτοῦ τῷ ἐν τῷ ποδὶ αὐτοῦ. καὶ ποιήσεις κατὰ
τὴν σοφίαν σου καὶ οὐ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν εἰρήνῃ εἰς
13 δένα εἰς τὴν δοχὴν ἀλλ᾽ ἢ ἐμέ καὶ εἰς τὴν αὔριον κέκλημαι. καὶ
ταῦτά μοι οὐκ ἀρέσκει ὅταν ἴδω Μαρδοχαῖον τὸν Ιουδαῖον ἐν τῇ
14 αὐλῇ. καὶ εἶπεν πρὸς αὐτὸν Ζωσαρα ἡ γυνὴ αὐτοῦ καὶ οἱ φίλοι
κοπήτω σοι ξύλον πηχῶν πεντήκοντα ὄρθρου δὲ εἰπὸν τῷ βασιλεῖ
καὶ κρεμασθήτω Μαρδοχαῖος ἐπὶ τοῦ ξύλου σὺ δὲ εἴσελθε εἰς τὴν
δοχὴν σὺν τῷ βασιλεῖ καὶ εὐφραίνου καὶ ἤρεσεν τὸ ῥῆμα τῷ Αμαν
καὶ ἡτοιμάσθη τὸ ξύλον.

6 ὁ δὲ κύριος ἀπέστησεν τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως τὴν νύκτα
ἐκείνην καὶ εἶπεν τῷ διδασκάλῳ αὐτοῦ εἰσφέρειν γράμματα μνη-
2 μόσυνα τῶν ἡμερῶν ἀναγινώσκειν αὐτῷ. εὗρεν δὲ τὰ γράμματα
τὰ γραφέντα περὶ Μαρδοχαίου ὡς ἀπήγγειλεν τῷ βασιλεῖ περὶ
τῶν δύο εὐνούχων τοῦ βασιλέως ἐν τῷ φυλάσσειν αὐτοὺς καὶ ζη-
3 τῆσαι ἐπιβαλεῖν τὰς χεῖρας Ἀρταξέρξῃ. εἶπεν δὲ ὁ βασιλεύς τίνα
δόξαν ἢ χάριν ἐποιήσαμεν τῷ Μαρδοχαίῳ καὶ εἶπαν οἱ διάκονοι
4 τοῦ βασιλέως οὐκ ἐποίησας αὐτῷ οὐδέν. ἐν δὲ τῷ πυνθάνεσθαι
τὸν βασιλέα περὶ τῆς εὐνοίας Μαρδοχαίου ἰδοὺ Αμαν ἐν τῇ αὐλῇ
εἶπεν δὲ ὁ βασιλεύς τίς ἐν τῇ αὐλῇ ὁ δὲ Αμαν εἰσῆλθεν εἰπεῖν
τῷ βασιλεῖ κρεμάσαι τὸν Μαρδοχαῖον ἐπὶ τῷ ξύλῳ ᾧ ἡτοίμασεν.

---

v.11 καί[cc] ὑποδείκνυμι[viaa3s] αὐτός[rpdmp] ὁ[dams] πλοῦτος[namsc] αὐτός[rpgms] καί[cc] ὁ[dafs] δόξα[nafsc] ὅς[rrafs] ὁ[dnms] βασιλεύς[nnmsc] αὐτός[rpdms] περιτίθημι[viaa3s] καί[cc] ὡς[cs] ποιέω[viaa3s] αὐτός[rpams] πρωτεύω[vnpa] καί[cc] ἡγέομαι[vnpm] ὁ[dgfs] βασιλεία[ngfsc]. **v.12** καί[cc] λέγω[viaa3s] Αμαν[nnmsp] οὐ[b] καλέω[vixa3s] ὁ[dnfs] βασίλισσα[nnfsc] μετά[pg] ὁ[dgms] βασιλεύς[ngmsc] οὐδείς[riams] εἰς[pa] ὁ[dafs] δοχή[nafsc] ἀλλά[cc] ἤ[cc] ἐγώ[rpa-s] καί[cc] εἰς[pa] ὁ[dafs] αὔριον[b] καλέω[vixp1s]. **v.13** καί[cc] οὗτος[rdnnp] ἐγώ[rpd-s] οὐ[b] ἀρέσκω[vipa3s] ὅταν[cs] ὁράω[vsaa1s] Μαρδοχαῖος[namsp] ὁ[dams] Ἰουδαῖος[anamsn] ἐν[pd] ὁ[ddfs] αὐλή[ndfsc]. **v.14** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpams] Ζωσαρα[nnfsp] ὁ[dnfs] γυνή[nnfsc] αὐτός[rpgms] καί[cc] ὁ[dnmp] φίλος[annmpn] κόπτω[vdap3s] σύ[rpd-s] ξύλον[nansc] πῆχυς[ngmpc] πεντήκοντα[ac—n] ὄρθρος[ngmsc] δέ[cc] λέγω[vdaa2s] ὁ[ddms] βασιλεύς[ndmsc] καί[cc] κρεμάννυμι[vdap3s] Μαρδοχαῖος[nnmsp] ἐπί[pg] ὁ[dgns] ξύλον[ngnsc] σύ[rpn-s] δέ[cc] εἰσέρχομαι[vdaa2s] εἰς[pa] ὁ[dafs] δοχή[nafsc] σύν[pd] ὁ[ddms] βασιλεύς[ndmsc] καί[cc] εὐφραίνω[vdpm2s] καί[cc] ἀρέσκω[viaa3s] ὁ[dnns] ῥῆμα[nnnsc] ὁ[ddms] Αμαν[ndmsp] καί[cc] ἑτοιμάζω[viap3s] ὁ[dnns] ξύλον[nnnsc]. **6. v.1** ὁ[dnms] δέ[cc] κύριος[nnmsc] ἀφίστημι[viaa3s] ὁ[dams] ὕπνος[namsc] ἀπό[pg] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dafs] νύξ[nafsc] ἐκεῖνος[rdafs] καί[cc] λέγω[viaa3s] ὁ[ddms] διδάσκαλος[ndmsc] αὐτός[rpgms] εἰσφέρω[vnpa] γράμμα[nanpc] μνημόσυνος[ananpn] ὁ[dgfp] ἡμέρα[ngfpc] ἀναγινώσκω[vnpa] αὐτός[rpdms]. **v.2** εὑρίσκω[viaa3s] δέ[cc] ὁ[danp] γράμμα[nanpc] ὁ[danp] γράφω[vpapanp] περί[pg] Μαρδοχαῖος[ngmsp] ὡς[cs] ἀπαγγέλλω[viaa3s] ὁ[ddms] βασιλεύς[ndmsc] περί[pg] ὁ[dgmp] δύο[ac—n] εὐνοῦχος[ngmpc] ὁ[dgms] βασιλεύς[ngmsc] ἐν[pd] ὁ[ddns] φυλάσσω[vnpa] αὐτός[rpamp] καί[cc] ζητέω[vnaa] ἐπιβάλλω[vnaa] ὁ[dafp] χείρ[nafpc] Ἀρταξέρξης[ndmsp]. **v.3** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] βασιλεύς[nnmsc] τίς[aqafsn] δόξα[nafsc] ἤ[cc] χάρις[nafsc] ποιέω[viaa1p] ὁ[ddms] Μαρδοχαῖος[ndmsp] καί[cc] λέγω[viaa3p] ὁ[dnmp] διάκονος[nnmpc] ὁ[dgms] βασιλεύς[ngmsc] οὐ[b] ποιέω[viaa2s] αὐτός[rpdms] οὐδείς[rians]. **v.4** ἐν[pd] δέ[cc] ὁ[ddns] πυνθάνομαι[vnpm] ὁ[dams] βασιλεύς[namsc] περί[pg] ὁ[dgfs] εὔνοια[ngfsc] Μαρδοχαῖος[ngmsp] ἰδού[i] Αμαν[nnmsp] ἐν[pd] ὁ[ddfs] αὐλή[ndfsc] λέγω[viaa3s] δέ[cc] ὁ[dnms] βασιλεύς[nnmsc] τίς[rqnms] ἐν[pd] ὁ[ddfs] αὐλή[ndfsc] ὁ[dnms] δέ[cc] Αμαν[nnmsp] εἰσέρχομαι[viaa3s] λέγω[vnaa] ὁ[ddms] βασιλεύς[ndmsc] κρεμάννυμι[vnaa] ὁ[dams] Μαρδοχαῖος[namsp] ἐπί[pd] ὁ[ddns] ξύλον[ndnsc] ὅς[rrdns] ἑτοιμάζω[viaa3s].

καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως ἰδοὺ Αμαν ἔστηκεν ἐν τῇ αὐ- 5
λῇ καὶ εἶπεν ὁ βασιλεύς καλέσατε αὐτόν. εἶπεν δὲ ὁ βασιλεὺς 6
τῷ Αμαν τί ποιήσω τῷ ἀνθρώπῳ ὃν ἐγὼ θέλω δοξάσαι εἶπεν δὲ ἐν
ἑαυτῷ Αμαν τίνα θέλει ὁ βασιλεὺς δοξάσαι εἰ μὴ ἐμέ. εἶπεν δὲ 7
πρὸς τὸν βασιλέα ἄνθρωπον ὃν ὁ βασιλεὺς θέλει δοξάσαι. ἐνεγ- 8
κάτωσαν οἱ παῖδες τοῦ βασιλέως στολὴν βυσσίνην ἣν ὁ βασιλεὺς
περιβάλλεται καὶ ἵππον ἐφ᾽ ὃν ὁ βασιλεὺς ἐπιβαίνει. καὶ δότω 9
ἑνὶ τῶν φίλων τοῦ βασιλέως τῶν ἐνδόξων καὶ στολισάτω τὸν ἄνθρω-
πον ὃν ὁ βασιλεὺς ἀγαπᾷ καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τὸν ἵππον
καὶ κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως λέγων οὕτως ἔσται
παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς δοξάζει. εἶπεν δὲ ὁ βασιλεὺς τῷ 10
Αμαν καθὼς ἐλάλησας οὕτως ποίησον τῷ Μαρδοχαίῳ τῷ Ιουδαίῳ
τῷ θεραπεύοντι ἐν τῇ αὐλῇ καὶ μὴ παραπεσάτω σου λόγος ὧν
ἐλάλησας. ἔλαβεν δὲ Αμαν τὴν στολὴν καὶ τὸν ἵππον καὶ ἐστό- 11
λισεν τὸν Μαρδοχαῖον καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ἵππον καὶ
διῆλθεν διὰ τῆς πλατείας τῆς πόλεως καὶ ἐκήρυσσεν λέγων οὕτως
ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς θέλει δοξάσαι. ἐπέστρεψεν 12
δὲ ὁ Μαρδοχαῖος εἰς τὴν αὐλήν Αμαν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια
λυπούμενος κατὰ κεφαλῆς. καὶ διηγήσατο Αμαν τὰ συμβεβη- 13
κότα αὐτῷ Ζωσαρα τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς φίλοις καὶ εἶπαν
πρὸς αὐτὸν οἱ φίλοι καὶ ἡ γυνή εἰ ἐκ γένους Ιουδαίων Μαρδο-
χαῖος ἦρξαι ταπεινοῦσθαι ἐνώπιον αὐτοῦ πεσὼν πεσῇ οὐ μὴ δύνῃ

---

v.5 καί[cc] λέγω[viaa3p] ὁ[dnmp] διάκονος[nnmpc] ὁ[dgms] βασιλεύς[ngmsc] ἰδού[i] Αμαν[nnmsp] ἵστημι[vixa3s] ἐν[pd] ὁ[ddfs] αὐλή[ndfsc] καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] καλέω[vdaa2p] αὐτός[rpams]. **v.6** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[ddms] Αμαν[ndmsp] τίς[rqans] ποιέω[vifa1s] ὁ[ddms] ἄνθρωπος[ndmsc] ὅς[rrams] ἐγώ[rpn-s] θέλω[vipa1s] δοξάζω[vnaa] λέγω[viaa3s] δέ[cc] ἐν[pd] ἑαυτοῦ[rxdms] Αμαν[nnmsp] τίς[rqams] θέλω[vipa3s] ὁ[dnms] βασιλεύς[nnmsc] δοξάζω[vnaa] εἰ[cs] μή[x] ἐγώ[rpa-s]. **v.7** λέγω[viaa3s] δέ[cc] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] ἄνθρωπος[namsc] ὅς[rrams] ὁ[dnms] βασιλεύς[nnmsc] θέλω[vipa3s] δοξάζω[vnaa]. **v.8** φέρω[vdaa3p] ὁ[dnmp] παῖς[nnmpc] ὁ[dgms] βασιλεύς[ngmsc] στολή[nafsc] βύσσινος[anafsn] ὅς[rrafs] ὁ[dnms] βασιλεύς[nnmsc] περιβάλλω[vipm3s] καί[cc] ἵππος[namsc] ἐπί[pa] ὅς[rrams] ὁ[dnms] βασιλεύς[nnmsc] ἐπιβαίνω[vipa3s]. **v.9** καί[cc] δίδωμι[vdaa3s] εἷς[acdmsn] ὁ[dgmp] φίλος[angmpn] ὁ[dgms] βασιλεύς[ngmsc] ὁ[dgmp] ἔνδοξος[angmpn] καί[cc] στολίζω[vdaa3s] ὁ[dams] ἄνθρωπος[namsc] ὅς[rrams] ὁ[dnms] βασιλεύς[nnmsc] ἀγαπάω[vipa3s] καί[cc] ἀναβιβάζω[vdaa3s] αὐτός[rpams] ἐπί[pa] ὁ[dams] ἵππος[namsc] καί[cc] κηρύσσω[vdpa3s] διά[pg] ὁ[dgfs] πλατεῖα[ngfsc] ὁ[dgfs] πόλις[ngfsc] λέγω[vppanms] οὕτως[b] εἰμί[vifm3s] πᾶς[aidmsn] ἄνθρωπος[ndmsc] ὅς[rrams] ὁ[dnms] βασιλεύς[nnmsc] δοξάζω[vipa3s]. **v.10** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] βασιλεύς[nnmsc] ὁ[ddms] Αμαν[ndmsp] καθώς[cs] λαλέω[viaa2s] οὕτως[b] ποιέω[vdaa2s] ὁ[ddms] Μαρδοχαῖος[ndmsp] ὁ[ddms] Ἰουδαῖος[andmsn] ὁ[ddms] θεραπεύω[vppadms] ἐν[pd] ὁ[ddfs] αὐλή[ndfsc] καί[cc] μή[x] παραπίπτω[vdaa3s] σύ[rpg-s] λόγος[nnmsc] ὅς[rrgmp] λαλέω[viaa2s]. **v.11** λαμβάνω[viaa3s] δέ[cc] Αμαν[nnmsp] ὁ[dafs] στολή[nafsc] καί[cc] ὁ[dams] ἵππος[namsc] καί[cc] στολίζω[viaa3s] ὁ[dams] Μαρδοχαῖος[namsp] καί[cc] ἀναβιβάζω[viaa3s] αὐτός[rpams] ἐπί[pa] ὁ[dams] ἵππος[namsc] καί[cc] διέρχομαι[viaa3s] διά[pg] ὁ[dgfs] πλατεῖα[ngfsc] ὁ[dgfs] πόλις[ngfsc] καί[cc] κηρύσσω[viia3s] λέγω[vppanms] οὕτως[b] εἰμί[vifm3s] πᾶς[aidmsn] ἄνθρωπος[ndmsc] ὅς[rrams] ὁ[dnms] βασιλεύς[nnmsc] θέλω[vipa3s] δοξάζω[vnaa]. **v.12** ἐπιστρέφω[viaa3s] δέ[cc] ὁ[dnms] Μαρδοχαῖος[nnmsp] εἰς[pa] ὁ[dafs] αὐλή[nafsc] Αμαν[nnmsp] δέ[cc] ὑποστρέφω[viaa3s] εἰς[pa] ὁ[danp] ἴδιος[ananpn] λυπέω[vpppnms] κατά[pg] κεφαλή[ngfsc].

14 αὐτὸν ἀμύνασθαι ὅτι θεὸς ζῶν μετ᾽ αὐτοῦ. ἔτι αὐτῶν λαλούντων
παραγίνονται οἱ εὐνοῦχοι ἐπισπεύδοντες τὸν Αμαν ἐπὶ τὸν πότον
ὃν ἡτοίμασεν Εσθηρ.
7, 2 εἰσῆλθεν δὲ ὁ βασιλεὺς καὶ Αμαν συμπιεῖν τῇ βασιλίσσῃ. εἶ-
πεν δὲ ὁ βασιλεὺς Εσθηρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ τί ἐστιν
Εσθηρ βασίλισσα καὶ τί τὸ αἴτημά σου καὶ τί τὸ ἀξίωμά σου καὶ
3 ἔστω σοι ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου. καὶ ἀποκριθεῖσα
εἶπεν εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως δοθήτω ἡ ψυχή μου τῷ
4 αἰτήματί μου καὶ ὁ λαός μου τῷ ἀξιώματί μου. ἐπράθημεν γὰρ
ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν καὶ διαρπαγὴν καὶ δουλείαν
ἡμεῖς καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας καὶ παρή-
5 κουσα οὐ γὰρ ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ βασιλέως. εἶπεν
δὲ ὁ βασιλεύς τίς οὗτος ὅστις ἐτόλμησεν ποιῆσαι τὸ πρᾶγμα τοῦτο.
6 εἶπεν δὲ Εσθηρ ἄνθρωπος ἐχθρὸς Αμαν ὁ πονηρὸς οὗτος Αμαν δὲ
7 ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης. ὁ δὲ βασιλεὺς
ἐξανέστη ἐκ τοῦ συμποσίου εἰς τὸν κῆπον ὁ δὲ Αμαν παρῃτεῖτο
8 τὴν βασίλισσαν ἑώρα γὰρ ἑαυτὸν ἐν κακοῖς ὄντα. ἐπέστρεψεν
δὲ ὁ βασιλεὺς ἐκ τοῦ κήπου Αμαν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλίνην
ἀξιῶν τὴν βασίλισσαν εἶπεν δὲ ὁ βασιλεύς ὥστε καὶ τὴν γυναῖκα

---

v.13 καί^{cc} διηγέομαι^{viam3s} Αμαν^{nnmsp} ὁ^{danp} συμβαίνω^{vpxaanp} αὐτός^{rpdms} Ζωσαρα^{ndfsp} ὁ^{ddfs} γυνή^{ndfsc} αὐτός^{rpgms} καί^{cc} ὁ^{ddmp} φίλος^{andmpn} καί^{cc} λέγω^{viaa3p} πρός^{pa} αὐτός^{rpams} ὁ^{dnmp} φίλος^{annmpn} καί^{cc} ὁ^{dnfs} γυνή^{nnfsc} εἰ^{cs} ἐκ^{pg} γένος^{ngnsc} Ἰουδαῖος^{angmpn} Μαρδοχαῖος^{nnmsp} ἄρχω^{vnaa} ταπεινόω^{vnpp} ἐνώπιον^{pg} αὐτός^{rpgms} πίπτω^{vpaanms} πίπτω^{vifm2s} οὐ^{b} μή^{x} δύναμαι^{vspm2s} αὐτός^{rpams} ἀμύνομαι^{vnam} ὅτι^{cs} θεός^{nnmsc} ζάω^{vppanms} μετά^{pg} αὐτός^{rpgms}. **v.14** ἔτι^{b} αὐτός^{rpgmp} λαλέω^{vppagmp} παραγίνομαι^{vipm3p} ὁ^{dnmp} εὐνοῦχος^{nnmpc} ἐπισπεύδω^{vppanmp} ὁ^{dams} Αμαν^{namsp} ἐπί^{pa} ὁ^{dams} πότος^{namsc} ὅς^{rrams} ἑτοιμάζω^{viaa3s} Εσθηρ^{nnfsp}. **7. v.1** εἰσέρχομαι^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} καί^{cc} Αμαν^{nnmsp} συμπίνω^{vnaa} ὁ^{ddfs} βασίλισσα^{ndfsc}. **v.2** λέγω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} Εσθηρ^{ndfsp} ὁ^{ddfs} δεύτερος^{aodfsn} ἡμέρα^{ndfsc} ἐν^{pd} ὁ^{ddns} πότος^{ndnsc} τίς^{rqnns} εἰμί^{vipa3s} Εσθηρ^{nvfsp} βασίλισσα^{nvfsc} καί^{cc} τίς^{rqnns} ὁ^{dnns} αἴτημα^{nnnsc} σύ$^{rpg-s}$ καί^{cc} τίς^{rqnns} ὁ^{dnns} ἀξίωμα^{nnnsc} σύ$^{rpg-s}$ καί^{cc} εἰμί^{vdpa3s} σύ$^{rpd-s}$ ἕως^{pg} ὁ^{dgns} ἥμισυς^{angnsn} ὁ^{dgfs} βασιλεία^{ngfsc} ἐγώ$^{rpg-s}$. **v.3** καί^{cc} ἀποκρίνομαι^{vpapnfs} λέγω^{viaa3s} εἰ^{cs} εὑρίσκω^{viaa1s} χάρις^{nafsc} ἐνώπιον^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} δίδωμι^{vdap3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ ὁ^{ddns} αἴτημα^{ndnsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} ἐγώ$^{rpg-s}$ ὁ^{ddns} ἀξίωμα^{ndnsc} ἐγώ$^{rpg-s}$. **v.4** πιπράσκω^{viap1p} γάρ^{cc} ἐγώ$^{rpn-s}$ τέ^{cc} καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} ἐγώ$^{rpg-s}$ εἰς^{pa} ἀπώλεια^{nafsc} καί^{cc} διαρπαγή^{nafsc} καί^{cc} δουλεία^{nafsc} ἐγώ$^{rpn-p}$ καί^{cc} ὁ^{dnnp} τέκνον^{nnnpc} ἐγώ$^{rpg-p}$ εἰς^{pa} παῖς^{nampc} καί^{cc} παιδίσκη^{nafpc} καί^{cc} παρακούω^{viaa1s} οὐ^{b} γάρ^{cc} ἄξιος^{annmsn} ὁ^{dnms} διάβολος^{nnmsc} ὁ^{dgfs} αὐλή^{ngfsc} ὁ^{dgms} βασιλεύς^{ngmsc}. **v.5** λέγω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} τίς^{rqnms} οὗτος^{rdnms} ὅστις^{rrnms} τολμάω^{viaa3s} ποιέω^{vnaa} ὁ^{dans} πρᾶγμα^{nansc} οὗτος^{rdans}. **v.6** λέγω^{viaa3s} δέ^{cc} Εσθηρ^{nnfsp} ἄνθρωπος^{nnmsc} ἐχθρός^{annmsn} Αμαν^{nnmsp} ὁ^{dnms} πονηρός^{annmsn} οὗτος^{rdnms} Αμαν^{nnmsp} δέ^{cc} ταράσσω^{viap3s} ἀπό^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} ὁ^{dgfs} βασίλισσα^{ngfsc}. **v.7** ὁ^{dnms} δέ^{cc} βασιλεύς^{nnmsc} ἐξανίστημι^{viaa3s} ἐκ^{pg} ὁ^{dgns} συμπόσιον^{ngnsc} εἰς^{pa} ὁ^{dams} κῆπος^{namsc} ὁ^{dnms} δέ^{cc} Αμαν^{nnmsp} παραιτέομαι^{viim3s} ὁ^{dafs} βασίλισσα^{nafsc} ὁράω^{viia3s} γάρ^{cc} ἑαυτοῦ^{rxams} ἐν^{pd} κακός^{andnpn} εἰμί^{vppaams}.

βιάζῃ ἐν τῇ οἰκίᾳ μου Αμαν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ. εἶπεν δὲ Βουγαθαν εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα ἰδοὺ καὶ 9
ξύλον ἡτοίμασεν Αμαν Μαρδοχαίῳ τῷ λαλήσαντι περὶ τοῦ βασιλέως καὶ ὥρθωται ἐν τοῖς Αμαν ξύλον πηχῶν πεντήκοντα εἶπεν δὲ
ὁ βασιλεύς σταυρωθήτω ἐπ᾽ αὐτοῦ. καὶ ἐκρεμάσθη Αμαν ἐπὶ τοῦ 10
ξύλου ὃ ἡτοίμασεν Μαρδοχαίῳ καὶ τότε ὁ βασιλεὺς ἐκόπασεν τοῦ θυμοῦ.

καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς Ἀρταξέρξης ἐδωρήσατο Εσθηρ **8**
ὅσα ὑπῆρχεν Αμαν τῷ διαβόλῳ καὶ Μαρδοχαῖος προσεκλήθη ὑπὸ
τοῦ βασιλέως ὑπέδειξεν γὰρ Εσθηρ ὅτι ἐνοικείωται αὐτῇ. ἔλα- 2
βεν δὲ ὁ βασιλεὺς τὸν δακτύλιον ὃν ἀφείλατο Αμαν καὶ ἔδωκεν
αὐτὸν Μαρδοχαίῳ καὶ κατέστησεν Εσθηρ Μαρδοχαῖον ἐπὶ πάν-
των τῶν Αμαν. καὶ προσθεῖσα ἐλάλησεν πρὸς τὸν βασιλέα καὶ 3
προσέπεσεν πρὸς τοὺς πόδας αὐτοῦ καὶ ἠξίου ἀφελεῖν τὴν Αμαν
κακίαν καὶ ὅσα ἐποίησεν τοῖς Ιουδαίοις. ἐξέτεινεν δὲ ὁ βασιλεὺς 4
Εσθηρ τὴν ῥάβδον τὴν χρυσῆν ἐξηγέρθη δὲ Εσθηρ παρεστηκέναι
τῷ βασιλεῖ. καὶ εἶπεν Εσθηρ εἰ δοκεῖ σοι καὶ εὗρον χάριν πεμ- 5
φθήτω ἀποστραφῆναι τὰ γράμματα τὰ ἀπεσταλμένα ὑπὸ Αμαν
τὰ γραφέντα ἀπολέσθαι τοὺς Ιουδαίους οἵ εἰσιν ἐν τῇ βασιλείᾳ
σου. πῶς γὰρ δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου καὶ 6

---

v.8 ἐπιστρέφω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} ἐκ^{pg} ὁ^{dgms} κῆπος^{ngmsc} Αμαν^{nnmsp} δέ^{cc} ἐπιπίπτω^{viya3s} ἐπί^{pa} ὁ^{dafs} κλίνη^{nafsc} ἀξιόω^{vppanms} ὁ^{dafs} βασίλισσα^{nafsc} λέγω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} ὥστε^{cs} καί^{b} ὁ^{dafs} γυνή^{nafsc} βιάζομαι^{vipm2s} ἐν^{pd} ὁ^{ddfs} οἰκία^{ndfsc} ἐγώ$^{rpg-s}$ Αμαν^{nnmsp} δέ^{cc} ἀκούω^{vpaanms} διατρέπω^{viap3s} ὁ^{ddns} πρόσωπον^{ndnsc}. **v.9** λέγω^{viaa3s} δέ^{cc} Βουγαθαν^{nnmsp} εἷς^{acnmsn} ὁ^{dgmp} εὐνοῦχος^{ngmpc} πρός^{pa} ὁ^{dams} βασιλεύς^{namsc} ἰδού^{i} καί^{cc} ξύλον^{nansc} ἑτοιμάζω^{viaa3s} Αμαν^{nnmsp} Μαρδοχαῖος^{ndmsp} ὁ^{ddms} λαλέω^{vpaadms} περί^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} ὀρθόω^{vixm3s} ἐν^{pd} ὁ^{ddmp} Αμαν^{ngmsp} ξύλον^{nnnsc} πῆχυς^{ngmpc} πεντήκοντα^{ac-n} λέγω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} σταυρόω^{vdap3s} ἐπί^{pg} αὐτός^{rpgns}. **v.10** καί^{cc} κρεμάννυμι^{viap3s} Αμαν^{nnmsp} ἐπί^{pg} ὁ^{dgns} ξύλον^{ngnsc} ὅς^{rrans} ἑτοιμάζω^{viaa3s} Μαρδοχαῖος^{ndmsp} καί^{cc} τότε^{b} ὁ^{dnms} βασιλεύς^{nnmsc} κοπάζω^{viaa3s} ὁ^{dgms} θυμός^{ngmsc}. **8. v.1** καί^{cc} ἐν^{pd} αὐτός^{rtdfs} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{dnms} βασιλεύς^{nnmsc} Ἀρταξέρξης^{nnmsp} δωρέομαι^{viam3s} Εσθηρ^{ndfsp} ὅσος^{rrnnpn} ὑπάρχω^{viia3s} Αμαν^{ndmsp} ὁ^{ddms} διάβολος^{ndmsc} καί^{cc} Μαρδοχαῖος^{nnmsp} προσκαλέομαι^{viap3s} ὑπό^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} ὑποδείκνυμι^{viaa3s} γάρ^{cc} Εσθηρ^{nnfsp} ὅτι^{cs} ἐνοικειόομαι^{vspm3s} αὐτός^{rpdfs}. **v.2** λαμβάνω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} ὁ^{dams} δακτύλιος^{namsc} ὅς^{rrams} ἀφαιρέω^{viam3s} Αμαν^{ngmsp} καί^{cc} δίδωμι^{viaa3s} αὐτός^{rpams} Μαρδοχαῖος^{ndmsp} καί^{cc} καθίστημι^{viaa3s} Εσθηρ^{nnfsp} Μαρδοχαῖος^{namsp} ἐπί^{pg} πᾶς^{aignpn} ὁ^{dgnp} Αμαν^{ngmsp}. **v.3** καί^{cc} προστίθημι^{vpaanfs} λαλέω^{viaa3s} πρός^{pa} ὁ^{dams} βασιλεύς^{namsc} καί^{cc} προσπίπτω^{viaa3s} πρός^{pa} ὁ^{damp} πούς^{nampc} αὐτός^{rpgms} καί^{cc} ἀξιόω^{viia3s} ἀφαιρέω^{vnaa} ὁ^{dafs} Αμαν^{ngmsp} κακία^{nafsc} καί^{cc} ὅσος^{aranpn} ποιέω^{viaa3s} ὁ^{ddmp} Ἰουδαῖος^{andmpn}. **v.4** ἐκτείνω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} Εσθηρ^{ndfsp} ὁ^{dafs} ῥάβδος^{nafsc} ὁ^{dafs} χρυσοῦς^{anafsn} ἐξεγείρω^{viap3s} δέ^{cc} Εσθηρ^{nnfsp} παρίστημι^{vnxa} ὁ^{ddms} βασιλεύς^{ndmsc}. **v.5** καί^{cc} λέγω^{viaa3s} Εσθηρ^{nnfsp} εἰ^{cs} δοκέω^{vipa3s} σύ$^{rpd-s}$ καί^{cc} εὑρίσκω^{viaa1s} χάρις^{nafsc} πέμπω^{vdap3s} ἀποστρέφω^{vnap} ὁ^{danp} γράμμα^{nanpc} ὁ^{danp} ἀποστέλλω^{vpxpanp} ὑπό^{pg} Αμαν^{ngmsp} ὁ^{danp} γράφω^{vpapanp} ἀπόλλυμι^{vnam} ὁ^{damp} Ἰουδαῖος^{anampn} ὅς^{rrnmp} εἰμί^{vipa3p} ἐν^{pd} ὁ^{ddfs} βασιλεία^{ndfsc} σύ$^{rpg-s}$.

7 πῶς δυνήσομαι σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου. καὶ
εἶπεν ὁ βασιλεὺς πρὸς Εσθηρ εἰ πάντα τὰ ὑπάρχοντα Αμαν ἔδωκα
καὶ ἐχαρισάμην σοι καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου ὅτι τὰς χεῖ-
8 ρας ἐπήνεγκε τοῖς Ιουδαίοις τί ἔτι ἐπιζητεῖς. γράψατε καὶ ὑμεῖς
ἐκ τοῦ ὀνόματός μου ὡς δοκεῖ ὑμῖν καὶ σφραγίσατε τῷ δακτυλίῳ
μου ὅσα γὰρ γράφεται τοῦ βασιλέως ἐπιτάξαντος καὶ σφραγισθῇ
9 τῷ δακτυλίῳ μου οὐκ ἔστιν αὐτοῖς ἀντειπεῖν. ἐκλήθησαν δὲ οἱ
γραμματεῖς ἐν τῷ πρώτῳ μηνί ὅς ἐστι Νισα τρίτῃ καὶ εἰκάδι τοῦ
αὐτοῦ ἔτους καὶ ἐγράφη τοῖς Ιουδαίοις ὅσα ἐνετείλατο τοῖς οἰ-
κονόμοις καὶ τοῖς ἄρχουσιν τῶν σατραπῶν ἀπὸ τῆς Ἰνδικῆς ἕως
τῆς Αἰθιοπίας ἑκατὸν εἴκοσι ἑπτὰ σατραπείαις κατὰ χώραν καὶ
10 χώραν κατὰ τὴν ἑαυτῶν λέξιν. ἐγράφη δὲ διὰ τοῦ βασιλέως καὶ
ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ καὶ ἐξαπέστειλαν τὰ γράμματα
11 διὰ βιβλιαφόρων. ὡς ἐπέταξεν αὐτοῖς χρῆσθαι τοῖς νόμοις αὐτῶν
ἐν πάσῃ πόλει βοηθῆσαί τε αὐτοῖς καὶ χρῆσθαι τοῖς ἀντιδίκοις
12 αὐτῶν καὶ τοῖς ἀντικειμένοις αὐτῶν ὡς βούλονται. ἐν ἡμέρᾳ μιᾷ
ἐν πάσῃ τῇ βασιλείᾳ Ἀρταξέρξου τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκά-
του μηνός ὅς ἐστιν Αδαρ [1] ὧν ἐστιν ἀντίγραφον τῆς ἐπιστολῆς
τὰ ὑπογεγραμμένα [2] βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς
Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκατὸν εἴκοσι ἑπτὰ σατραπείαις χωρῶν
ἄρχουσι καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι χαίρειν [3] πολλοὶ τῇ πλεί-
στῃ τῶν εὐεργετούντων χρηστότητι πυκνότερον τιμώμενοι μεῖζον
ἐφρόνησαν καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κα-
κοποιεῖν τόν τε κόρον οὐ δυνάμενοι φέρειν καὶ τοῖς ἑαυτῶν εὐερ-

---

v.6 πῶς[b] γάρ[cc] δύναμαι[vifm1s] ὁράω[vnaa] ὁ[dafs] κάκωσις[nafsc] ὁ[dgms] λαός[ngmsc] ἐγώ[rpg-s] καί[cc] πῶς[b] δύναμαι[vifm1s] σῴζω[vnap] ἐν[pd] ὁ[ddfs] ἀπώλεια[ndfsc] ὁ[dgfs] πατρίς[ngfsc] ἐγώ[rpg-s]. **v.7** καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] πρός[pa] Εσθηρ[nafsp] εἰ[cs] πᾶς[aianpn] ὁ[danp] ὑπάρχω[vppaanp] Αμαν[ngmsp] δίδωμι[viaa1s] καί[cc] χαρίζομαι[viam1s] σύ[rpd-s] καί[cc] αὐτός[rpams] κρεμάννυμι[viaa1s] ἐπί[pg] ξύλον[ngnsc] ὅτι[cs] ὁ[dafp] χείρ[nafpc] ἐπιφέρω[viaa3s] ὁ[ddmp] Ἰουδαῖος[andmpn] τίς[rqans] ἔτι[b] ἐπιζητέω[vipa2s]. **v.8** γράφω[vdaa2p] καί[b] σύ[rpn-p] ἐκ[pg] ὁ[dgns] ὄνομα[ngnsc] ἐγώ[rpg-s] ὡς[cs] δοκέω[vipa3s] σύ[rpd-p] καί[cc] σφραγίζω[vdaa2p] ὁ[ddms] δακτύλιος[ndmsc] ἐγώ[rpg-s] ὅσος[arnnpn] γάρ[cc] γράφω[vipp3s] ὁ[dgms] βασιλεύς[ngmsc] ἐπιτάσσω[vpaagms] καί[cc] σφραγίζω[vsap3s] ὁ[ddms] δακτύλιος[ndmsc] ἐγώ[rpg-s] οὐ[b] εἰμί[vipa3s] αὐτός[rpdmp] ἀντιλέγω[vnaa]. **v.9** καλέω[viap3p] δέ[cc] ὁ[dnmp] γραμματεύς[nnmpc] ἐν[pd] ὁ[ddms] πρῶτος[aodmsn] μήν[ndmsc] ὅς[rrnms] εἰμί[vipa3s] Νισα[nnfsp] τρίτος[aodfsn] καί[cc] εἰκάς[ndfsc] ὁ[dgns] αὐτός[atgnsn] ἔτος[ngnsc] καί[cc] γράφω[viap3s] ὁ[ddmp] Ἰουδαῖος[andmpn] ὅσος[rrnnpn] ἐντέλλομαι[viam3s] ὁ[ddmp] οἰκονόμος[ndmpc] καί[cc] ὁ[ddmp] ἄρχων[ndmpc] ὁ[dgmp] σατράπης[ngmpc] ἀπό[pg] ὁ[dgfs] Ἰνδική[ngfsp] ἕως[pg] ὁ[dgfs] Αἰθιοπία[ngfsp] ἑκατόν[ac—n] εἴκοσι[ac—n] ἑπτά[ac—n] σατραπεία[ndfpc] κατά[pa] χώρα[nafsc] καί[cc] χώρα[nafsc] κατά[pa] ὁ[dafs] ἑαυτοῦ[rxgmp] λέξις[nafsc]. **v.10** γράφω[viap3s] δέ[cc] διά[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] σφραγίζω[viap3s] ὁ[ddms] δακτύλιος[ndmsc] αὐτός[rpgms] καί[cc] ἐξαποστέλλω[viaa3p] ὁ[danp] γράμμα[nanpc] διά[pg] βιβλιαφόρος[ngmpc]. **v.11** ὡς[cs] ἐπιτάσσω[viaa3s] αὐτός[rpdmp] χράω[vnpm] ὁ[ddmp] νόμος[ndmpc] αὐτός[rpgmp] ἐν[pd] πᾶς[aidfsn] πόλις[ndfsc] βοηθέω[vnaa] τέ[cc] ἑαυτοῦ[rxdmp] καί[cc] χράω[vnpm] ὁ[ddmp] ἀντίδικος[ndmpc] αὐτός[rpgmp] καί[cc] ὁ[ddmp] ἀντίκειμαι[vppmdmp] αὐτός[rpgmp] ὡς[cs] βούλομαι[vipm3p].

γέταις ἐπιχειροῦσι μηχανᾶσθαι [4] καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ θεοῦ μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην [5] πολλάκις δὲ καὶ πολλοὺς τῶν ἐπ᾽ ἐξουσίαις τεταγμένων τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πράγματα παραμυθία μεταιτίους αἱμάτων ἀθῴων καταστήσασα περιέβαλε συμφοραῖς ἀνηκέστοις [6] τῷ τῆς κακοηθείας ψευδεῖ παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραιον εὐγνωμοσύνην [7] σκοπεῖν δὲ ἔξεστιν οὐ τοσοῦτον ἐκ τῶν παλαιοτέρων ὧν παρεδώκαμεν ἱστοριῶν ὅσα ἐστὶν παρὰ πόδας ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀνάξια δυναστευόντων λοιμότητι [8] καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα εἰς τὸ τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ᾽ εἰρήνης παρεξόμεθα [9] χρώμενοι ταῖς μεταβολαῖς τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ μετ᾽ ἐπιεικεστέρας ἀπαντήσεως [11] ὡς γὰρ Αμαν Αμαδαθου Μακεδὼν ταῖς ἀληθείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος καὶ πολὺ διεστηκὼς τῆς ἡμετέρας χρηστότητος ἐπιξενωθεὶς ἡμῖν [12] ἔτυχεν ἧς ἔχομεν πρὸς πᾶν ἔθνος φιλανθρωπίας ἐπὶ τοσοῦτον ὥστε ἀναγορεύεσθαι ἡμῶν πατέρα καὶ προσκυνούμενον ὑπὸ πάντων τὸ δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόσωπον διατελεῖν [13] οὐκ ἐνέγκας δὲ τὴν ὑπερηφανίαν ἐπετήδευσεν τῆς ἀρχῆς στερῆσαι ἡμᾶς καὶ τοῦ πνεύματος [14] τόν τε ἡμέτερον σωτῆρα καὶ διὰ παντὸς εὐεργέτην Μαρδοχαῖον καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν Εσθηρ σὺν παντὶ τῷ τούτων ἔθνει πολυπλόκοις μεθόδων παραλογισμοῖς αἰτησάμενος εἰς ἀπώλειαν [15] διὰ γὰρ τῶν τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους τὴν τῶν Περσῶν ἐπικράτησιν εἰς τοὺς Μακεδόνας μετάξαι [16] ἡμεῖς δὲ τοὺς ὑπὸ τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ιουδαίους εὑρίσκομεν οὐ κακούργους ὄντας δικαιοτάτοις δὲ πολιτευομένους νόμοις [17] ὄντας δὲ υἱοὺς τοῦ ὑψίστου μεγίστου ζῶντος θεοῦ τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ διαθέσει [18] καλῶς οὖν ποιήσετε μὴ προσχρησάμενοι τοῖς ὑπὸ Αμαν Αμαδαθου ἀποσταλεῖσι γράμμασιν διὰ τὸ αὐτὸν τὸν ταῦτα ἐξεργασάμενον πρὸς ταῖς Σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ πανοικίᾳ τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος θεοῦ διὰ τάχους ἀποδόντος αὐτῷ κρίσιν [19] τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ μετὰ παρρησίας ἐᾶν τοὺς Ιουδαίους χρῆσθαι τοῖς ἑαυτῶν νομίμοις καὶ συνεπισχύειν αὐτοῖς ὅπως τοὺς ἐν καὶ-

ρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς Αδαρ τῇ αὐτῇ ἡμέρᾳ [20] ταύτην γὰρ ὁ πάντα δυναστεύων θεὸς ἀντ᾽ ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους ἐποίησεν αὐτοῖς εὐφροσύνην [21] καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε ὅπως καὶ νῦν καὶ μετὰ ταῦτα σωτηρία ᾖ ἡμῖν καὶ τοῖς εὐνοοῦσιν Πέρσαις τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσιν μνημόσυνον τῆς ἀπωλείας [24] πᾶσα δὲ πόλις ἢ χώρα τὸ σύνολον ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ᾽ ὀργῆς οὐ μόνον ἀνθρώποις ἄβατος ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον ἔχθιστος

v.12 ἐνpd ἡμέραndfsc εἷςacdfsn ἐνpd πᾶςaidfsn ὁddfs βασιλείαndfsc Ἀρταξέρξηςngmsp ὁddfs τρισκαιδέκατοςaodfsn ὁdgms δωδέκατοςaogmsn μήνngmsc ὅςrrnms εἰμίvipa3s Αδαρnnmsp [1][1] ὅςrrgnp εἰμίvipa3s ἀντίγραφονnnnsc ὁdgfs ἐπιστολήngfsc ὁdnnp ὑπογράφωvpxpnnp [2][2] βασιλεύςnnmsc μέγαςannmsn Ἀρταξέρξηςnnmsp ὁddmp ἀπόpg ὁdgfs Ἰνδικήngfsp ἕωςpg ὁdgfs Αἰθιοπίαngfsp ἑκατόνac—n εἴκοσιac—n ἑπτάac—n σατραπείαndfpc χώραngfpc ἄρχωνndmpc καίcc ὁddmp ὁdanp ἡμέτεροςasanpn φρονέωvppadmp χαίρωvnpa [3][3] πολύςannmpn ὁddfs πολύςandfss ὁdgmp εὐεργετέωvppagmp χρηστότηςndfsc πυκνόςb τιμάωvpppnmp μέγαςanansc φρονέωviaa3p καίcc οὐb μόνοςb ὁdamp ὑποτάσσωvpxpamp ἐγώrpd-p ζητέωvipa3p κακοποιέωvnpa ὁdams τέcc κόροςnamsc οὐb δύναμαιvppmnmp φέρωvnpa καίcc ὁddmp ἑαυτοῦrxgmp εὐεργέτηςndmpc ἐπιχειρέωvipa3p μηχανάομαιvnpm [4][4] καίcc ὁdafs εὐχαριστίαnafsc οὐb μόνοςb ἐκpg ὁdgmp ἄνθρωποςngmpc ἀνταναιρέωvppanmp ἀλλάcc καίb ὁddmp ὁdgmp ἀπειράγαθοςngmpc κόμποςndmpc ἐπαίρωvpapnmp ὁdgms ὁdanp πᾶςaianpn κατοπτεύωvppagms ἀείb θεόςngmsc μισοπόνηροςanafsn ὑπολαμβάνωvipa3p ἐκφεύγωvnfm δίκηnafsc [5][5] πολλάκιςb δέcc καίb πολύςanampn ὁdgmp ἐπίpd ἐξουσίαndfpc τάσσωvpxpgmp ὁdgmp πιστεύωvpapgmp χειρίζωvnpa φίλοςangmpn ὁdanp πρᾶγμαnanpc παραμυθίαnnfsc μεταίτιοςanampn αἷμαngnpc ἀθῷοςangnpn καθίστημιvpaanfs περιβάλλωviaa3s συμφοράndfpc ἀνήκεστοςandfpn [6][6] ὁddms ὁdgfs κακοήθειαngfsc ψευδήςandmsn παραλογισμόςndmsc παραλογίζομαιvpamgmp ὁdafs ὁdgmp ἐπικρατέωvppagmp ἀκέραιοςanafsn εὐγνωμοσύνηnafsc [7][7] σκοπέωvnpa δέcc ἔξειμιvipa3s οὐb τοσοῦτοςrdans ἐκpg ὁdgfp παλαιόςangfpc ὅςrrgfp παραδίδωμιviaa1p ἱστορίαngfpc ὅσοςrrnnpn εἰμίvipa3s παράpa πούςnampc σύrpa-p ἐκζητέωvppaamp ἀνοσίωςb συντελέωvpxpanp ὁddfs ὁdgmp ἀνάξιοςananpn δυναστεύωvppagmp λοιμότηςndfsc [8][8] καίcc προσέχωvnpa εἰςpa ὁdanp μετάpa οὗτοςrdanp εἰςpa ὁdans ὁdafs βασιλείαnafsc ἀτάραχοςanansn ὁddmp πᾶςaidmpn ἄνθρωποςndmpc μετάpg εἰρήνηngfsc παρέχωvifm1p [9][9] χράωvppmnmp ὁddfp μεταβολήndfpc ὁdanp δέcc ὑπόpa ὁdafs ὄψιςnafsc ἔρχομαιvppmanp διακρίνωvppanmp ἀείb μετάpg ἐπιεικήςangfsc ἀπάντησιςngfsc [11][11] ὡςcs γάρcc Αμανnnmsp Αμαδαθουngmsp Μακεδώνnnmsp ὁddfp ἀλήθειαndfpc ἀλλότριοςannmsn ὁdgns ὁdgmp Πέρσηςngmpp αἷμαngnsc καίcc πολύςanansn διΐστημιvpxanms ὁdgfs ἡμέτεροςasgfsn χρηστότηςngfsc ἐπιξενόομαιvpapnms ἐγώrpd-p [12][12] τυγχάνωviaa3s ὅςrrgfs ἔχωvipa1p πρόςpa πᾶςaiansn ἔθνοςnansc φιλανθρωπίαngfsc ἐπίpa τοσοῦτοςadamsn ὥστεcs ἀναγορεύωvnpp ἐγώrpg-p πατήρnamsc καίcc προσκυνέωvpppams ὑπόpg πᾶςaigmpn ὁdans δεύτεροςaoansn ὁdgms βασιλικόςangmsn θρόνοςngmsc πρόσωπονnansc διατελέωvnpa [13][13] οὐb φέρωvpaanms δέcc ὁdafs ὑπερηφανίαnafsc ἐπιτηδεύωviaa3s ὁdgfs ἀρχήngfsc στερέωvnaa ἐγώrpa-p καίcc ὁdgns πνεῦμαngnsc [14][14] ὁdams τέcc ἡμέτεροςasamsn σωτήρnamsc καίcc διάpg πᾶςaignsn εὐεργέτηςnamsc Μαρδοχαῖοςnamsp καίcc ὁdafs ἄμεμπτοςanafsn ὁdgfs βασιλείαngfsc κοινωνόςnafsc Εσθηρnafsp σύνpd πᾶςaidnsn ὁddns οὗτοςrdgmp ἔθνοςndnsc πολύπλοκοςandmpn μέθοδοςngfpc παραλογισμόςndmpc αἰτέωvpamnms εἰςpa ἀπώλειαnafsc [15][15] διάpg γάρcc ὁdgmp τρόποςngmpc οὗτοςrdgmp οἴομαιviap3s λαμβάνωvpaanms ἐγώrpa-p ἔρημοςanampn ὁdafs ὁdgmp Πέρσηςngmpp ἐπικράτησιςnafsc εἰςpa ὁdamp Μακεδώνnampp μετάγωvnaa [16][16] ἐγώrpn-p δέcc ὁdamp ὑπόpg ὁdgms τρισαλιτήριοςangmsn παραδίδωμιvpxpamp εἰςpa ἀφανισμόςnamsc Ἰουδαῖοςanampn εὑρίσκωvipa1p οὐb κακοῦργοςanampn εἰμίvppaamp δίκαιοςandmps δέcc πολιτεύομαιvppmamp νόμοςndmpc [17][17] εἰμίvppaamp δέcc υἱόςnampc ὁdgms ὕψιστοςangmsn μέγαςangmss ζάωvppagms θεόςngmsc ὁdgms κατευθύνωvppagms ἐγώrpd-p τέcc καίcc ὁddmp πρόγονοςndmpc ἐγώrpg-p ὁdafs βασιλείαnafsc ἐνpd ὁddfs καλόςandfss διάθεσιςndfsc [18][18] καλῶςb οὖνcc ποιέωvifa2p μήx προσχράομαιvpamnmp ὁddnp ὑπόpg Αμανngmsp Αμαδαθοςngmsp ἀποστέλλωvpapdnp γράμμαndnpc διάpa ὁdans αὐτόςrpams ὁdams οὗτοςrdanp ἐξεργάζομαιvpamams πρόςpd ὁddfp Σουσάngnpp πύληndfpc σταυρόωvnxm σύνpd ὁddfs πανοικίαndfsc ὁdafs κατάξιοςanafsn ὁdgms ὁdanp πᾶςaianpn ἐπικρατέωvppagms θεόςngmsc διάpg τάχοςngnsc ἀποδίδωμιvpaagms αὐτόςrpdms κρίσιςnafsc [19][19] ὁdans δέcc ἀντίγραφονnansc ὁdgfs ἐπιστολήngfsc οὗτοςrdgfs ἐκτίθημιvpaanmp ἐνpd πᾶςaidmsn τόποςndmsc μετάpg παρρησίαngfsc ἐάνcs ὁdamp Ἰουδαῖοςanampn χράωvnpm ὁddnp ἑαυτοῦrxgmp νόμιμοςandnpn καίcc συνεπισχύωvnpa αὐτόςrpdmp ὅπωςcs ὁdamp ἐνpd καιρόςndmsc θλῖψιςngfsc ἐπιτίθημιvpamamp αὐτόςrpdmp ἀμύνομαιvspm3p ὁddfs τρισκαιδέκατοςaodfsn ὁdgms δωδέκατοςaogmsn μήνngmsc Αδαρngmsp ὁddfs αὐτόςatdfsn ἡμέραndfsc [20][20] οὗτοςrdafs γάρcc ὁdnms πᾶςaianpn δυναστεύωvppanms θεόςnnmsc ἀντίpg ὀλεθρίαngfsc ὁdgns ἐκλεκτόςangnsn γένοςngnsc ποιέωviaa3s αὐτόςrpdmp εὐφροσύνηnafsc [21][21] καίcc σύrpn-p οὖνcc ἐνpd ὁddfp ἐπώνυμοςndfpc σύrpg-p ἑορτήndfpc ἐπίσημοςanafsn ἡμέραnafsc μετάpg πᾶςaigfsn εὐωχίαngfsc ἄγωvdpa2p ὅπωςcs καίcc νῦνb καίcc μετάpa οὗτοςrdanp σωτηρίαnnfsc εἰμίvspa3s ἐγώrpd-p καίcc ὁddmp εὐνοέωvppadmp Πέρσηςndmpp ὁddmp δέcc ἐγώrpd-p ἐπιβουλεύωvppadmp μνημόσυνονnnnsc ὁdgfs ἀπώλειαngfsc [24][24] πᾶςainfsn δέcc πόλιςnnfsc ἤcc χώραnnfsc ὁdans σύνολοςanansn ὅστιςrrnfs κατάpa οὗτοςrdanp μήx ποιέωvsaa3s δόρυndnsc καίcc πῦρndnsc καταναλίσκωvifp3s μετάpg ὀργήngfsc οὐb μόνοςb ἄνθρωποςndmpc ἄβατοςannmsn ἀλλάcc καίcc θηρίονndnpc καίcc πετεινόςndnpc εἰςpa ὁdams ἅπαςanamsn χρόνοςnamsc ἐχθρόςannmss καθίστημιvifp3s.

13 κατασταθήσεται. τὰ δὲ ἀντίγραφα ἐκτιθέσθωσαν ὀφθαλμοφανῶς
ἐν πάσῃ τῇ βασιλείᾳ ἑτοίμους τε εἶναι πάντας τοὺς Ιουδαίους εἰς
14 ταύτην τὴν ἡμέραν πολεμῆσαι αὐτῶν τοὺς ὑπεναντίους. οἱ μὲν
οὖν ἱππεῖς ἐξῆλθον σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα
15 ἐπιτελεῖν ἐξετέθη δὲ τὸ πρόσταγμα καὶ ἐν Σούσοις. ὁ δὲ Μαρδο-
χαῖος ἐξῆλθεν ἐστολισμένος τὴν βασιλικὴν στολὴν καὶ στέφανον
ἔχων χρυσοῦν καὶ διάδημα βύσσινον πορφυροῦν ἰδόντες δὲ οἱ ἐν
16 Σούσοις ἐχάρησαν. τοῖς δὲ Ιουδαίοις ἐγένετο φῶς καὶ εὐφρο-
17 σύνη. κατὰ πόλιν καὶ χώραν οὗ ἂν ἐξετέθη τὸ πρόσταγμα οὗ ἂν
ἐξετέθη τὸ ἔκθεμα χαρὰ καὶ εὐφροσύνη τοῖς Ιουδαίοις κώθων καὶ
εὐφροσύνη καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμοντο καὶ ιουδάιζον διὰ
τὸν φόβον τῶν Ιουδαίων.

9 ἐν γὰρ τῷ δωδεκάτῳ μηνὶ τρισκαιδεκάτῃ τοῦ μηνός ὅς ἐστιν
2 Αδαρ παρῆν τὰ γράμματα τὰ γραφέντα ὑπὸ τοῦ βασιλέως. ἐν
αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς Ιουδαίοις οὐδεὶς
3 γὰρ ἀντέστη φοβούμενος αὐτούς. οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν
καὶ οἱ τύραννοι καὶ οἱ βασιλικοὶ γραμματεῖς ἐτίμων τοὺς Ιουδαί-
4 ους ὁ γὰρ φόβος Μαρδοχαίου ἐνέκειτο αὐτοῖς. προσέπεσεν γὰρ
τὸ πρόσταγμα τοῦ βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ.
6 καὶ ἐν Σούσοις τῇ πόλει ἀπέκτειναν οἱ Ιουδαῖοι ἄνδρας πεντακο-
7, 8 σίους. τόν τε Φαρσαννεσταιν καὶ Δελφων καὶ Φασγα. καὶ Φαρ-

---

v.13 ὁ^{dnnp} δέ^{cc} ἀντίγραφον^{nnnpc} ἐκτίθημι^{vdpp3p} ὀφθαλμοφανῶς^{b} ἐν^{pd} πᾶς^{aidfsn} ὁ^{ddfs} βασιλεία^{ndfsc} ἕτοιμος^{anampn} τέ^{cc} εἰμί^{vnpa} πᾶς^{aiampn} ὁ^{damp} Ἰουδαῖος^{anampn} εἰς^{pa} οὗτος^{rdafs} ὁ^{dafs} ἡμέρα^{nafsc} πολεμέω^{vnaa} αὐτός^{rpgmp} ὁ^{damp} ὑπεναντίος^{anampn}. **v.14** ὁ^{dnmp} μέν^{x} οὖν^{cc} ἱππεύς^{nnmpc} ἐξέρχομαι^{viaa3p} σπεύδω^{vppanmp} ὁ^{danp} ὑπό^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} λέγω^{vpppanp} ἐπιτελέω^{vnpa} ἐκτίθημι^{viap3s} δέ^{cc} ὁ^{dnns} πρόσταγμα^{nnnsc} καί^{b} ἐν^{pd} Σουσά^{ndnpp}. **v.15** ὁ^{dnms} δέ^{cc} Μαρδοχαῖος^{nnmsp} ἐξέρχομαι^{viaa3s} στολίζω^{vpxpnms} ὁ^{dafs} βασιλικός^{anafsn} στολή^{nafsc} καί^{cc} στέφανος^{namsc} ἔχω^{vppanms} χρυσοῦς^{anamsn} καί^{cc} διάδημα^{nansc} βύσσινος^{anansn} πορφύρεος^{anansn} ὁράω^{vpaanmp} δέ^{cc} ὁ^{dnmp} ἐν^{pd} Σουσά^{ndnpp} χαίρω^{viap3p}. **v.16** ὁ^{ddmp} δέ^{cc} Ἰουδαῖος^{andmpn} γίνομαι^{viam3s} φῶς^{nnnsc} καί^{cc} εὐφροσύνη^{nnfsc}. **v.17** κατά^{pa} πόλις^{nafsc} καί^{cc} χώρα^{nafsc} ὅς^{b} ἄν^{x} ἐκτίθημι^{viap3s} ὁ^{dnns} πρόσταγμα^{nnnsc} ὅς^{b} ἄν^{x} ἐκτίθημι^{viap3s} ὁ^{dnns} ἔκθεμα^{nnnsc} χαρά^{nnfsc} καί^{cc} εὐφροσύνη^{nnfsc} ὁ^{ddmp} Ἰουδαῖος^{andmpn} κώθων^{nnmsc} καί^{cc} εὐφροσύνη^{nnfsc} καί^{cc} πολύς^{annmpn} ὁ^{dgnp} ἔθνος^{ngnpc} περιτέμνω^{viam3p} καί^{cc} Ἰουδαΐζω^{viia3p} διά^{pa} ὁ^{dams} φόβος^{namsc} ὁ^{dgmp} Ἰουδαῖος^{angmpn}.
9. v.1 ἐν^{pd} γάρ^{cc} ὁ^{ddms} δωδέκατος^{aodmsn} μήν^{ndmsc} τρισκαιδέκατος^{aodfsn} ὁ^{dgms} μήν^{ngmsc} ὅς^{rrnms} εἰμί^{vipa3s} Αδαρ^{nnmsp} πάρειμι^{viia3s} ὁ^{dnnp} γράμμα^{nnnpc} ὁ^{dnnp} γράφω^{vpapnnp} ὑπό^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc}. **v.2** ἐν^{pd} αὐτός^{rtdfs} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἀπόλλυμι^{viam3p} ὁ^{dnmp} ἀντίκειμαι^{vppmnmp} ὁ^{ddmp} Ἰουδαῖος^{andmpn} οὐδείς^{rinms} γάρ^{cc} ἀνθίστημι^{viaa3s} φοβέω^{vppmnms} αὐτός^{rpamp}. **v.3** ὁ^{dnmp} γάρ^{cc} ἄρχων^{nnmpc} ὁ^{dgmp} σατράπης^{ngmpc} καί^{cc} ὁ^{dnmp} τύραννος^{nnmpc} καί^{cc} ὁ^{dnmp} βασιλικός^{annmpn} γραμματεύς^{nnmpc} τιμάω^{viia3p} ὁ^{damp} Ἰουδαῖος^{anampn} ὁ^{dnms} γάρ^{cc} φόβος^{nnmsc} Μαρδοχαῖος^{ngmsp} ἔγκειμαι^{viip3s} αὐτός^{rpdmp}. **v.4** προσπίπτω^{viaa3s} γάρ^{cc} ὁ^{dnns} πρόσταγμα^{nnnsc} ὁ^{dgms} βασιλεύς^{ngmsc} ὀνομάζω^{vnap} ἐν^{pd} πᾶς^{aidfsn} ὁ^{ddfs} βασιλεία^{ndfsc}. **v.6** καί^{cc} ἐν^{pd} Σουσά^{ndnpp} ὁ^{ddfs} πόλις^{ndfsc} ἀποκτείνω^{viaa3p} ὁ^{dnmp} Ἰουδαῖος^{annmpn} ἀνήρ^{nampc} πεντακόσιοι^{acampn}. **v.7** ὁ^{dams} τέ^{cc} Φαρσαννεσταιν^{namsp} καί^{cc} Δελφων^{namsp} καί^{cc} Φασγα^{namsp}.

δαθα καὶ Βαρεα καὶ Σαρβαχα. καὶ Μαρμασιμα καὶ Αρουφαιον 9
καὶ Αρσαιον καὶ Ζαβουθαιθαν. τοὺς δέκα υἱοὺς Αμαν Αμαδα- 10
θου Βουγαίου τοῦ ἐχθροῦ τῶν Ιουδαίων καὶ διήρπασαν. ἐν αὐτῇ 11
τῇ ἡμέρᾳ ἐπεδόθη ὁ ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν Σού-
σοις. εἶπεν δὲ ὁ βασιλεὺς πρὸς Εσθηρ ἀπώλεσαν οἱ Ιουδαῖοι ἐν 12
Σούσοις τῇ πόλει ἄνδρας πεντακοσίους ἐν δὲ τῇ περιχώρῳ πῶς
οἴει ἐχρήσαντο τί οὖν ἀξιοῖς ἔτι καὶ ἔσται σοι. καὶ εἶπεν Εσθηρ 13
τῷ βασιλεῖ δοθήτω τοῖς Ιουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον
ὥστε τοὺς δέκα υἱοὺς κρεμάσαι Αμαν. καὶ ἐπέτρεψεν οὕτως γε- 14
νέσθαι καὶ ἐξέθηκε τοῖς Ιουδαίοις τῆς πόλεως τὰ σώματα τῶν υἱῶν
Αμαν κρεμάσαι. καὶ συνήχθησαν οἱ Ιουδαῖοι ἐν Σούσοις τῇ τεσ- 15
σαρεσκαιδεκάτῃ τοῦ Αδαρ καὶ ἀπέκτειναν ἄνδρας τριακοσίους
καὶ οὐδὲν διήρπασαν. οἱ δὲ λοιποὶ τῶν Ιουδαίων οἱ ἐν τῇ βασι- 16
λείᾳ συνήχθησαν καὶ ἑαυτοῖς ἐβοήθουν καὶ ἀνεπαύσαντο ἀπὸ τῶν
πολεμίων ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πεντακισχιλίους τῇ τρι-
σκαιδεκάτῃ τοῦ Αδαρ καὶ οὐδὲν διήρπασαν. καὶ ἀνεπαύσαντο 17
τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς καὶ ἦγον αὐτὴν ἡμέραν
ἀναπαύσεως μετὰ χαρᾶς καὶ εὐφροσύνης. οἱ δὲ Ιουδαῖοι οἱ 18
ἐν Σούσοις τῇ πόλει συνήχθησαν καὶ τῇ τεσσαρεσκαιδεκάτῃ καὶ
οὐκ ἀνεπαύσαντο ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ χαρᾶς
καὶ εὐφροσύνης. διὰ τοῦτο οὖν οἱ Ιουδαῖοι οἱ διεσπαρμένοι ἐν 19

---

v.8 καί[cc] Φαρδαθα[namsp] καί[cc] Βαρεα[namsp] καί[cc] Σαρβαχα[namsp]. **v.9** καί[cc] Μαρμασιμα[namsp] καί[cc] Αρουφαιος[namsp] καί[cc] Αρσαιος[namsp] καί[cc] Ζαβουθαιχαν[namsp]. **v.10** ὁ[damp] δέκα[ac—n] υἱός[nampc] Αμαν[ngmsp] Αμαδαθος[ngmsp] Βουγαῖος[ngmsp] ὁ[dgms] ἐχθρός[angmsn] ὁ[dgmp] Ἰουδαῖος[angmpn] καί[cc] διαρπάζω[viaa3p]. **v.11** ἐν[pd] αὐτός[rtdfs] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐπιδίδωμι[viap3s] ὁ[dnms] ἀριθμός[nnmsc] ὁ[ddms] βασιλεύς[ndmsc] ὁ[dgmp] ἀπόλλυμι[vpxagmp] ἐν[pd] Σουσά[ndnpp]. **v.12** λέγω[viaa3s] δέ[cc] ὁ[dnms] βασιλεύς[nnmsc] πρός[pa] Εσθηρ[nafsp] ἀπόλλυμι[viaa3p] ὁ[dnmp] Ἰουδαῖος[annmpn] ἐν[pd] Σουσά[ndnpp] ὁ[ddfs] πόλις[ndfsc] ἀνήρ[nampc] πεντακόσιοι[acampn] ἐν[pd] δέ[cc] ὁ[ddfs] περίχωρος[andfsn] πῶς[b] οἴομαι[vipm2s] χράω[viam3p] τίς[rqans] οὖν[cc] ἀξιόω[vipa2s] ἔτι[b] καί[cc] εἰμί[vifm3s] σύ[rpd-s]. **v.13** καί[cc] λέγω[viaa3s] Εσθηρ[nnfsp] ὁ[ddms] βασιλεύς[ndmsc] δίδωμι[vdap3s] ὁ[ddmp] Ἰουδαῖος[andmpn] χράω[vnpm] ὡσαύτως[b] ὁ[dafs] αὔριον[b] ὥστε[cs] ὁ[damp] δέκα[ac—n] υἱός[nampc] κρεμάννυμι[vnaa] Αμαν[ngmsp]. **v.14** καί[cc] ἐπιτρέπω[viaa3s] οὕτως[b] γίνομαι[vnam] καί[cc] ἐκτίθημι[viaa3s] ὁ[ddmp] Ἰουδαῖος[andmpn] ὁ[dgfs] πόλις[ngfsc] ὁ[danp] σῶμα[nanpc] ὁ[dgmp] υἱός[ngmpc] Αμαν[ngmsp] κρεμάννυμι[vnaa]. **v.15** καί[cc] συνάγω[viap3p] ὁ[dnmp] Ἰουδαῖος[annmpn] ἐν[pd] Σουσά[ndnpp] ὁ[ddfs] τεσσαρεσκαιδέκατος[aodfsn] ὁ[dgms] Αδαρ[ngmsp] καί[cc] ἀποκτείνω[viaa3p] ἀνήρ[nampc] τριακόσιοι[acampn] καί[cc] οὐδείς[rians] διαρπάζω[viaa3p]. **v.16** ὁ[dnmp] δέ[cc] λοιπός[annmpn] ὁ[dgmp] Ἰουδαῖος[angmpn] ὁ[dnmp] ἐν[pd] ὁ[ddfs] βασιλεία[ndfsc] συνάγω[viap3p] καί[cc] ἑαυτοῦ[rxdmp] βοηθέω[viia3p] καί[cc] ἀναπαύω[viam3p] ἀπό[pg] ὁ[dgmp] πολέμιος[angmpn] ἀπόλλυμι[viaa3p] γάρ[cc] αὐτός[rpgmp] μύριοι[acampn] πεντακισχίλιοι[acampn] ὁ[ddfs] τρισκαιδέκατος[aodfsn] ὁ[dgms] Αδαρ[ngmsp] καί[cc] οὐδείς[rians] διαρπάζω[viaa3p]. **v.17** καί[cc] ἀναπαύω[viam3p] ὁ[ddfs] τεσσαρεσκαιδέκατος[aodfsn] ὁ[dgms] αὐτός[atgmsn] μήν[ngmsc] καί[cc] ἄγω[viia3p] αὐτός[rpafs] ἡμέρα[nafsc] ἀνάπαυσις[ngfsc] μετά[pg] χαρά[ngfsc] καί[cc] εὐφροσύνη[ngfsc]. **v.18** ὁ[dnmp] δέ[cc] Ἰουδαῖος[annmpn] ὁ[dnmp] ἐν[pd] Σουσά[ndnpp] ὁ[ddfs] πόλις[ndfsc] συνάγω[viap3p] καί[cc] ὁ[ddfs] τεσσαρεσκαιδέκατος[aodfsn] καί[cc] οὐ[b] ἀναπαύω[viam3p] ἄγω[viia3p] δέ[cc] καί[b] ὁ[dafs] πεντεκαιδέκατος[aoafsn] μετά[pg] χαρά[ngfsc] καί[cc] εὐφροσύνη[ngfsc].

πάσῃ χώρᾳ τῇ ἔξω ἄγουσιν τὴν τεσσαρεσκαιδεκάτην τοῦ Αδαρ ἡμέραν ἀγαθὴν μετ᾽ εὐφροσύνης ἀποστέλλοντες μερίδας ἕκαστος τῷ πλησίον οἱ δὲ κατοικοῦντες ἐν ταῖς μητροπόλεσιν καὶ τὴν πεντεκαιδεκάτην τοῦ Αδαρ ἡμέραν εὐφροσύνην ἀγαθὴν ἄγουσιν ἐ-
20 ξαποστέλλοντες μερίδας τοῖς πλησίον. ἔγραψεν δὲ Μαρδοχαῖος τοὺς λόγους τούτους εἰς βιβλίον καὶ ἐξαπέστειλεν τοῖς Ιουδαίοις ὅσοι ἦσαν ἐν τῇ Ἀρταξέρξου βασιλείᾳ τοῖς ἐγγὺς καὶ τοῖς μακράν.
21 στῆσαι τὰς ἡμέρας ταύτας ἀγαθὰς ἄγειν τε τὴν τεσσαρεσκαιδε-
22 κάτην καὶ τὴν πεντεκαιδεκάτην τοῦ Αδαρ. ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο οἱ Ιουδαῖοι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν καὶ τὸν μῆνα ἐν ᾧ ἐστράφη αὐτοῖς ὃς ἦν Αδαρ ἀπὸ πένθους εἰς χαρὰν καὶ ἀπὸ ὀδύνης εἰς ἀγαθὴν ἡμέραν ἄγειν ὅλον ἀγαθὰς ἡμέρας γάμων καὶ εὐφροσύνης ἐξαποστέλλοντας μερίδας τοῖς φίλοις καὶ
23 τοῖς πτωχοῖς. καὶ προσεδέξαντο οἱ Ιουδαῖοι καθὼς ἔγραψεν αὐ-
24 τοῖς ὁ Μαρδοχαῖος. πῶς Αμαν Αμαδαθου ὁ Μακεδὼν ἐπολέμει
25 αὐτούς καθὼς ἔθετο ψήφισμα καὶ κλῆρον ἀφανίσαι αὐτούς. καὶ ὡς εἰσῆλθεν πρὸς τὸν βασιλέα λέγων κρεμάσαι τὸν Μαρδοχαῖον ὅσα δὲ ἐπεχείρησεν ἐπάξαι ἐπὶ τοὺς Ιουδαίους κακά ἐπ᾽ αὐτὸν
26 ἐγένοντο καὶ ἐκρεμάσθη αὐτὸς καὶ τὰ τέκνα αὐτοῦ. διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται Φρουραι διὰ τοὺς κλήρους ὅτι τῇ διαλέκτῳ αὐτῶν καλοῦνται Φρουραι διὰ τοὺς λόγους τῆς ἐπιστο-

---

v.19 διάpa οὗτοςrdans οὖνcc ὁdnmp Ἰουδαῖοςannmpn ὁdnmp διασπείρωvpxpnmp ἐνpd πᾶςaidfsn χώραndfsc ὁddfs ἔξωb ἄγωvipa3p ὁdafs τεσσαρεσκαιδέκατοςaoafsn ὁdgms Αδαρngmsp ἡμέραnafsc ἀγαθόςanafsn μετάpg εὐφροσύνηngfsc ἀποστέλλωvppanmp μερίςnafpc ἕκαστοςainmsn ὁddms πλησίονb ὁdnmp δέcc κατοικέωvppanmp ἐνpd ὁddfp μητρόπολιςndfpc καίcc ὁdafs πεντεκαιδέκατοςaoafsn ὁdgms Αδαρngmsp ἡμέραnafsc εὐφροσύνηnafsc ἀγαθόςanafsn ἄγωvipa3p ἐξαποστέλλωvppanmp μερίςnafpc ὁddmp πλησίονb. **v.20** γράφωviaa3s δέcc Μαρδοχαῖοςnnmsp ὁdamp λόγοςnampc οὗτοςrdamp εἰςpa βιβλίονnansc καίcc ἐξαποστέλλωviaa3s ὁddmp Ἰουδαῖοςandmpn ὅσοςrrnmpn εἰμίviia3p ἐνpd ὁddfs Ἀρταξέρξηςngmsp βασιλείαndfsc ὁddmp ἐγγύςb καίcc ὁddmp μακράνb. **v.21** ἵστημιvnaa ὁdafp ἡμέραnafpc οὗτοςrdafp ἀγαθόςanafpn ἄγωvnpa τέcc ὁdafs τεσσαρεσκαιδέκατοςaoafsn καίcc ὁdafs πεντεκαιδέκατοςaoafsn ὁdgms Αδαρngmsp. **v.22** ἐνpd γάρcc οὗτοςrddfp ὁddfp ἡμέραndfpc ἀναπαύωviam3p ὁdnmp Ἰουδαῖοςannmpn ἀπόpg ὁdgmp ἐχθρόςangmpn αὐτόςrpgmp καίcc ὁdams μήνnamsc ἐνpd ὅςrrdms στρέφωviap3s αὐτόςrpdmp ὅςrrnms εἰμίviia3s Αδαρnnmsp ἀπόpg πένθοςngnsc εἰςpa χαράnafsc καίcc ἀπόpg ὀδύνηngfsc εἰςpa ἀγαθόςanafsn ἡμέραnafsc ἄγωvnpa ὅλοςanamsn ἀγαθόςanafpn ἡμέραnafpc γάμοςngmpc καίcc εὐφροσύνηngfsc ἐξαποστέλλωvppaamp μερίςnafpc ὁddmp φίλοςandmpn καίcc ὁddmp πτωχόςandmpn. **v.23** καίcc προσδέχομαιviam3p ὁdnmp Ἰουδαῖοςannmpn καθώςcs γράφωviaa3s αὐτόςrpdmp ὁdnms Μαρδοχαῖοςnnmsp. **v.24** πῶςb Αμανnnmsp Αμαδαθοςngmsp ὁdnms Μακεδώνnnmsp πολεμέωviia3s αὐτόςrpamp καθώςcs τίθημιviam3s ψήφισμαnansc καίcc κλῆροςnamsc ἀφανίζωvnaa αὐτόςrpamp. **v.25** καίcc ὡςcs εἰσέρχομαιviaa3s πρόςpa ὁdams βασιλεύςnamsc λέγωvppanms κρεμάννυμιvnaa ὁdams Μαρδοχαῖοςnamsp ὅσοςararpn δέcc ἐπιχειρέωviaa3s ἐπάγωvnaa ἐπίpa ὁdamp Ἰουδαῖοςanampn κακόςananpn ἐπίpa αὐτόςrpams γίνομαιviam3p καίcc κρεμάννυμιviap3s αὐτόςrpnms καίcc ὁdnnp τέκνονnnnpc αὐτόςrpgms.

λῆς ταύτης καὶ ὅσα πεπόνθασιν διὰ ταῦτα καὶ ὅσα αὐτοῖς ἐγένετο.
καὶ ἔστησεν καὶ προσεδέχοντο οἱ Ιουδαῖοι ἐφ᾽ ἑαυτοῖς καὶ ἐπὶ τῷ 27
σπέρματι αὐτῶν καὶ ἐπὶ τοῖς προστεθειμένοις ἐπ᾽ αὐτῶν οὐδὲ μὴν
ἄλλως χρήσονται αἱ δὲ ἡμέραι αὗται μνημόσυνον ἐπιτελούμενον
κατὰ γενεὰν καὶ γενεὰν καὶ πόλιν καὶ πατριὰν καὶ χώραν. αἱ 28
δὲ ἡμέραι αὗται τῶν Φρουραι ἀχθήσονται εἰς τὸν ἅπαντα χρόνον
καὶ τὸ μνημόσυνον αὐτῶν οὐ μὴ ἐκλίπῃ ἐκ τῶν γενεῶν. καὶ ἔ- 29
γραψεν Εσθηρ ἡ βασίλισσα θυγάτηρ Αμιναδαβ καὶ Μαρδοχαῖος
ὁ Ιουδαῖος ὅσα ἐποίησαν τό τε στερέωμα τῆς ἐπιστολῆς τῶν Φρου-
ραι. καὶ Μαρδοχαῖος καὶ Εσθηρ ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς 31
καθ᾽ ἑαυτῶν καὶ τότε στήσαντες κατὰ τῆς ὑγιείας αὐτῶν καὶ τὴν
βουλὴν αὐτῶν. καὶ Εσθηρ λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα καὶ ἐ- 32
γράφη εἰς μνημόσυνον.

ἔγραψεν δὲ ὁ βασιλεὺς τέλη ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς καὶ **10**
τῆς θαλάσσης. καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ ἀνδραγαθίαν πλοῦτόν 2
τε καὶ δόξαν τῆς βασιλείας αὐτοῦ ἰδοὺ γέγραπται ἐν βιβλίῳ βα-
σιλέων Περσῶν καὶ Μήδων εἰς μνημόσυνον. ὁ δὲ Μαρδοχαῖος 3
διεδέχετο τὸν βασιλέα Ἀρταξέρξην καὶ μέγας ἦν ἐν τῇ βασιλείᾳ
καὶ δεδοξασμένος ὑπὸ τῶν Ιουδαίων καὶ φιλούμενος διηγεῖτο τὴν
ἀγωγὴν παντὶ τῷ ἔθνει αὐτοῦ [1] καὶ εἶπεν Μαρδοχαῖος παρὰ τοῦ
Θεοῦ ἐγένετο ταῦτα [2] ἐμνήσθην γὰρ περὶ τοῦ ἐνυπνίου οὗ εἶδον
περὶ τῶν λόγων τούτων οὐδὲ γὰρ παρῆλθεν ἀπ᾽ αὐτῶν λόγος [3]
ἡ μικρὰ πηγὴ ἣ ἐγένετο ποταμὸς καὶ ἦν φῶς καὶ ἥλιος καὶ ὕδωρ

---

v.26 διά^{pa} οὗτος^{rdans} ἐπικαλέω^{viap3p} ὁ^{dnfp} ἡμέρα^{nnfpc} οὗτος^{rdnfp} Φρουραι$^{nn\text{-}pp}$ διά^{pa} ὁ^{damp} κλῆρος^{namsc} ὅτι^{cs} ὁ^{ddfs} διάλεκτος^{ndfsc} αὐτός^{rpgmp} καλέω^{vipp3p} Φρουραι^{nnfpp} διά^{pa} ὁ^{damp} λόγος^{namsc} ὁ^{dgfs} ἐπιστολή^{ngfsc} οὗτος^{rdgfs} καί^{cc} ὅσος^{rranpn} πάσχω^{vixa3p} διά^{pa} οὗτος^{rdanp} καί^{cc} ὅσος^{rrnnpn} αὐτός^{rpdmp} γίνομαι^{viam3s}. **v.27** καί^{cc} ἵστημι^{viaa3s} καί^{cc} προσδέχομαι^{viim3p} ὁ^{dnmp} Ἰουδαῖος^{annmpn} ἐπί^{pd} ἑαυτοῦ^{rxdmp} καί^{cc} ἐπί^{pd} ὁ^{ddns} σπέρμα^{ndnsc} αὐτός^{rpgmp} καί^{cc} ἐπί^{pd} ὁ^{ddmp} προστίθημι^{vpxmdmp} ἐπί^{pg} αὐτός^{rpgmp} οὐδέ^{cc} μήν^{x} ἄλλως^{b} χράω^{vifm3p} ὁ^{dnfp} δέ^{cc} ἡμέρα^{nnfpc} οὗτος^{rdnfp} μνημόσυνον^{nnnsc} ἐπιτελέω^{vppmnns} κατά^{pa} γενεά^{nafsc} καί^{cc} γενεά^{nafsc} καί^{cc} πόλις^{nafsc} καί^{cc} πατριά^{nafsc} καί^{cc} χώρα^{nafsc}. **v.28** ὁ^{dnfp} δέ^{cc} ἡμέρα^{nnfpc} οὗτος^{rdnfp} ὁ^{dgfp} Φρουραι^{ngfpp} ἄγω^{vifp3p} εἰς^{pa} ὁ^{dams} ἅπας^{anamsn} χρόνος^{namsc} καί^{cc} ὁ^{dnns} μνημόσυνον^{nnnsc} αὐτός^{rpgfp} οὐ^{b} μή^{x} ἐκλείπω^{vsaa3s} ἐκ^{pg} ὁ^{dgfp} γενεά^{ngfpc}. **v.29** καί^{cc} γράφω^{viaa3s} Εσθηρ^{nnfsp} ὁ^{dnfs} βασίλισσα^{nnfsc} θυγάτηρ^{nnfsc} Αμιναδαβ^{ngmsp} καί^{cc} Μαρδοχαῖος^{nnmsp} ὁ^{dnms} Ἰουδαῖος^{annmsn} ὅσος^{aranpn} ποιέω^{viaa3p} ὁ^{dans} τέ^{cc} στερέωμα^{nansc} ὁ^{dgfs} ἐπιστολή^{ngfsc} ὁ^{dgfp} Φρουραι^{ngfpp}. **v.31** καί^{cc} Μαρδοχαῖος^{nnmsp} καί^{cc} Εσθηρ^{nnfsp} ὁ^{dnfs} βασίλισσα^{nnfsc} ἵστημι^{viaa3p} ἑαυτοῦ^{rxdmp} κατά^{pg} ἑαυτοῦ^{rxgmp} καί^{cc} τότε^{b} ἵστημι^{vpaanmp} κατά^{pg} ὁ^{dgfs} ὑγίεια^{ngfsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dafs} βουλή^{nafsc} αὐτός^{rpgmp}. **v.32** καί^{cc} Εσθηρ^{nnfsp} λόγος^{ndmsc} ἵστημι^{viaa3s} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} καί^{cc} γράφω^{viap3s} εἰς^{pa} μνημόσυνον^{nansc}. **10. v.1** γράφω^{viaa3s} δέ^{cc} ὁ^{dnms} βασιλεύς^{nnmsc} τέλος^{nanpc} ἐπί^{pa} ὁ^{dafs} βασιλεία^{nafsc} ὁ^{dgfs} τέ^{cc} γῆ^{ngfsc} καί^{cc} ὁ^{dgfs} θάλασσα^{ngfsc}. **v.2** καί^{cc} ὁ^{dafs} ἰσχύς^{nafsc} αὐτός^{rpgms} καί^{cc} ἀνδραγαθία^{nafsc} πλοῦτος^{namsc} τέ^{cc} καί^{cc} δόξα^{nafsc} ὁ^{dgfs} βασιλεία^{ngfsc} αὐτός^{rpgms} ἰδού^{i} γράφω^{vixp3s} ἐν^{pd} βιβλίον^{ndnsc} βασιλεύς^{ngmpc} Πέρσης^{ngmpp} καί^{cc} Μῆδοι^{ngmpp} εἰς^{pa} μνημόσυνον^{nansc}.

πολύ Εσθηρ ἐστὶν ὁ ποταμός ἣν ἐγάμησεν ὁ βασιλεὺς καὶ ἐποίησεν βασίλισσαν [4] οἱ δὲ δύο δράκοντες ἐγώ εἰμι καὶ Αμαν [5] τὰ δὲ ἔθνη τὰ ἐπισυναχθέντα ἀπολέσαι τὸ ὄνομα τῶν Ιουδαίων [6] τὸ δὲ ἔθνος τὸ ἐμόν οὗτός ἐστιν Ισραηλ οἱ βοήσαντες πρὸς τὸν θεὸν καὶ σωθέντες καὶ ἔσωσεν κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐρρύσατο κύριος ἡμᾶς ἐκ πάντων τῶν κακῶν τούτων καὶ ἐποίησεν ὁ θεὸς τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσιν [7] διὰ τοῦτο ἐποίησεν κλήρους δύο ἕνα τῷ λαῷ τοῦ θεοῦ καὶ ἕνα πᾶσι τοῖς ἔθνεσιν [8] καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι εἰς ὥραν καὶ καιρὸν καὶ εἰς ἡμέραν κρίσεως ἐνώπιον τοῦ θεοῦ καὶ ἐν πᾶσι τοῖς ἔθνεσιν [9] καὶ ἐμνήσθη ὁ θεὸς τοῦ λαοῦ αὐτοῦ καὶ ἐδικαίωσεν τὴν κληρονομίαν αὐτοῦ [11] καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται ἐν μηνὶ Αδαρ τῇ τεσσαρεσκαιδεκάτῃ καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς μετὰ συναγωγῆς καὶ χαρᾶς καὶ εὐφροσύνης ἐνώπιον τοῦ θεοῦ κατὰ γενεὰς εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ Ισραηλ [12] ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπάτρας εἰσήνεγκεν Δωσίθεος ὃς ἔφη εἶναι ἱερεὺς καὶ Λευίτης καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν Φρουραι ἣν ἔφασαν εἶναι καὶ ἑρμηνευκέναι Λυσίμαχον Πτολεμαίου τῶν ἐν

Ιερουσαλημ.

v.3 ὁdnms δέcc Μαρδοχαῖοςnnmsp διαδέχομαιviim3s ὁdams βασιλεύςnamsc Ἀρταξέρξηςnamsp καίcc μέγαςannmsn εἰμίviia3s ἐνpd ὁddfs βασιλείαndfsc καίcc δοξάζωvpxpnms ὑπόpg ὁdgmp Ἰουδαῖοςangmpn καίcc φιλέωvpppnms διηγέομαιviim3s ὁdafs ἀγωγήnafsc πᾶςaidnsn ὁddns ἔθνοςndnsc αὐτόςrpgms [1][1] καίcc λέγωviaa3s Μαρδοχαῖοςnnmsp παράpg ὁdgms θεόςngmsc γίνομαιviam3s οὗτοςrdnnp [2][2] μιμνήσκομαιviap1s γάρcc περίpg ὁdgns ἐνύπνιονngnsc ὅςrrgns ὁράωviaa1s περίpg ὁdgmp λόγοςngmpc οὗτοςrdgmp οὐδέcc γάρcc παρέρχομαιviaa3s ἀπόpg αὐτόςrpgmp λόγοςnnmsc [3][3] ὁdnfs μικρόςannfsn πηγήnnfsc ὅςrrnfs γίνομαιviam3s ποταμόςnnmsc καίcc εἰμίviia3s φῶςnnnsc καίcc ἥλιοςnnmsc καίcc ὕδωρnnnsc πολύςannnsn Εσθηρnnfsp εἰμίvipa3s ὁdnms ποταμόςnnmsc ὅςrrafs γαμέωviaa3s ὁdnms βασιλεύςnnmsc καίcc ποιέωviaa3s βασίλισσαnafsc [4][4] ὁdnmp δέcc δύοac—n δράκωνnnmpc ἐγώrpn-s εἰμίvipa1s καίcc Αμανnnmsp [5][5] ὁdnnp δέcc ἔθνοςnnnpc ὁdnnp ἐπισυνάγωvpapnnp ἀπόλλυμιvnaa ὁdans ὄνομαnansc ὁdgmp Ἰουδαῖοςangmpn [6][6] ὁdnns δέcc ἔθνοςnnnsc ὁdnns ἐμόςasnnsn οὗτοςrdnms εἰμίvipa3s Ἰσραήλnnmsp ὁdnmp βοάωvpaanmp πρόςpa ὁdams θεόςnamsc καίcc σῴζωvpapnmp καίcc σῴζωviaa3s κύριοςnnmsc ὁdams λαόςnamsc αὐτόςrpgms καίcc ῥύομαιviam3s κύριοςnnmsc ἐγώrpa-p ἐκpg πᾶςaignpn ὁdgnp κακόςangnpn οὗτοςrdgnp καίcc ποιέωviaa3s ὁdnms θεόςnnmsc ὁdanp σημεῖονnanpc καίcc ὁdanp τέραςnanpc ὁdanp μέγαςananpn ὅςrrnnp οὐb γίνομαιvixa3s ἐνpd ὁddnp ἔθνοςndnpc [7][7] διάpa οὗτοςrdans ποιέωviaa3s κλῆροςnampc δύοac—n εἷςacamsn ὁddms λαόςndmsc ὁdgms θεόςngmsc καίcc εἷςacamsn πᾶςaidnpn ὁddnp ἔθνοςndnpc [8][8] καίcc ἔρχομαιviaa3p ὁdnmp δύοac—n κλῆροςnnmpc οὗτοςrdnmp εἰςpa ὥραnafsc καίcc καιρόςnamsc καίcc εἰςpa ἡμέραnafsc κρίσιςngfsc ἐνώπιονpg ὁdgms θεόςngmsc καίcc ἐνpd πᾶςaidnpn ὁddnp ἔθνοςndnpc [9][9] καίcc μιμνήσκομαιviap3s ὁdnms θεόςnnmsc ὁdgms λαόςngmsc αὐτόςrpgms καίcc δικαιόωviaa3s ὁdafs κληρονομίαnafsc αὐτόςrpgms [11][11] καίcc εἰμίvifm3p αὐτόςrpdmp ὁdnfp ἡμέραnnfpc οὗτοςrdnfp ἐνpd μήνndmsc Αδαρngmsp ὁddfs τεσσαρεσκαιδέκατοςaodfsn καίcc ὁddfs πεντεκαιδέκατοςaodfsn ὁdgms αὐτόςatgmsn μήνngmsc μετάpg συναγωγήngfsc καίcc χαράngfsc καίcc εὐφροσύνηngfsc ἐνώπιονpg ὁdgms θεόςngmsc κατάpa γενεάnafpc εἷςpa ὁdams αἰώνnamsc ἐνpd ὁddms λαόςndmsc αὐτόςrpgms Ἰσραήλndmsp [12][12] ἔτοςngnsc τέταρτοςaognsn βασιλεύωvppagms Πτολεμαῖοςngmsp καίcc Κλεοπάτραngfsp εἰσφέρωviaa3s Δωσίθεοςnnmsp ὅςrrnms φημίviaa3'sviia3s εἰμίvnpa ἱερεύςnnmsc καίcc Λευίτηςnnmsp καίcc Πτολεμαῖοςnnmsp ὁdnms υἱόςnnmsc αὐτόςrpgms ὁdafs πρόκειμαιvpppafs ἐπιστολήnafsc ὁdgfp Φρουραιngfpp ὅςrrafs φημίviia3'pviaa3p εἰμίvnpa καίcc ἑρμηνεύωvnxa Λυσίμαχοςnamsp Πτολεμαῖοςngmsp ὁdgmp ἐνpd Ἰερουσαλήμndfsp.

ΙΟΥΔΙΘ

1 ἔτους δωδεκάτου τῆς βασιλείας Ναβουχοδονοσορ ὃς ἐβασίλευσεν Ἀσσυρίων ἐν Νινευη τῇ πόλει τῇ μεγάλῃ ἐν ταῖς ἡμέραις Αρ-
2 φαξαδ ὃς ἐβασίλευσεν Μήδων ἐν Ἐκβατάνοις. καὶ ᾠκοδόμησεν ἐπ᾽ Ἐκβατάνων κύκλῳ τείχη ἐκ λίθων λελαξευμένων εἰς πλάτος πηχῶν τριῶν καὶ εἰς μῆκος πηχῶν ἓξ καὶ ἐποίησεν τὸ ὕψος τοῦ τείχους πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτοῦ πηχῶν πεντή-
3 κοντα. καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν ἐπὶ ταῖς πύλαις αὐτῆς πηχῶν ἑκατὸν καὶ τὸ πλάτος αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἐ-
4 ξήκοντα. καὶ ἐποίησεν τὰς πύλας αὐτῆς πύλας διεγειρομένας εἰς ὕψος πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτῆς πήχεις τεσσαράκοντα εἰς ἐξόδους δυνάμεως δυνατῶν αὐτοῦ καὶ διατάξεις
5 τῶν πεζῶν αὐτοῦ. καὶ ἐποίησεν πόλεμον ἐν ταῖς ἡμέραις ἐκείναις ὁ βασιλεὺς Ναβουχοδονοσορ πρὸς βασιλέα Αρφαξαδ ἐν τῷ
6 πεδίῳ τῷ μεγάλῳ τοῦτό ἐστιν πεδίον ἐν τοῖς ὁρίοις Ραγαυ. καὶ συνήντησαν πρὸς αὐτὸν πάντες οἱ κατοικοῦντες τὴν ὀρεινὴν καὶ πάντες οἱ κατοικοῦντες τὸν Εὐφράτην καὶ τὸν Τίγριν καὶ τὸν Ὑ-
δάσπην καὶ πεδία Αριωχ βασιλέως Ἐλυμαίων καὶ συνῆλθον ἔθνη
7 πολλὰ εἰς παράταξιν υἱῶν Χελεουδ. καὶ ἀπέστειλεν Ναβουχο-

---

1. **v.1** ἔτος^{ngnsc} δωδέκατος^{aognsn} ὁ^{dgfs} βασιλεία^{ngfsc} Ναβουχοδονοσορ^{ngmsp} ὃς^{rrnms} βασιλεύω^{viaa3s} Ἀσσύριος^{ngmpp} ἐν^{pd} Νινευή^{ndfsp} ὁ^{ddfs} πόλις^{ndfsc} ὁ^{ddfs} μέγας^{andfsn} ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} Αρφαξαδ^{nnmsp} ὃς^{rrnms} βασιλεύω^{viaa3s} Μῆδος^{ngmpp} ἐν^{pd} Ἐκβάτανα^{ndnpp}. **v.2** καί^{cc} οἰκοδομέω^{viaa3s} ἐπί^{pg} Ἐκβάτανα^{ngnpp} κύκλος^{b} τεῖχος^{nanpc} ἐκ^{pg} λίθος^{ngmpc} λαξεύω^{vpxpgmp} εἰς^{pa} πλάτος^{nansc} πῆχυς^{ngmpc} τρεῖς^{acgmpn} καί^{cc} εἰς^{pa} μῆκος^{nansc} πῆχυς^{ngmpc} ἓξ^{ac-n} καί^{cc} ποιέω^{viaa3s} ὁ^{dans} ὕψος^{nansc} ὁ^{dgns} τεῖχος^{ngnsc} πῆχυς^{ngmpc} ἑβδομήκοντα^{ac-n} καί^{cc} ὁ^{dans} πλάτος^{nansc} αὐτός^{rpgns} πῆχυς^{ngmpc} πεντήκοντα^{ac-n}. **v.3** καί^{cc} ὁ^{damp} πύργος^{nampc} αὐτός^{rpgns} ἵστημι^{viaa3s} ἐπί^{pd} ὁ^{ddfp} πύλη^{ndfpc} αὐτός^{rpgfs} πῆχυς^{ngmpc} ἑκατόν^{ac-n} καί^{cc} ὁ^{dans} πλάτος^{nansc} αὐτός^{rpgfs} θεμελιόω^{viaa3s} εἰς^{pa} πῆχυς^{nampc} ἑξήκοντα^{ac-n}. **v.4** καί^{cc} ποιέω^{viaa3s} ὁ^{dafp} πύλη^{nafpc} αὐτός^{rpgfs} πύλη^{nafpc} διεγείρω^{vppmafp} εἰς^{pa} ὕψος^{nansc} πῆχυς^{ngmpc} ἑβδομήκοντα^{ac-n} καί^{cc} ὁ^{dnns} πλάτος^{nnnsc} αὐτός^{rpgfs} πῆχυς^{nnmpc} τεσσαράκοντα^{ac-n} εἰς^{pa} ἔξοδος^{nafpc} δύναμις^{ngfsc} δυνατός^{angmpn} αὐτός^{rpgms} καί^{cc} διάταξις^{nafpc} ὁ^{dgmp} πεζός^{angmpn} αὐτός^{rpgms}. **v.5** καί^{cc} ποιέω^{viaa3s} πόλεμος^{namsc} ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} ἐκεῖνος^{rddfp} ὁ^{dnms} βασιλεύς^{nnmsc} Ναβουχοδονοσορ^{nnmsp} πρός^{pa} βασιλεύς^{namsc} Αρφαξαδ^{namsp} ἐν^{pd} ὁ^{ddns} πεδίον^{ndnsc} ὁ^{ddns} μέγας^{andnsn} οὗτος^{rdnns} εἰμί^{vipa3s} πεδίον^{nnnsc} ἐν^{pd} ὁ^{ddnp} ὅριον^{ndnpc} Ραγαυ^{ng-sp}. **v.6** καί^{cc} συναντάω^{viaa3p} πρός^{pa} αὐτός^{rpams} πᾶς^{ainmpn} ὁ^{dnmp} κατοικέω^{vppanmp} ὁ^{dafs} ὀρεινός^{nafsc} καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} κατοικέω^{vppanmp} ὁ^{dams} Εὐφράτης^{namsp} καί^{cc} ὁ^{dams} Τίγρις^{namsp} καί^{cc} ὁ^{dams} Ὑδάσπης^{namsp} καί^{cc} πεδίον^{nanpc} Αριωχ^{ngmsp} βασιλεύς^{ngmsc} Ἐλυμαῖος^{ngmpp} καί^{cc} συνέρχομαι^{viaa3p} ἔθνος^{nnnpc} πολύς^{annnpn} εἰς^{pa} παράταξις^{nafsc} υἱός^{ngmpc} Χελεουδ^{ngmsp}.

δονοσορ βασιλεὺς Ἀσσυρίων ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν
Περσίδα καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας πρὸς δυσμαῖς τοὺς
κατοικοῦντας τὴν Κιλικίαν καὶ Δαμασκὸν καὶ τὸν Λίβανον καὶ
Ἀντιλίβανον καὶ πάντας τοὺς κατοικοῦντας κατὰ πρόσωπον τῆς
παραλίας. καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ Καρμήλου καὶ Γαλααδ 8
καὶ τὴν ἄνω Γαλιλαίαν καὶ τὸ μέγα πεδίον Εσδρηλων. καὶ πάν- 9
τας τοὺς ἐν Σαμαρείᾳ καὶ ταῖς πόλεσιν αὐτῆς καὶ πέραν τοῦ Ιορ-
δάνου ἕως Ιερουσαλημ καὶ Βατανη καὶ Χελους καὶ Καδης καὶ
τοῦ ποταμοῦ Αἰγύπτου καὶ Ταφνας καὶ Ραμεσση καὶ πᾶσαν γῆν
Γεσεμ. ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ Μέμφεως καὶ πάντας 10
τοὺς κατοικοῦντας τὴν Αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῆς
Αἰθιοπίας. καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες πᾶσαν τὴν γῆν 11
τὸ ῥῆμα Ναβουχοδονοσορ βασιλέως Ἀσσυρίων καὶ οὐ συνῆλθον
αὐτῷ εἰς τὸν πόλεμον ὅτι οὐκ ἐφοβήθησαν αὐτόν ἀλλ᾽ ἦν ἐναντίον
αὐτῶν ὡς ἀνὴρ εἷς καὶ ἀνέστρεψαν τοὺς ἀγγέλους αὐτοῦ κενοὺς
ἐν ἀτιμίᾳ προσώπου αὐτῶν. καὶ ἐθυμώθη Ναβουχοδονοσορ ἐπὶ 12
πᾶσαν τὴν γῆν ταύτην σφόδρα καὶ ὤμοσε κατὰ τοῦ θρόνου καὶ
τῆς βασιλείας αὐτοῦ εἰ μὴν ἐκδικήσειν πάντα τὰ ὅρια τῆς Κιλι-
κίας καὶ Δαμασκηνῆς καὶ Συρίας ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοῦ καὶ
πάντας τοὺς κατοικοῦντας ἐν γῇ Μωαβ καὶ τοὺς υἱοὺς Αμμων καὶ
πᾶσαν τὴν Ιουδαίαν καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἕως τοῦ ἐλθεῖν

---

τοῦ Εσδρηλων. οἱ δὲ υἱοὶ Ισραηλ ὡς εἶδον αὐτῶν τὸ πλῆθος ἐ- 4
ταράχθησαν σφόδρα καὶ εἶπαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ
νῦν ἐκλείξουσιν οὗτοι τὸ πρόσωπον τῆς γῆς πάσης καὶ οὔτε τὰ
ὄρη τὰ ὑψηλὰ οὔτε αἱ φάραγγες οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ

---

v.19 κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgms} οὐρανός^{ngmsc} καθοράω^{vdaa2s} ἐπί^{pa} ὁ^{dafp} ὑπερηφανία^{nafpc} αὐτός^{rpgmp} καί^{cc} ἐλεέω^{vdaa2s} ὁ^{dafs} ταπείνωσις^{nafsc} ὁ^{dgns} γένος^{ngnsc} ἐγώ$^{rpg-p}$ καί^{cc} ἐπιβλέπω^{vdaa2s} ἐπί^{pa} ὁ^{dans} πρόσωπον^{nansc} ὁ^{dgmp} ἁγιάζω^{vpxpgmp} σύ$^{rpd-s}$ ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} οὗτος^{rddfs}. **v.20** καί^{cc} παρακαλέω^{viaa3p} ὁ^{dams} Αχιωρ^{namsp} καί^{cc} ἐπαινέω^{viaa3p} αὐτός^{rpams} σφόδρα^{b}. **v.21** καί^{cc} παραλαμβάνω^{viaa3s} αὐτός^{rpams} Ὀζίας^{nnmsp} ἐκ^{pg} ὁ^{dgfs} ἐκκλησία^{ngfsc} εἰς^{pa} οἶκος^{namsc} αὐτός^{rpgms} καί^{cc} ποιέω^{viaa3s} πότος^{nansc} ὁ^{ddmp} πρεσβύτερος^{andmpc} καί^{cc} ἐπικαλέω^{viam3p} ὁ^{dams} θεός^{namsc} Ἰσραήλ^{ngmsp} εἰς^{pa} βοήθεια^{nafsc} ὅλος^{anafsn} ὁ^{dafs} νύξ^{nafsc} ἐκεῖνος^{rdafs}. **7. v.1** ὁ^{ddfs} δέ^{cc} ἐπαύριον^{b} παραγγέλλω^{viaa3s} Ολοφέρνης^{nnmsp} πᾶς^{aidfsn} ὁ^{ddfs} στρατιά^{ndfsc} αὐτός^{rpgms} καί^{cc} πᾶς^{aidmsn} ὁ^{ddms} λαός^{ndmsc} αὐτός^{rpgms} ὅς^{rrnmp} παραγίνομαι^{viam3p} ἐπί^{pa} ὁ^{dafs} συμμαχία^{nafsc} αὐτός^{rpgms} ἀναζεύγνυμι^{vnpa} ἐπί^{pa} Βαιτυλουα^{nafsp} καί^{cc} ὁ^{dafp} ἀνάβασις^{nafpc} ὁ^{dgfs} ὀρεινός^{ngfsc} προκαταλαμβάνω^{vnpm} καί^{cc} ποιέω^{vnpa} πόλεμος^{namsc} πρός^{pa} ὁ^{damp} υἱός^{nampc} Ἰσραήλ^{ngmsp}. **v.2** καί^{cc} ἀναζεύγνυμι^{viaa3s} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἐκεῖνος^{rddfs} πᾶς^{ainmsn} ἀνήρ^{nnmsc} δυνατός^{annmsn} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dnfs} δύναμις^{nnfsc} αὐτός^{rpgmp} ἀνήρ^{ngmpc} πολεμιστής^{ngmpc} χιλιάς^{nnfpc} πεζός^{angmpn} ἑκατόν$^{ac–n}$ ἑβδομήκοντα$^{ac–n}$ καί^{cc} ἱππεύς^{ngmpc} χιλιάς^{nnfpc} δέκα$^{ac–n}$ δύο$^{ac–n}$ χωρίς^{pg} ὁ^{dgfs} ἀποσκευή^{ngfsc} καί^{cc} ὁ^{dgmp} ἀνήρ^{ngmpc} ὅς^{rrnmp} εἰμί^{viia3p} πεζός^{annmpn} ἐν^{pd} αὐτός^{rpdmp} πλῆθος^{nnnsc} πολύς^{annnsn} σφόδρα^{b}. **v.3** καί^{cc} παρεμβάλλω^{viaa3p} ἐν^{pd} ὁ^{ddms} αὐλών^{ndmsc} πλησίον^{pg} Βαιτυλουα^{ngfsp} ἐπί^{pg} ὁ^{dgfs} πηγή^{ngfsc} καί^{cc} παρατείνω^{viaa3p} εἰς^{pa} εὖρος^{nansc} ἐπί^{pg} Δωθαϊμ^{ng-sp} ἕως^{pg} Βελβαιμ^{ng-sp} καί^{cc} εἰς^{pa} μῆκος^{nansc} ἀπό^{pg} Βαιτυλουα^{ngfsp} ἕως^{pg} Κυαμών^{ng-sp} ὅς^{rrnfs} εἰμί^{vipa3s} ἀπέναντι^{pg} ὁ^{dgms} Εσδρηλων^{ngmsp}.

5 βάρος αὐτῶν. καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ
αὐτῶν καὶ ἀνακαύσαντες πυρὰς ἐπὶ τοὺς πύργους αὐτῶν ἔμενον
6 φυλάσσοντες ὅλην τὴν νύκτα ἐκείνην. τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ
ἐξήγαγεν Ολοφέρνης πᾶσαν τὴν ἵππον αὐτοῦ κατὰ πρόσωπον τῶν
7 υἱῶν Ισραηλ οἳ ἦσαν ἐν Βαιτυλουα. καὶ ἐπεσκέψατο τὰς ἀνα-
βάσεις τῆς πόλεως αὐτῶν καὶ τὰς πηγὰς τῶν ὑδάτων ἐφώδευσεν
καὶ προκατελάβετο αὐτὰς καὶ ἐπέστησεν αὐταῖς παρεμβολὰς ἀν-
8 δρῶν πολεμιστῶν καὶ αὐτὸς ἀνέζευξεν εἰς τὸν λαὸν αὐτοῦ. καὶ
προσελθόντες αὐτῷ πάντες ἄρχοντες υἱῶν Ησαυ καὶ πάντες οἱ ἡ-
γούμενοι τοῦ λαοῦ Μωαβ καὶ οἱ στρατηγοὶ τῆς παραλίας εἶπαν.
9 ἀκουσάτω δὴ λόγον ὁ δεσπότης ἡμῶν ἵνα μὴ γένηται θραῦσμα
10 ἐν τῇ δυνάμει σου. ὁ γὰρ λαὸς οὗτος τῶν υἱῶν Ισραηλ οὐ πέ-
ποιθαν ἐπὶ τοῖς δόρασιν αὐτῶν ἀλλ᾽ ἐπὶ τοῖς ὕψεσι τῶν ὀρέων ἐν
οἷς αὐτοὶ ἐνοικοῦσιν ἐν αὐτοῖς οὐ γάρ ἐστιν εὐχερὲς προσβῆναι
11 ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν. καὶ νῦν δέσποτα μὴ πολέμει
πρὸς αὐτοὺς καθὼς γίνεται πόλεμος παρατάξεως καὶ οὐ πεσεῖται
12 ἐκ τοῦ λαοῦ σου ἀνὴρ εἷς. ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου
διαφυλάσσων πάντα ἄνδρα ἐκ τῆς δυνάμεώς σου καὶ ἐπικρατησά-
τωσαν οἱ παῖδές σου τῆς πηγῆς τοῦ ὕδατος ἡ ἐκπορεύεται ἐκ τῆς

---

v.4 ὁ^{dnmp} δέ^{cc} υἱός^{nnmpc} Ἰσραήλ^{ngmsp} ὡς^{cs} ὁράω^{viaa3p} αὐτός^{rpgmp} ὁ^{dams} πλῆθος^{nansc} ταράσσω^{viap3p} σφόδρα^{b} καί^{cc} λέγω^{viaa3p} ἕκαστος^{ainmsn} πρός^{pa} ὁ^{dams} πλησίον^{b} αὐτός^{rpgms} νῦν^{b} ἐκλείχω^{vifa3p} οὗτος^{rdnmp} ὁ^{dans} πρόσωπον^{nansc} ὁ^{dgfs} γῆ^{ngfsc} πᾶς^{aigfsn} καί^{cc} οὔτε^{cc} ὁ^{dnnp} ὄρος^{nnnpc} ὁ^{dnnp} ὑψηλός^{annnpn} οὔτε^{cc} ὁ^{dnfp} φάραγξ^{nnfpc} οὔτε^{cc} ὁ^{dnmp} βουνός^{nnmpc} ὑφίστημι^{vifm3p} ὁ^{dans} βάρος^{nansc} αὐτός^{rpgmp}. **v.5** καί^{cc} ἀναλαμβάνω^{vpaanmp} ἕκαστος^{ainmsn} ὁ^{danp} σκεῦος^{nanpc} ὁ^{danp} πολεμικός^{ananpn} αὐτός^{rpgmp} καί^{cc} ἀνακαίω^{vpaanmp} πῦρ^{nafpc} ἐπί^{pa} ὁ^{damp} πύργος^{nampc} αὐτός^{rpgmp} μένω^{viia3p} φυλάσσω^{vppanmp} ὅλος^{anafsn} ὁ^{dafs} νύξ^{nafsc} ἐκεῖνος^{rdafs}. **v.6** ὁ^{ddfs} δέ^{cc} ἡμέρα^{ndfsc} ὁ^{ddfs} δεύτερος^{aaodfsn} ἐξάγω^{viaa3s} Ολοφέρνης^{nnmsp} πᾶς^{aiafsn} ὁ^{dafs} ἵππος^{nafsc} αὐτός^{rpgms} κατά^{pa} πρόσωπον^{nansc} ὁ^{dgmp} υἱός^{ngmpc} Ἰσραήλ^{ngmsp} ὅς^{rrnmp} εἰμί^{viia3p} ἐν^{pd} Βαιτυλουα^{ndfsp}. **v.7** καί^{cc} ἐπισκέπτομαι^{viam3s} ὁ^{dafp} ἀνάβασις^{nafpc} ὁ^{dgfs} πόλις^{ngfsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dafp} πηγή^{nafpc} ὁ^{dgnp} ὕδωρ^{ngnpc} ἐφοδεύω^{viaa3s} καί^{cc} προκαταλαμβάνω^{viam3s} αὐτός^{rpafp} καί^{cc} ἐφίστημι^{viaa3s} αὐτός^{rpdfp} παρεμβολή^{nafpc} ἀνήρ^{ngmpc} πολεμιστής^{ngmpc} καί^{cc} αὐτός^{rpnms} ἀναζεύγνυμι^{viaa3s} εἰς^{pa} ὁ^{dams} λαός^{namsc} αὐτός^{rpgms}. **v.8** καί^{cc} προσέρχομαι^{vpaanmp} αὐτός^{rpdms} πᾶς^{ainmpn} ἄρχων^{nnmpc} υἱός^{ngmpc} Ησαυ^{ngmsp} καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} ἡγέομαι^{vppmnmp} ὁ^{dgms} λαός^{ngmsc} Μωαβ^{ngfsp} καί^{cc} ὁ^{dnmp} στρατηγός^{nnmpc} ὁ^{dgfs} παραλία^{ngfsc} λέγω^{viaa3p}. **v.9** ἀκούω^{vdaa3s} δή^{x} λόγος^{namsc} ὁ^{dnms} δεσπότης^{nnmsc} ἐγώ$^{rpg-p}$ ἵνα^{cs} μή^{x} γίνομαι^{vsam3s} θραῦσμα^{nnnsc} ἐν^{pd} ὁ^{ddfs} δύναμις^{ndfsc} σύ$^{rpg-s}$. **v.10** ὁ^{dnms} γάρ^{cc} λαός^{nnmsc} οὗτος^{rdnms} ὁ^{dgmp} υἱός^{ngmpc} Ἰσραήλ^{ngmsp} οὐ^{b} πείθω^{vixa3p} ἐπί^{pd} ὁ^{ddnp} δόρυ^{ndnpc} αὐτός^{rpgmp} ἀλλά^{cc} ἐπί^{pd} ὁ^{ddnp} ὕψος^{ndnpc} ὁ^{dgnp} ὄρος^{ngnpc} ἐν^{pd} ὅς^{rrdnp} αὐτός^{rpnmp} ἐνοικέω^{vipa3p} ἐν^{pd} αὐτός^{rpdnp} οὐ^{b} γάρ^{cc} εἰμί^{vipa3s} εὐχερής^{annnsn} προσβαίνω^{vnaa} ὁ^{ddfp} κορυφή^{ndfpc} ὁ^{dgnp} ὄρος^{ngnpc} αὐτός^{rpgmp}. **v.11** καί^{cc} νῦν^{b} δεσπότης^{nvmsc} μή^{x} πολεμέω^{vdpa2s} πρός^{pa} αὐτός^{rpamp} καθώς^{cs} γίνομαι^{vipm3s} πόλεμος^{nnmsc} παράταξις^{ngfsc} καί^{cc} οὐ^{b} πίπτω^{vifm3s} ἐκ^{pg} ὁ^{dgms} λαός^{ngmsc} σύ$^{rpg-s}$ ἀνήρ^{nnmsc} εἷς^{acnmsn}.

ῥίζης τοῦ ὄρους. διότι ἐκεῖθεν ὑδρεύονται πάντες οἱ κατοικοῦν- 13
τες Βαιτυλουα καὶ ἀνελεῖ αὐτοὺς ἡ δίψα καὶ ἐκδώσουσι τὴν πόλιν
αὐτῶν καὶ ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ τὰς πλησίον
κορυφὰς τῶν ὀρέων καὶ παρεμβαλοῦμεν ἐπ᾽ αὐταῖς εἰς προφυλα-
κὴν τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως ἄνδρα ἕνα. καὶ τακήσονται 14
ἐν τῷ λιμῷ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ
πρὶν ἐλθεῖν τὴν ῥομφαίαν ἐπ᾽ αὐτοὺς καταστρωθήσονται ἐν ταῖς
πλατείαις τῆς οἰκήσεως αὐτῶν. καὶ ἀνταποδώσεις αὐτοῖς ἀν- 15
ταπόδομα πονηρὸν ἀνθ᾽ ὧν ἐστασίασαν καὶ οὐκ ἀπήντησαν τῷ
προσώπῳ σου ἐν εἰρήνῃ. καὶ ἤρεσαν οἱ λόγοι αὐτῶν ἐνώπιον 16
Ολοφέρνου καὶ ἐνώπιον πάντων τῶν θεραπόντων αὐτοῦ καὶ συνέ-
ταξε ποιεῖν καθὰ ἐλάλησαν. καὶ ἀπῆρεν παρεμβολὴ υἱῶν Αμμων 17
καὶ μετ᾽ αὐτῶν χιλιάδες πέντε υἱῶν Ασσουρ καὶ παρενέβαλον ἐν τῷ
αὐλῶνι καὶ προκατελάβοντο τὰ ὕδατα καὶ τὰς πηγὰς τῶν ὑδάτων
τῶν υἱῶν Ισραηλ. καὶ ἀνέβησαν οἱ υἱοὶ Ησαυ καὶ οἱ υἱοὶ Αμμων 18
καὶ παρενέβαλον ἐν τῇ ὀρεινῇ ἀπέναντι Δωθαϊμ καὶ ἀπέστειλαν
ἐξ αὐτῶν πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι Εγρεβηλ ἥ ἐστιν
πλησίον Χους ἥ ἐστιν ἐπὶ τοῦ χειμάρρου Μοχμουρ καὶ ἡ λοιπὴ
στρατιὰ τῶν Ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ καὶ ἐκάλυψαν
πᾶν τὸ πρόσωπον τῆς γῆς καὶ αἱ σκηναὶ καὶ αἱ ἀπαρτίαι αὐτῶν
κατεστρατοπέδευσαν ἐν ὄχλῳ πολλῷ καὶ ἦσαν εἰς πλῆθος πολὺ

---

v.12 ἀναμένω^{vdaa2s} ἐπί^{pg} ὁ^{dgfs} παρεμβολή^{ngfsc} σύ$^{rpg-s}$ διαφυλάσσω^{vppanms} πᾶς^{aiamsn} ἀνήρ^{namsc} ἐκ^{pg} ὁ^{dgfs} δύναμις^{ngfsc} σύ$^{rpg-s}$ καί^{cc} ἐπικρατέω^{vdaa3p} ὁ^{dnmp} παῖς^{nnmpc} σύ$^{rpg-s}$ ὁ^{dgfs} πηγή^{ngfsc} ὁ^{dgns} ὕδωρ^{ngnsc} ὅς^{rrnfs} ἐκπορεύομαι^{vipm3s} ἐκ^{pg} ὁ^{dgfs} ῥίζα^{ngfsc} ὁ^{dgns} ὄρος^{ngnsc}. **v.13** διότι^{cs} ἐκεῖθεν^{b} ὑδρεύω^{vipm3p} πᾶς^{ainmpn} ὁ^{dnmp} κατοικέω^{vppanmp} Βαιτυλουα^{nafsp} καί^{cc} ἀναιρέω^{vifa3s} αὐτός^{rpamp} ὁ^{dnfs} δίψα^{nnfsc} καί^{cc} ἐκδίδωμι^{vifa3p} ὁ^{dafs} πόλις^{nafsc} αὐτός^{rpgmp} καί^{cc} ἐγώ$^{rpn-p}$ καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} ἐγώ$^{rpg-p}$ ἀναβαίνω^{vifm1p} ἐπί^{pa} ὁ^{dafp} πλησίον^{b} κορυφή^{nafpc} ὁ^{dgnp} ὄρος^{ngnpc} καί^{cc} παρεμβάλλω^{vifa1p} ἐπί^{pd} αὐτός^{rpdfp} εἰς^{pa} προφυλακή^{nafsc} ὁ^{dgns} μή^{x} ἐξέρχομαι^{vnaa} ἐκ^{pg} ὁ^{dgfs} πόλις^{ngfsc} ἀνήρ^{namsc} εἷς^{acamsn}. **v.14** καί^{cc} τήκω^{vifp3p} ἐν^{pd} ὁ^{ddms} λιμός^{ndmsc} αὐτός^{rpnmp} καί^{cc} ὁ^{dnfp} γυνή^{nnfpc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dnnp} τέκνον^{nnnpc} αὐτός^{rpgmp} καί^{cc} πρίν^{cs} ἔρχομαι^{vnaa} ὁ^{dafs} ῥομφαία^{nafsc} ἐπί^{pa} αὐτός^{rpamp} καταστρώννυμι^{vifp3p} ἐν^{pd} ὁ^{ddfp} πλατύς^{andfpn} ὁ^{dgfs} οἴκησις^{ngfsc} αὐτός^{rpgmp}. **v.15** καί^{cc} ἀνταποδίδωμι^{vifa2s} αὐτός^{rpdmp} ἀνταπόδομα^{nansc} πονηρός^{anansn} ἀντί^{pg} ὅς^{rrgnp} στασιάζω^{viaa3p} καί^{cc} οὐ^{b} ἀπαντάω^{viaa3p} ὁ^{ddns} πρόσωπον^{ndnsc} σύ$^{rpg-s}$ ἐν^{pd} εἰρήνη^{ndfsc}. **v.16** καί^{cc} ἀρέσκω^{viaa3p} ὁ^{dnmp} λόγος^{nnmpc} αὐτός^{rpgmp} ἐνώπιον^{pg} Ολοφέρνης^{ngmsp} καί^{cc} ἐνώπιον^{pg} πᾶς^{aigmpn} ὁ^{dgmp} θεράπων^{ngmpc} αὐτός^{rpgms} καί^{cc} συντάσσω^{viaa3s} ποιέω^{vnpa} καθά^{cs} λαλέω^{viaa3p}. **v.17** καί^{cc} ἀπαίρω^{viaa3s} παρεμβολή^{nnfsc} υἱός^{ngmpc} Αμμων^{ngmsp} καί^{cc} μετά^{pg} αὐτός^{rpgmp} χιλιάς^{nnfpc} πέντε^{ac-n} υἱός^{ngmpc} Ασσουρ^{ngmsp} καί^{cc} παρεμβάλλω^{viaa3p} ἐν^{pd} ὁ^{ddms} αὐλών^{ndmsc} καί^{cc} προκαταλαμβάνω^{viam3p} ὁ^{danp} ὕδωρ^{nanpc} καί^{cc} ὁ^{dafp} πηγή^{nafpc} ὁ^{dgnp} ὕδωρ^{ngnpc} ὁ^{dgmp} υἱός^{ngmpc} Ἰσραήλ^{ngmsp}.

19 σφόδρα. καὶ οἱ υἱοὶ Ισραηλ ἀνεβόησαν πρὸς κύριον θεὸν αὐτῶν
ὅτι ὠλιγοψύχησεν τὸ πνεῦμα αὐτῶν ὅτι ἐκύκλωσαν πάντες οἱ ἐ-
20 χθροὶ αὐτῶν καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου αὐτῶν. καὶ ἔμεινεν
κύκλῳ αὐτῶν πᾶσα παρεμβολὴ Ασσουρ οἱ πεζοὶ καὶ ἅρματα καὶ
οἱ ἱππεῖς αὐτῶν ἡμέρας τριάκοντα τέσσαρας καὶ ἐξέλιπεν πάντας
τοὺς κατοικοῦντας Βαιτυλουα πάντα τὰ ἀγγεῖα αὐτῶν τῶν ὑδά-
21 των. καὶ οἱ λάκκοι ἐξεκενοῦντο καὶ οὐκ εἶχον πιεῖν εἰς πλησμο-
22 νὴν ὕδωρ ἡμέραν μίαν ὅτι ἐν μέτρῳ ἐδίδοσαν αὐτοῖς πιεῖν. καὶ
ἠθύμησεν τὰ νήπια αὐτῶν καὶ αἱ γυναῖκες καὶ οἱ νεανίσκοι ἐξέλι-
πον ἀπὸ τῆς δίψης καὶ ἔπιπτον ἐν ταῖς πλατείαις τῆς πόλεως καὶ
ἐν ταῖς διόδοις τῶν πυλῶν καὶ οὐκ ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς.
23 καὶ ἐπισυνήχθησαν πᾶς ὁ λαὸς ἐπὶ Οζιαν καὶ τοὺς ἄρχοντας τῆς
πόλεως οἱ νεανίσκοι καὶ αἱ γυναῖκες καὶ τὰ παιδία καὶ ἀνεβόη-
σαν φωνῇ μεγάλῃ καὶ εἶπαν ἐναντίον πάντων τῶν πρεσβυτέρων.
24 κρίναι ὁ θεὸς ἀνὰ μέσον ὑμῶν καὶ ἡμῶν ὅτι ἐποιήσατε ἐν ἡμῖν ἀ-
25 δικίαν μεγάλην οὐ λαλήσαντες εἰρηνικὰ μετὰ υἱῶν Ασσουρ. καὶ
νῦν οὐκ ἔστιν ὁ βοηθὸς ἡμῶν ἀλλὰ πέπρακεν ἡμᾶς ὁ θεὸς εἰς
τὰς χεῖρας αὐτῶν τοῦ καταστρωθῆναι ἐναντίον αὐτῶν ἐν δίψῃ καὶ

---

v.18 καίcc ἀναβαίνωviaa3p ὁdnmp υἱόςnnmpc Ἡσαῦngmsp καίcc ὁdnmp υἱόςnnmpc Αμμωνngmsp καίcc παρεμβάλλωviaa3p ἐνpd ὁddfs ὀρεινόςndfsc ἀπέναντιpg Δωθαΐμng-sp καίcc ἀποστέλλωviaa3p ἐκpg αὐτόςrpgmp πρόςpa νότοςnamsc καίcc ἀπηλιώτηςnamsc ἀπέναντιpg Εγρεβηλng-sp ὅςrrnfs εἰμίvipa3s πλησίονpg Χουςngfsp ὅςrrnfs εἰμίvipa3s ἐπίpg ὁdgms χείμαρροςngmsc Μοχμουρng-sp καίcc ὁdnfs λοιπόςannfsn στρατιάnnfsc ὁdgmp Ἀσσύριοςngmpp παρεμβάλλωviaa3p ἐνpd ὁddns πεδίονndnsc καίcc καλύπτωviaa3p πᾶςaiansn ὁdans πρόσωπονnansc ὁdgfs γῆngfsc καίcc ὁdnfp σκηνήnnfpc καίcc ὁdnfp ἁπαρτίαnnfpc αὐτόςrpgmp καταστρατοπεδεύωviaa3p ἐνpd ὄχλοςndmsc πολύςandmsn καίcc εἰμίviia3p εἷςpa πλῆθοςnansc πολύςanansn σφόδραb. **v.19** καίcc ὁdnmp υἱόςnnmpc Ἰσραήλngmsp ἀναβοάωviaa3p πρόςpa κύριοςnamsc θεόςnamsc αὐτόςrpgmp ὅτιcs ὀλιγοψυχέωviaa3s ὁdnns πνεῦμαnnnsc αὐτόςrpgmp ὅτιcs κυκλόωviaa3p πᾶςainmpn ὁdnmp ἐχθρόςannmpn αὐτόςrpgmp καίcc οὐb εἰμίviia3s διαφεύγωvnaa ἐκpg μέσοςangnsn αὐτόςrpgmp. **v.20** καίcc μένωviaa3s κύκλοςpg αὐτόςrpgmp πᾶςainfsn παρεμβολήnnfsc Ασσουρngmsp ὁdnmp πεζόςannmpn καίcc ἅρμαnnnpc καίcc ὁdnmp ἱππεύςnnmpc αὐτόςrpgmp ἡμέραnafpc τριάκοντα[ac—n] τέσσαρεςacafpn καίcc ἐκλείπωviaa3s πᾶςaiampn ὁdamp κατοικέωvppaamp Βαιτυλουαnafsp πᾶςainnpn ὁdnnp ἀγγεῖονnnnpc αὐτόςrpgmp ὁdgnp ὕδωρngnpc. **v.21** καίcc ὁdnmp λάκκοςnnmpc ἐκκενόωviip3p καίcc οὐb ἔχωviia3p πίνωvnaa εἰςpa πλησμονήnafsc ὕδωρnansc ἡμέραnafsc εἷςacafsn ὅτιcs ἐνpd μέτρονndnsc δίδωμιviia3p αὐτόςrpdmp πίνωvnaa. **v.22** καίcc ἀθυμέωviaa3s ὁdnnp νήπιοςannnpn αὐτόςrpgmp καίcc ὁdnfp γυνήnnfpc καίcc ὁdnmp νεανίσκοςnnmpc ἐκλείπωviaa3p ἀπόpg ὁdgfs δίψαngfsc καίcc πίπτωviia3p ἐνpd ὁddfp πλατύςandfpn ὁdgfs πόλιςngfsc καίcc ἐνpd ὁddfp δίοδοςndfpc ὁdgfp πύληngfpc καίcc οὐb εἰμίviia3s κραταίωσιςnnfsc ἔτιb ἐνpd αὐτόςrpdmp. **v.23** καίcc ἐπισυνάγωviap3p πᾶςainmsn ὁdnms λαόςnnmsc ἐπίpa Ὀζίαςnamsp καίcc ὁdamp ἄρχωνnampc ὁdgfs πόλιςngfsc ὁdnmp νεανίσκοςnnmpc καίcc ὁdnfp γυνήnnfpc καίcc ὁdnnp παιδίονnnnpc καίcc ἀναβοάωviaa3p φωνήndfsc μέγαςandfsn καίcc λέγωviaa3p ἐναντίονpg πᾶςaigmpn ὁdgmp πρεσβύτεροςangmpc. **v.24** κρίνωvoaa3s ὁdnms θεόςnnmsc ἀνάpa μέσοςanansn σύrpg-p καίcc ἐγώrpg-p ὅτιcs ποιέωviaa2p ἐνpd ἐγώrpd-p ἀδικίαnafsc μέγαςanafsn οὐb λαλέωvpaanmp εἰρηνικόςananpn μετάpg υἱόςngmpc Ασσουρngmsp.

ἀπωλείᾳ μεγάλῃ. καὶ νῦν ἐπικαλέσασθε αὐτοὺς καὶ ἔκδοσθε τὴν 26
πόλιν πᾶσαν εἰς προνομὴν τῷ λαῷ Ολοφέρνου καὶ πάσῃ τῇ δυνά-
μει αὐτοῦ. κρεῖσσον γὰρ ἡμῖν γενηθῆναι αὐτοῖς εἰς διαρπαγήν 27
ἐσόμεθα γὰρ εἰς δούλους καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν καὶ οὐκ ὀ-
ψόμεθα τὸν θάνατον τῶν νηπίων ἡμῶν ἐν ὀφθαλμοῖς ἡμῶν καὶ
τὰς γυναῖκας καὶ τὰ τέκνα ἡμῶν ἐκλειπούσας τὰς ψυχὰς αὐτῶν.
μαρτυρόμεθα ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὸν θεὸν ἡμῶν 28
καὶ κύριον τῶν πατέρων ἡμῶν ὃς ἐκδικεῖ ἡμᾶς κατὰ τὰς ἁμαρτίας
ἡμῶν καὶ κατὰ τὰ ἁμαρτήματα τῶν πατέρων ἡμῶν ἵνα μὴ ποιήσῃ
κατὰ τὰ ῥήματα ταῦτα ἐν τῇ ἡμέρᾳ τῇ σήμερον. καὶ ἐγένετο 29
κλαυθμὸς μέγας ἐν μέσῳ τῆς ἐκκλησίας πάντων ὁμοθυμαδόν καὶ
ἐβόησαν πρὸς κύριον τὸν θεὸν φωνῇ μεγάλῃ. καὶ εἶπεν πρὸς αὐ- 30
τοὺς Οζιας θαρσεῖτε ἀδελφοί διακαρτερήσωμεν ἔτι πέντε ἡμέρας
ἐν αἷς ἐπιστρέψει κύριος ὁ θεὸς ἡμῶν τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς
οὐ γὰρ ἐγκαταλείψει ἡμᾶς εἰς τέλος. ἐὰν δὲ διέλθωσιν αὗται 31
καὶ μὴ ἔλθῃ ἐφ᾽ ἡμᾶς βοήθεια ποιήσω κατὰ τὰ ῥήματα ὑμῶν.
καὶ ἐσκόρπισεν τὸν λαὸν εἰς τὴν ἑαυτοῦ παρεμβολήν καὶ ἐπὶ τὰ 32
τείχη καὶ τοὺς πύργους τῆς πόλεως αὐτῶν ἀπῆλθον καὶ τὰς γυ-
ναῖκας καὶ τὰ τέκνα εἰς τοὺς οἴκους αὐτῶν ἀπέστειλαν καὶ ἦσαν
ἐν ταπεινώσει πολλῇ ἐν τῇ πόλει.

---

v.25 καί^{cc} νῦν^{b} οὐ^{b} εἰμί^{vipa3s} ὁ^{dnms} βοηθός^{nnmsc} ἐγώ$^{rpg-p}$ ἀλλά^{cc} πιπράσκω^{vixa3s} ἐγώ$^{rpa-p}$ ὁ^{dnms} θεός^{nnmsc} εἰς^{pa} ὁ^{dafp} χείρ^{nafpc} αὐτός^{rpgmp} ὁ^{dgns} καταστρώννυμι^{vnap} ἐναντίον^{pg} αὐτός^{rpgmp} ἐν^{pd} δίψα^{ndfsc} καί^{cc} ἀπώλεια^{ndfsc} μέγας^{andfsn}. **v.26** καί^{cc} νῦν^{b} ἐπικαλέω^{vdam2p} αὐτός^{rpamp} καί^{cc} ἐκδίδωμι^{vdam2p} ὁ^{dafs} πόλις^{nafsc} πᾶς^{aiafsn} εἰς^{pa} προνομή^{nafsc} ὁ^{ddms} λαός^{ndmsc} Ολοφέρνης^{ngmsp} καί^{cc} πᾶς^{aidfsn} ὁ^{ddfs} δύναμις^{ndfsc} αὐτός^{rpgms}. **v.27** ἀγαθός^{annnsc} γάρ^{cc} ἐγώ$^{rpd-p}$ γίνομαι^{vnap} αὐτός^{rpdmp} εἰς^{pa} διαρπαγή^{nafsc} εἰμί^{vifm1p} γάρ^{cc} εἰς^{pa} δοῦλος^{nampc} καί^{cc} ζάω^{vifm3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-p}$ καί^{cc} οὐ^{b} ὁράω^{vifm1p} ὁ^{dams} θάνατος^{namsc} ὁ^{dgmp} νήπιος^{angmpn} ἐγώ$^{rpg-p}$ ἐν^{pd} ὀφθαλμός^{ndmpc} ἐγώ$^{rpg-p}$ καί^{cc} ὁ^{dafp} γυνή^{nafpc} καί^{cc} ὁ^{danp} τέκνον^{nanpc} ἐγώ$^{rpg-p}$ ἐκλείπω^{vppaafp} ὁ^{dafp} ψυχή^{nafpc} αὐτός^{rpgfp}. **v.28** μαρτύρομαι^{vipm1p} σύ$^{rpd-p}$ ὁ^{dams} οὐρανός^{namsc} καί^{cc} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} ὁ^{dams} θεός^{namsc} ἐγώ$^{rpg-p}$ καί^{cc} κύριος^{namsc} ὁ^{dgmp} πατήρ^{ngmpc} ἐγώ$^{rpg-p}$ ὅς^{rrnms} ἐκδικέω^{vipa3s} ἐγώ$^{rpa-p}$ κατά^{pa} ὁ^{dafp} ἁμαρτία^{nafpc} ἐγώ$^{rpg-p}$ καί^{cc} κατά^{pa} ὁ^{danp} ἁμάρτημα^{nanpc} ὁ^{dgmp} πατήρ^{ngmpc} ἐγώ$^{rpg-p}$ ἵνα^{cs} μή^{x} ποιέω^{vsaa3s} κατά^{pa} ὁ^{danp} ῥῆμα^{nanpc} οὗτος^{rdanp} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{ddfs} σήμερον^{b}. **v.29** καί^{cc} γίνομαι^{viam3s} κλαυθμός^{nnmsc} μέγας^{annmsn} ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgfs} ἐκκλησία^{ngfsc} πᾶς^{aigmpn} ὁμοθυμαδόν^{b} καί^{cc} βοάω^{viaa3p} πρός^{pa} κύριος^{namsc} ὁ^{dams} θεός^{namsc} φωνή^{ndfsc} μέγας^{andfsn}. **v.30** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} αὐτός^{rpamp} Ὀζίας^{nnmsp} θαρσέω^{vdpa2p} ἀδελφός^{nvmpc} διακαρτερέω^{vsaa1p} ἔτι^{b} πέντε^{ac--n} ἡμέρα^{nafpc} ἐν^{pd} ὅς^{rrdfp} ἐπιστρέφω^{vifa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-p}$ ὁ^{dans} ἔλεος^{nansc} αὐτός^{rpgms} ἐπί^{pa} ἐγώ$^{rpa-p}$ οὐ^{b} γάρ^{cc} ἐγκαταλείπω^{vifa3s} ἐγώ$^{rpa-p}$ εἰς^{pa} τέλος^{nansc}. **v.31** ἐάν^{cs} δέ^{cc} διέρχομαι^{vsaa3p} οὗτος^{rdnfp} καί^{cc} μή^{x} ἔρχομαι^{vsaa3s} ἐπί^{pa} ἐγώ$^{rpa-p}$ βοήθεια^{nnfsc} ποιέω^{vifa1s} κατά^{pa} ὁ^{danp} ῥῆμα^{nanpc} σύ$^{rpg-p}$. **v.32** καί^{cc} σκορπίζω^{viaa3s} ὁ^{dams} λαός^{namsc} εἰς^{pa} ὁ^{dafs} ἑαυτοῦ^{rxgms} παρεμβολή^{nafsc} καί^{cc} ἐπί^{pa} ὁ^{danp} τεῖχος^{nanpc} καί^{cc} ὁ^{damp} πύργος^{nampc} ὁ^{dgfs} πόλις^{ngfsc} αὐτός^{rpgmp} ἀπέρχομαι^{viaa3p} καί^{cc} ὁ^{dafp} γυνή^{nafpc} καί^{cc} ὁ^{danp} τέκνον^{nanpc} εἰς^{pa} ὁ^{damp} οἶκος^{nampc} αὐτός^{rpgmp} ἀποστέλλω^{viaa3p} καί^{cc} εἰμί^{viia3p} ἐν^{pd} ταπείνωσις^{ndfsc} πολύς^{andfsn} ἐν^{pd} ὁ^{ddfs} πόλις^{ndfsc}.

8 καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις Ιουδιθ θυγάτηρ Μεραρι
υἱοῦ Ωξ υἱοῦ Ιωσηφ υἱοῦ Οζιηλ υἱοῦ Ελκια υἱοῦ Ανανιου υἱοῦ
Γεδεων υἱοῦ Ραφαϊν υἱοῦ Αχιτωβ υἱοῦ Ηλιου υἱοῦ Χελκιου υἱοῦ
Ελιαβ υἱοῦ Ναθαναηλ υἱοῦ Σαλαμιηλ υἱοῦ Σαρασαδαι υἱοῦ Ισ-
2 ραηλ. καὶ ὁ ἀνὴρ αὐτῆς Μανασσης τῆς φυλῆς αὐτῆς καὶ τῆς πα-
3 τριᾶς αὐτῆς καὶ ἀπέθανεν ἐν ἡμέραις θερισμοῦ κριθῶν. ἐπέστη
γὰρ ἐπὶ τοὺς δεσμεύοντας τὰ δράγματα ἐν τῷ πεδίῳ καὶ ὁ καύσων
ἦλθεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἔπεσεν ἐπὶ τὴν κλίνην αὐτοῦ
καὶ ἐτελεύτησεν ἐν Βαιτυλουα τῇ πόλει αὐτοῦ καὶ ἔθαψαν αὐτὸν
μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀνὰ μέσον Δωθαϊμ καὶ
4 Βαλαμων. καὶ ἦν Ιουδιθ ἐν τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία
5 καὶ μῆνας τέσσαρας. καὶ ἐποίησεν ἑαυτῇ σκηνὴν ἐπὶ τοῦ δώμα-
τος τοῦ οἴκου αὐτῆς καὶ ἐπέθηκεν ἐπὶ τὴν ὀσφὺν αὐτῆς σάκκον
6 καὶ ἦν ἐπ᾽ αὐτῆς τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς. καὶ ἐνήστευε
πάσας τὰς ἡμέρας τῆς χηρεύσεως αὐτῆς χωρὶς προσαββάτων καὶ
σαββάτων καὶ προνουμηνιῶν καὶ νουμηνιῶν καὶ ἑορτῶν καὶ χαρ-
7 μοσυνῶν οἴκου Ισραηλ. καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει
σφόδρα καὶ ὑπελίπετο αὐτῇ Μανασσης ὁ ἀνὴρ αὐτῆς χρυσίον καὶ
ἀργύριον καὶ παῖδας καὶ παιδίσκας καὶ κτήνη καὶ ἀγρούς καὶ ἔ-
8 μενεν ἐπ᾽ αὐτῶν. καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ῥῆμα πονηρόν
9 ὅτι ἐφοβεῖτο τὸν θεὸν σφόδρα. καὶ ἤκουσεν τὰ ῥήματα τοῦ λαοῦ

---

8. v.1 καί^{cc} ἀκούω^{viaa3s} ἐν^{pd} ἐκεῖνος^{rddfp} ὁ^{ddfp} ἡμέρα^{ndfpc} Ἰουδίθ^{nnfsp} θυγάτηρ^{nnfsc} Μεραρι^{ngmsp} υἱός^{ngmsc} Ὠξ^{ngmsp} υἱός^{ngmsc} Ἰωσήφ^{ngmsp} υἱός^{ngmsc} Οζιηλ^{ngmsp} υἱός^{ngmsc} Ελκια^{ngmsp} υἱός^{ngmsc} Ανανιος^{ngmsp} υἱός^{ngmsc} Γεδεών^{ngmsp} υἱός^{ngmsc} Ραφαΐν^{ngmsp} υἱός^{ngmsc} Αχιτωβ^{ngmsp} υἱός^{ngmsc} Ηλιος^{ngmsp} υἱός^{ngmsc} Χελκιας^{ngmsp} υἱός^{ngmsc} Ελιαβ^{ngmsp} υἱός^{ngmsc} Ναθαναήλ^{ngmsp} υἱός^{ngmsc} Σαλαμιηλ^{ngmsp} υἱός^{ngmsc} Σαρασαδαι^{ngmsp} υἱός^{ngmsc} Ἰσραήλ^{ngmsp}. **v.2** καί^{cc} ὁ^{dnms} ἀνήρ^{nnmsc} αὐτός^{rpgfs} Μανασσής^{nnmsp} ὁ^{dgfs} φυλή^{ngfsc} αὐτός^{rpgfs} καί^{cc} ὁ^{dgfs} πάτριος^{angfsn} αὐτός^{rpgfs} καί^{cc} ἀποθνήσκω^{viaa3s} ἐν^{pd} ἡμέρα^{ndfpc} θερισμός^{ngmsc} κριθή^{ngfpc}. **v.3** ἐφίστημι^{viaa3s} γάρ^{cc} ἐπί^{pa} ὁ^{damp} δεσμεύω^{vppaamp} ὁ^{danp} δράγμα^{nanpc} ἐν^{pd} ὁ^{ddns} πεδίον^{ndnsc} καί^{cc} ὁ^{dnms} καύσων^{nnmsc} ἔρχομαι^{viaa3s} ἐπί^{pa} ὁ^{dafs} κεφαλή^{nafsc} αὐτός^{rpgms} καί^{cc} πίπτω^{viaa3s} ἐπί^{pa} ὁ^{dafs} κλίνη^{nafsc} αὐτός^{rpgms} καί^{cc} τελευτάω^{viaa3s} ἐν^{pd} Βαιτυλουα^{ndfsp} ὁ^{ddfs} πόλις^{ndfsc} αὐτός^{rpgms} καί^{cc} θάπτω^{viaa3p} αὐτός^{rpams} μετά^{pg} ὁ^{dgmp} πατήρ^{ngmpc} αὐτός^{rpgms} ἐν^{pd} ὁ^{ddms} ἀγρός^{ndmsc} ὁ^{ddms} ἀνά^{pa} μέσος^{anansn} Δωθαΐμ^{ng-sp} καί^{cc} Βαλαμων^{ng-sp}. **v.4** καί^{cc} εἰμί^{viia3s} Ἰουδίθ^{nnfsp} ἐν^{pd} ὁ^{ddms} οἶκος^{ndmsc} αὐτός^{rpgfs} χηρεύω^{vppanfs} ἔτος^{nanpc} τρεῖς^{acanpn} καί^{cc} μήν^{nampc} τέσσαρες^{acampn}. **v.5** καί^{cc} ποιέω^{viaa3s} ἑαυτοῦ^{rxdfs} σκηνή^{nafsc} ἐπί^{pg} ὁ^{dgns} δῶμα^{ngnsc} ὁ^{dgms} οἶκος^{ngmsc} αὐτός^{rpgfs} καί^{cc} ἐπιτίθημι^{viaa3s} ἐπί^{pa} ὁ^{dafs} ὀσφύς^{nafsc} αὐτός^{rpgfs} σάκκος^{namsc} καί^{cc} εἰμί^{viia3s} ἐπί^{pg} αὐτός^{rpgfs} ὁ^{dnnp} ἱμάτιον^{nnnpc} ὁ^{dgfs} χήρευσις^{ngfsc} αὐτός^{rpgfs}. **v.6** καί^{cc} νηστεύω^{viia3s} πᾶς^{aiafpn} ὁ^{dafp} ἡμέρα^{nafpc} ὁ^{dgfs} χήρευσις^{ngfsc} αὐτός^{rpgfs} χωρίς^{pg} προσάββατον^{ngnpc} καί^{cc} σάββατον^{ngnpc} καί^{cc} προνουμηνία^{ngfpc} καί^{cc} νουμηνία^{ngfpc} καί^{cc} ἑορτή^{ngfpc} καί^{cc} χαρμοσύνη^{ngfpc} οἶκος^{ngmsc} Ἰσραήλ^{ngmsp}. **v.7** καί^{cc} εἰμί^{viia3s} καλός^{annfsn} ὁ^{ddns} εἶδος^{ndnsc} καί^{cc} ὡραῖος^{annfsn} ὁ^{ddfs} ὄψις^{ndfsc} σφόδρα^{b} καί^{cc} ὑπολείπω^{viam3s} αὐτός^{rpdfs} Μανασσής^{nnmsp} ὁ^{dnms} ἀνήρ^{nnmsc} αὐτός^{rpgfs} χρυσίον^{nansc} καί^{cc} ἀργύριον^{nansc} καί^{cc} παῖς^{nampc} καί^{cc} παιδίσκη^{nafpc} καί^{cc} κτῆνος^{nanpc} καί^{cc} ἀγρός^{nampc} καί^{cc} μένω^{viia3s} ἐπί^{pg} αὐτός^{rpgmp}. **v.8** καί^{cc} οὐ^{b} εἰμί^{viia3s} ὅς^{rrnms} ἐπιφέρω^{viaa3s} αὐτός^{rpdfs} ῥῆμα^{nansc} πονηρός^{anansn} ὅτι^{cs} φοβέω^{viim3s} ὁ^{dams} θεός^{namsc} σφόδρα^{b}.

τὰ πονηρὰ ἐπὶ τὸν ἄρχοντα ὅτι ὠλιγοψύχησαν ἐν τῇ σπάνει τῶν ὑδάτων καὶ ἤκουσεν πάντας τοὺς λόγους Ιουδιθ οὓς ἐλάλησεν πρὸς αὐτοὺς Οζιας ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν πόλιν μετὰ ἡμέρας πέντε τοῖς Ἀσσυρίοις. καὶ ἀποστείλασα τὴν ἄβραν αὐτῆς 10
τὴν ἐφεστῶσαν πᾶσιν τοῖς ὑπάρχουσιν αὐτῆς ἐκάλεσεν Χαβριν καὶ Χαρμιν τοὺς πρεσβυτέρους τῆς πόλεως αὐτῆς. καὶ ἦλθον 11
πρὸς αὐτήν καὶ εἶπεν πρὸς αὐτούς ἀκούσατε δή μου ἄρχοντες τῶν κατοικούντων ἐν Βαιτυλουα ὅτι οὐκ εὐθὴς ὁ λόγος ὑμῶν ὃν ἐλαλήσατε ἐναντίον τοῦ λαοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ ἐστήσατε τὸν ὅρκον τοῦτον ὃν ἐλαλήσατε ἀνὰ μέσον τοῦ θεοῦ καὶ ὑμῶν καὶ εἴπατε ἐκδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ κύριος βοήθειαν ὑμῖν. καὶ νῦν τίνες ἐστὲ ὑμεῖς οἳ 12
ἐπειράσατε τὸν θεὸν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον καὶ ἵστατε ὑπὲρ τοῦ θεοῦ ἐν μέσῳ υἱῶν ἀνθρώπων. καὶ νῦν κύριον παντοκρά- 13
τορα ἐξετάζετε καὶ οὐθὲν ἐπιγνώσεσθε ἕως τοῦ αἰῶνος. ὅτι βάθος 14
καρδίας ἀνθρώπου οὐχ εὑρήσετε καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ διαλήμψεσθε καὶ πῶς τὸν θεόν ὃς ἐποίησεν πάντα ταῦτα ἐρευνήσετε καὶ τὸν νοῦν αὐτοῦ ἐπιγνώσεσθε καὶ τὸν λογισμὸν αὐτοῦ κατανοήσετε μηδαμῶς ἀδελφοί μὴ παροργίζετε κύριον τὸν θεὸν ἡμῶν. ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς πέντε ἡμέραις βοηθῆσαι ἡ- 15
μῖν αὐτὸς ἔχει τὴν ἐξουσίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις ἢ καὶ

---

v.9 καί[cc] ἀκούω[viaa3s] ὁ[danp] ῥῆμα[nanpc] ὁ[dgms] λαός[ngmsc] ὁ[danp] πονηρός[ananpn] ἐπί[pa] ὁ[dams] ἄρχων[namsc] ὅτι[cs] ὀλιγοψυχέω[viaa3p] ἐν[pd] ὁ[ddfs] σπάνις[ndfsc] ὁ[dgnp] ὕδωρ[ngnpc] καί[cc] ἀκούω[viaa3s] πᾶς[aiampn] ὁ[damp] λόγος[nampc] Ἰουδίθ[nnfsp] ὅς[rramp] λαλέω[viaa3s] πρός[pa] αὐτός[rpamp] Ὀζίας[nnmsp] ὡς[cs] ὄμνυμι[viaa3s] αὐτός[rpdmp] παραδίδωμι[vnfa] ὁ[dafs] πόλις[nafsc] μετά[pa] ἡμέρα[nafpc] πέντε[ac—n] ὁ[ddmp] Ἀσσύριος[ndmpp]. **v.10** καί[cc] ἀποστέλλω[vpaanfs] ὁ[dafs] ἄβρα[nafsc] αὐτός[rpgfs] ὁ[dafs] ἐφίστημι[vpxaafs] πᾶς[aidnpn] ὁ[ddnp] ὑπάρχω[vppadnp] αὐτός[rpgfs] καλέω[viaa3s] Χαβριν[namsp] καί[cc] Χαρμιν[namsp] ὁ[damp] πρεσβύτερος[anampc] ὁ[dgfs] πόλις[ngfsc] αὐτός[rpgfs]. **v.11** καί[cc] ἔρχομαι[viaa3p] πρός[pa] αὐτός[rpafs] καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpamp] ἀκούω[vdaa2p] δή[x] ἐγώ[rpg-s] ἄρχων[nnmpc] ὁ[dgmp] κατοικέω[vppagmp] ἐν[pd] Βαιτυλουα[ndfsp] ὅτι[cs] οὐ[b] εὐθής[annmsn] ὁ[dnms] λόγος[nnmsc] σύ[rpg-p] ὅς[rrams] λαλέω[viaa2p] ἐναντίον[pg] ὁ[dgms] λαός[ngmsc] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] οὗτος[rddfs] καί[cc] ἵστημι[viaa2p] ὁ[dams] ὅρκος[namsc] οὗτος[rdams] ὅς[rrams] λαλέω[viaa2p] ἀνά[pa] μέσος[anansn] ὁ[dgms] θεός[ngmsc] καί[cc] σύ[rpg-p] καί[cc] λέγω[viaa2p] ἐκδίδωμι[vnfa] ὁ[dafs] πόλις[nafsc] ὁ[ddmp] ἐχθρός[andmpn] ἐγώ[rpg-p] ἐάν[cs] μή[x] ἐν[pd] αὐτός[rpdfp] ἐπιστρέφω[vsaa3s] κύριος[nnmsc] βοήθεια[nafsc] σύ[rpd-p]. **v.12** καί[cc] νῦν[b] τίς[rqnmp] εἰμί[vipa2p] σύ[rpn-p] ὅς[rrnmp] πειράζω[viaa2p] ὁ[dams] θεός[namsc] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[ddfs] σήμερον[b] καί[cc] ἵστημι[vipa2p] ὑπέρ[pg] ὁ[dgms] θεός[ngmsc] ἐν[pd] μέσος[andnsn] υἱός[ngmpc] ἄνθρωπος[ngmpc]. **v.13** καί[cc] νῦν[b] κύριος[namsc] παντοκράτωρ[namsc] ἐξετάζω[vipa2p] καί[cc] οὐθείς[rians] ἐπιγινώσκω[vifm2p] ἕως[pg] ὁ[dgms] αἰών[ngmsc]. **v.14** ὅτι[cs] βάθος[nansc] καρδία[ngfsc] ἄνθρωπος[ngmsc] οὐ[b] εὑρίσκω[vifa2p] καί[cc] λόγος[nampc] ὁ[dgfs] διάνοια[ngfsc] αὐτός[rpgms] οὐ[b] διαλαμβάνω[vifm2p] καί[cc] πᾶς[b] ὁ[dams] θεός[namsc] ὅς[rrnms] ποιέω[viaa3s] πᾶς[aianpn] οὗτος[rdanp] ἐρευνάω[vifa2p] καί[cc] ὁ[dams] νοῦς[namsc] αὐτός[rpgms] ἐπιγινώσκω[vifm2p] καί[cc] ὁ[dams] λογισμός[namsc] αὐτός[rpgms] κατανοέω[vifa2p] μηδαμῶς[b] ἀδελφός[nvmpc] μή[x] παροργίζω[vdpa2p] κύριος[namsc] ὁ[dams] θεός[namsc] ἐγώ[rpg-p].

16 ὀλεθρεῦσαι ἡμᾶς πρὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν. ὑμεῖς δὲ μὴ
ἐνεχυράζετε τὰς βουλὰς κυρίου τοῦ θεοῦ ἡμῶν ὅτι οὐχ ὡς ἄν-
θρωπος ὁ θεὸς ἀπειληθῆναι οὐδ᾽ ὡς υἱὸς ἀνθρώπου διαιτηθῆναι.
17 διόπερ ἀναμένοντες τὴν παρ᾽ αὐτοῦ σωτηρίαν ἐπικαλεσώμεθα αὐ-
τὸν εἰς βοήθειαν ἡμῶν καὶ εἰσακούσεται τῆς φωνῆς ἡμῶν ἐὰν ᾖ
18 αὐτῷ ἀρεστόν. ὅτι οὐκ ἀνέστη ἐν ταῖς γενεαῖς ἡμῶν οὐδέ ἐστιν ἐν
τῇ ἡμέρᾳ τῇ σήμερον οὔτε φυλὴ οὔτε πατριὰ οὔτε δῆμος οὔτε πό-
λις ἐξ ἡμῶν οἳ προσκυνοῦσι θεοῖς χειροποιήτοις καθάπερ ἐγένετο
19 ἐν ταῖς πρότερον ἡμέραις. ὧν χάριν ἐδόθησαν εἰς ῥομφαίαν καὶ
εἰς διαρπαγὴν οἱ πατέρες ἡμῶν καὶ ἔπεσον πτῶμα μέγα ἐνώπιον
20 τῶν ἐχθρῶν ἡμῶν. ἡμεῖς δὲ ἕτερον θεὸν οὐκ ἔγνωμεν πλὴν αὐ-
τοῦ ὅθεν ἐλπίζομεν ὅτι οὐχ ὑπερόψεται ἡμᾶς οὐδ᾽ ἀπὸ τοῦ γένους
21 ἡμῶν. ὅτι ἐν τῷ λημφθῆναι ἡμᾶς οὕτως καὶ λημφθήσεται πᾶσα
ἡ Ιουδαία καὶ προνομευθήσεται τὰ ἅγια ἡμῶν καὶ ἐκζητήσει τὴν
22 βεβήλωσιν αὐτῶν ἐκ τοῦ αἵματος ἡμῶν. καὶ τὸν φόνον τῶν ἀ-
δελφῶν ἡμῶν καὶ τὴν αἰχμαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν τῆς
κληρονομίας ἡμῶν ἐπιστρέψει εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν
οὗ ἐὰν δουλεύσωμεν ἐκεῖ καὶ ἐσόμεθα εἰς πρόσκομμα καὶ εἰς
23 ὄνειδος ἐναντίον τῶν κτωμένων ἡμᾶς. ὅτι οὐ κατευθυνθήσεται
ἡ δουλεία ἡμῶν εἰς χάριν ἀλλ᾽ εἰς ἀτιμίαν θήσει αὐτὴν κύριος
24 ὁ θεὸς ἡμῶν. καὶ νῦν ἀδελφοί ἐπιδειξώμεθα τοῖς ἀδελφοῖς ἡ-

---

v.15 ὅτι^{cs} ἐάν^{cs} μή^{x} βούλομαι^{vspm3s} ἐν^{pd} ὁ^{ddfp} πέντε$^{ac—n}$ ἡμέρα^{ndfpc} βοηθέω^{vnaa} ἐγώ$^{rpd-p}$ αὐτός^{rpnms} ἔχω^{vipa3s} ὁ^{dafs} ἐξουσία^{nafsc} ἐν^{pd} ὅς^{rrdfp} θέλω^{vipa3s} σκεπάζω^{vnaa} ἡμέρα^{ndfpc} ἤ^{cc} καί^{cc} ὀλεθρεύω^{vnaa} ἐγώ$^{rpa-p}$ πρό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgmp} ἐχθρός^{angmpn} ἐγώ$^{rpg-p}$. **v.16** σύ$^{rpn-p}$ δέ^{cc} μή^{x} ἐνεχυράζω^{vdpa2p} ὁ^{dafp} βουλή^{nafpc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} ἐγώ$^{rpg-p}$ ὅτι^{cs} οὐ^{b} ὡς^{cs} ἄνθρωπος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἀπειλέω^{vnap} οὐδέ^{cc} ὡς^{cs} υἱός^{nnmsc} ἄνθρωπος^{ngmsc} διαιτέομαι^{vnap}. **v.17** διόπερ^{cc} ἀναμένω^{vppanmp} ὁ^{dafs} παρά^{pg} αὐτός^{rpgms} σωτηρία^{nafsc} ἐπικαλέω^{vsam1p} αὐτός^{rpams} εἰς^{pa} βοήθεια^{nafsc} ἐγώ$^{rpg-p}$ καί^{cc} εἰσακούω^{vifm3s} ὁ^{dgfs} φωνή^{ngfsc} ἐγώ$^{rpg-p}$ ἐάν^{cs} εἰμί^{vspa3s} αὐτός^{rpdms} ἀρεστός^{annnsn}. **v.18** ὅτι^{cs} οὐ^{b} ἀνίστημι^{viaa3s} ἐν^{pd} ὁ^{ddfp} γενεά^{ndfpc} ἐγώ$^{rpg-p}$ οὐδέ^{cc} εἰμί^{vipa3s} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{ddfs} σήμερον^{b} οὔτε^{cc} φυλή^{nnfsc} οὔτε^{cc} πατριά^{nnfsc} οὔτε^{cc} δῆμος^{nnmsc} οὔτε^{cc} πόλις^{nnfsc} ἐκ^{pg} ἐγώ$^{rpg-p}$ ὅς^{rrnmp} προσκυνέω^{vipa3p} θεός^{ndmpc} χειροποίητος^{andmpn} καθάπερ^{cs} γίνομαι^{viam3s} ἐν^{pd} ὁ^{ddfp} πρότερος^{b} ἡμέρα^{ndfpc}. **v.19** ὅς^{rrgnp} χάριν^{pg} δίδωμι^{viap3p} εἰς^{pa} ῥομφαία^{nafsc} καί^{cc} εἰς^{pa} διαρπαγή^{nafsc} ὁ^{dnmp} πατήρ^{nnmpc} ἐγώ$^{rpg-p}$ καί^{cc} πίπτω^{viaa3p} πτῶμα^{nansc} μέγας^{anansn} ἐνώπιον^{pg} ὁ^{dgmp} ἐχθρός^{angmpn} ἐγώ$^{rpg-p}$. **v.20** ἐγώ$^{rpn-p}$ δέ^{cc} ἕτερος^{aiamsn} θεός^{namsc} οὐ^{b} γινώσκω^{viaa1p} πλήν^{pg} αὐτός^{rpgms} ὅθεν^{b} ἐλπίζω^{vipa1p} ὅτι^{cs} οὐ^{b} ὑπεροράω^{vifm3s} ἐγώ$^{rpa-p}$ οὐδέ^{cc} ἀπό^{pg} ὁ^{dgns} γένος^{ngnsc} ἐγώ$^{rpg-p}$. **v.21** ὅτι^{cs} ἐν^{pd} ὁ^{ddns} λαμβάνω^{vnap} ἐγώ$^{rpa-p}$ οὕτως^{b} καί^{b} λαμβάνω^{vifp3s} πᾶς^{ainfsn} ὁ^{dnfs} Ἰουδαία^{nnfsp} καί^{cc} προνομεύω^{vifp3s} ὁ^{dnnp} ἅγιος^{annnpn} ἐγώ$^{rpg-p}$ καί^{cc} ἐκζητέω^{vifa3s} ὁ^{dafs} βεβήλωσις^{nafsc} αὐτός^{rpgmp} ἐκ^{pg} ὁ^{dgns} αἷμα^{ngnsc} ἐγώ$^{rpg-p}$. **v.22** καί^{cc} ὁ^{dams} φόνος^{namsc} ὁ^{dgmp} ἀδελφός^{ngmpc} ἐγώ$^{rpg-p}$ καί^{cc} ὁ^{dafs} αἰχμαλωσία^{nafsc} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} ὁ^{dafs} ἐρήμωσις^{nafsc} ὁ^{dgfs} κληρονομία^{ngfsc} ἐγώ$^{rpg-p}$ ἐπιστρέφω^{vifa3s} εἰς^{pa} κεφαλή^{nafsc} ἐγώ$^{rpg-p}$ ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc} ὅς^{b} ἐάν^{cs} δουλεύω^{vsaa1p} ἐκεῖ^{b} καί^{cc} εἰμί^{vifm1p} εἰς^{pa} πρόσκομμα^{nansc} καί^{cc} εἰς^{pa} ὄνειδος^{nansc} ἐναντίον^{pg} ὁ^{dgmp} κτάομαι^{vppmgmp} ἐγώ$^{rpa-p}$. **v.23** ὅτι^{cs} οὐ^{b} κατευθύνω^{vifp3s} ὁ^{dnfs} δουλεία^{nnfsc} ἐγώ$^{rpg-p}$ εἰς^{pa} χάρις^{nafsc} ἀλλά^{cc} εἰς^{pa} ἀτιμία^{nafsc} τίθημι^{vifa3s} αὐτός^{rpafs} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-p}$.

μῶν ὅτι ἐξ ἡμῶν κρέμαται ἡ ψυχὴ αὐτῶν καὶ τὰ ἅγια καὶ ὁ οἶκος καὶ τὸ θυσιαστήριον ἐπεστήρισται ἐφ᾽ ἡμῖν. παρὰ ταῦτα πάντα 25
εὐχαριστήσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν ὃς πειράζει ἡμᾶς καθὰ καὶ
τοὺς πατέρας ἡμῶν. μνήσθητε ὅσα ἐποίησεν μετὰ Αβρααμ καὶ 26
ὅσα ἐπείρασεν τὸν Ισαακ καὶ ὅσα ἐγένετο τῷ Ιακωβ ἐν Μεσοποτα-
μίᾳ τῆς Συρίας ποιμαίνοντι τὰ πρόβατα Λαβαν τοῦ ἀδελφοῦ τῆς
μητρὸς αὐτοῦ. ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν εἰς ἐτασμὸν 27
τῆς καρδίας αὐτῶν καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν ἀλλ᾽ εἰς νουθέτησιν
μαστιγοῖ κύριος τοὺς ἐγγίζοντας αὐτῷ. καὶ εἶπεν πρὸς αὐτὴν 28
Οζιας πάντα ὅσα εἶπας ἐν ἀγαθῇ καρδίᾳ ἐλάλησας καὶ οὐκ ἔστιν
ὃς ἀντιστήσεται τοῖς λόγοις σου. ὅτι οὐκ ἐν τῇ σήμερον ἡ σοφία 29
σου πρόδηλός ἐστιν ἀλλ᾽ ἀπ᾽ ἀρχῆς ἡμερῶν σου ἔγνω πᾶς ὁ λα-
ὸς τὴν σύνεσίν σου καθότι ἀγαθόν ἐστιν τὸ πλάσμα τῆς καρδίας
σου. ἀλλὰ ὁ λαὸς δεδίψηκεν σφόδρα καὶ ἠνάγκασαν ἡμᾶς ποι- 30
ῆσαι καθὰ ἐλαλήσαμεν αὐτοῖς καὶ ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς ὅρκον ὃν
οὐ παραβησόμεθα. καὶ νῦν δεήθητι περὶ ἡμῶν ὅτι γυνὴ εὐσε- 31
βὴς εἶ καὶ ἀποστελεῖ κύριος τὸν ὑετὸν εἰς πλήρωσιν τῶν λάκκων
ἡμῶν καὶ οὐκ ἐκλείψομεν ἔτι. καὶ εἶπεν πρὸς αὐτοὺς Ιουδιθ 32
ἀκούσατέ μου καὶ ποιήσω πρᾶγμα ὃ ἀφίξεται εἰς γενεὰς γενεῶν
υἱοῖς τοῦ γένους ἡμῶν. ὑμεῖς στήσεσθε ἐπὶ τῆς πύλης τὴν νύ- 33
κτα ταύτην καὶ ἐξελεύσομαι ἐγὼ μετὰ τῆς ἄβρας μου καὶ ἐν ταῖς

---

v.24 καί[cc] νῦν[b] ἀδελφός[nvmpc] ἐπιδείκνυμι[vsam1p] ὁ[ddmp] ἀδελφός[ndmpc] ἐγώ[rpg-p] ὅτι[cs] ἐκ[pg] ἐγώ[rpg-p] κρεμάννυμι[vipp3s] ὁ[dnfs] ψυχή[nnfsc] αὐτός[rpgmp] καί[cc] ὁ[dnnp] ἅγιος[annnpn] καί[cc] ὁ[dnms] οἶκος[nnmsc] καί[cc] ὁ[dnns] θυσιαστήριον[nnnsc] ἐπιστηρίζω[vixm3s] ἐπί[pd] ἐγώ[rpd-p]. **v.25** παρά[pa] οὗτος[rdanp] πᾶς[aianpn] εὐχαριστέω[vsaa1p] κύριος[ndmsc] ὁ[ddms] θεός[ndmsc] ἐγώ[rpg-p] ὅς[rrnms] πειράζω[vipa3s] ἐγώ[rpa-p] καθά[cs] καί[b] ὁ[damp] πατήρ[nampc] ἐγώ[rpg-p]. **v.26** μιμνήσκομαι[vdap2p] ὅσος[aranpn] ποιέω[viaa3s] μετά[pg] Ἀβραάμ[ngmsp] καί[cc] ὅσος[aranpn] πειράζω[viaa3s] ὁ[dams] Ἰσαάκ[namsp] καί[cc] ὅσος[rrnnpn] γίνομαι[viam3s] ὁ[ddms] Ἰακώβ[ndmsp] ἐν[pd] Μεσοποταμία[ndfsp] ὁ[dgfs] Συρία[ngfsp] ποιμαίνω[vppadms] ὁ[danp] πρόβατον[nanpc] Λαβαν[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] ὁ[dgfs] μήτηρ[ngfsc] αὐτός[rpgms]. **v.27** ὅτι[cs] οὐ[b] καθώς[cs] ἐκεῖνος[rdamp] πυρόω[viaa3s] εἰς[pa] ἐτασμός[namsc] ὁ[dgfs] καρδία[ngfsc] αὐτός[rpgmp] καί[cc] ἐγώ[rpa-p] οὐ[b] ἐκδικέω[viaa3s] ἀλλά[cc] εἰς[pa] νουθέτησις[nafsc] μαστιγόω[vipa3s] κύριος[nnmsc] ὁ[damp] ἐγγίζω[vppaamp] αὐτός[rpdms]. **v.28** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpafs] Ὀζίας[nnmsp] πᾶς[aianpn] ὅσος[aranpn] λέγω[viaa2s] ἐν[pd] ἀγαθός[andfsn] καρδία[ndfsc] λαλέω[viaa2s] καί[cc] οὐ[b] εἰμί[vipa3s] ὅς[rrnms] ἀνθίστημι[vifm3s] ὁ[ddmp] λόγος[ndmpc] σύ[rpg-s]. **v.29** ὅτι[cs] οὐ[b] ἐν[pd] ὁ[ddfs] σήμερον[b] ὁ[dnfs] σοφία[nnfsc] σύ[rpg-s] πρόδηλος[annfsn] εἰμί[vipa3s] ἀλλά[cc] ἀπό[pg] ἀρχή[ngfsc] ἡμέρα[ngfpc] σύ[rpg-s] γινώσκω[viaa3s] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] ὁ[dafs] σύνεσις[nafsc] σύ[rpg-s] καθότι[cs] ἀγαθός[annnsn] εἰμί[vipa3s] ὁ[dnns] πλάσμα[nnnsc] ὁ[dgfs] καρδία[ngfsc] σύ[rpg-s]. **v.30** ἀλλά[cc] ὁ[dnms] λαός[nnmsc] διψάω[vixa3s] σφόδρα[b] καί[cc] ἀναγκάζω[viaa3p] ἐγώ[rpa-p] ποιέω[vnaa] καθά[cs] λαλέω[viaa1p] αὐτός[rpdmp] καί[cc] ἐπάγω[vnaa] ἐπί[pa] ἐγώ[rpa-p] ὅρκος[namsc] ὅς[rrams] οὐ[b] παραβαίνω[vifm1p]. **v.31** καί[cc] νῦν[b] δέομαι[vdap2s] περί[pg] ἐγώ[rpg-p] ὅτι[cs] γυνή[nnfsc] εὐσεβής[annfsn] εἰμί[vipa2s] καί[cc] ἀποστέλλω[vifa3s] κύριος[nnmsc] ὁ[dams] ὑετός[namsc] εἰς[pa] πλήρωσις[nafsc] ὁ[dgmp] λάκκος[ngmpc] ἐγώ[rpg-p] καί[cc] οὐ[b] ἐκλείπω[vifa1p] ἔτι[b]. **v.32** καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpamp] Ἰουδίθ[nnfsp] ἀκούω[vdaa2p] ἐγώ[rpg-s] καί[cc] ποιέω[vifa1s] πρᾶγμα[nansc] ὅς[rrnns] ἀφικνέομαι[vifm3s] εἰς[pa] γενεά[nafpc] γενεά[ngfpc] υἱός[ndmpc] ὁ[dgns] γένος[ngnsc] ἐγώ[rpg-p].

ἡμέραις μεθ' ἃς εἶπατε παραδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν
34 ἐπισκέψεται κύριος τὸν Ισραηλ ἐν χειρί μου. ὑμεῖς δὲ οὐκ ἐξε-
ρευνήσετε τὴν πρᾶξίν μου οὐ γὰρ ἐρῶ ὑμῖν ἕως τοῦ τελεσθῆναι ἃ
35 ἐγὼ ποιῶ. καὶ εἶπεν Οζιας καὶ οἱ ἄρχοντες πρὸς αὐτήν πορεύου
εἰς εἰρήνην καὶ κύριος ὁ θεὸς ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν
36 ἐχθρῶν ἡμῶν. καὶ ἀποστρέψαντες ἐκ τῆς σκηνῆς ἐπορεύθησαν
ἐπὶ τὰς διατάξεις αὐτῶν.

9 Ιουδιθ δὲ ἔπεσεν ἐπὶ πρόσωπον καὶ ἐπέθετο σποδὸν ἐπὶ τὴν
κεφαλὴν αὐτῆς καὶ ἐγύμνωσεν ὃν ἐνεδεδύκει σάκκον καὶ ἦν ἄρτι
προσφερόμενον ἐν Ιερουσαλημ εἰς τὸν οἶκον τοῦ θεοῦ τὸ θυμί-
αμα τῆς ἑσπέρας ἐκείνης καὶ ἐβόησεν φωνῇ μεγάλῃ Ιουδιθ πρὸς
2 κύριον καὶ εἶπεν. κύριε ὁ θεὸς τοῦ πατρός μου Συμεων ᾧ ἔ-
δωκας ἐν χειρὶ ῥομφαίαν εἰς ἐκδίκησιν ἀλλογενῶν οἳ ἔλυσαν μή-
τραν παρθένου εἰς μίασμα καὶ ἐγύμνωσαν μηρὸν εἰς αἰσχύνην
καὶ ἐβεβήλωσαν μήτραν εἰς ὄνειδος εἶπας γὰρ οὐχ οὕτως ἔσται
3 καὶ ἐποίησαν. ἀνθ' ὧν ἔδωκας ἄρχοντας αὐτῶν εἰς φόνον καὶ
τὴν στρωμνὴν αὐτῶν ἣ ᾑδέσατο τὴν ἀπάτην αὐτῶν ἀπατηθεῖσαν
εἰς αἷμα καὶ ἐπάταξας δούλους ἐπὶ δυνάσταις καὶ δυνάστας ἐπὶ
4 θρόνους αὐτῶν. καὶ ἔδωκας γυναῖκας αὐτῶν εἰς προνομὴν καὶ
θυγατέρας αὐτῶν εἰς αἰχμαλωσίαν καὶ πάντα τὰ σκῦλα αὐτῶν εἰς
διαίρεσιν υἱῶν ἠγαπημένων ὑπὸ σοῦ οἳ καὶ ἐζήλωσαν τὸν ζῆλόν
σου καὶ ἐβδελύξαντο μίασμα αἵματος αὐτῶν καὶ ἐπεκαλέσαντό σε

---

v.33 σύ$^{rpn-p}$ ἵστημι^{vifm2p} ἐπί^{pg} ὁ^{dgfs} πύλη^{ngfsc} ὁ^{dafs} νύξ^{nafsc} οὗτος^{rdafs} καί^{cc} ἐξέρχομαι^{vifm1s} ἐγώ$^{rpn-s}$ μετά^{pg} ὁ^{dgfs} ἄβρα^{ngfsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} μετά^{pa} ὅς^{rrafp} λέγω^{viaa2p} παραδίδωμι^{vnfa} ὁ^{dafs} πόλις^{nafsc} ὁ^{ddmp} ἐχθρός^{andmpn} ἐγώ$^{rpg-p}$ ἐπισκέπτομαι^{vifm3s} κύριος^{nnmsc} ὁ^{dams} Ἰσραήλ^{namsp} ἐν^{pd} χείρ^{ndfsc} ἐγώ$^{rpg-s}$. **v.34** σύ$^{rpn-p}$ δέ^{cc} οὐ^{b} ἐξερευνάω^{vifa2p} ὁ^{dafs} πρᾶξις^{nafsc} ἐγώ$^{rpg-s}$ οὐ^{b} γάρ^{cc} λέγω^{vifa1s} σύ$^{rpd-p}$ ἕως^{cs} ὁ^{dgns} τελέω^{vnap} ὅς^{rranp} ἐγώ$^{rpn-s}$ ποιέω^{vipa1s}. **v.35** καί^{cc} λέγω^{viaa3s} Ὀζίας^{nnmsp} καί^{cc} ὁ^{dnmp} ἄρχων^{nnmpc} πρός^{pa} αὐτός^{rpafs} πορεύομαι^{vdpm2s} εἰς^{pa} εἰρήνη^{nafsc} καί^{cc} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἔμπροσθεν^{pg} σύ$^{rpg-s}$ εἰς^{pa} ἐκδίκησις^{nafsc} ὁ^{dgmp} ἐχθρός^{angmpn} ἐγώ$^{rpg-p}$. **v.36** καί^{cc} ἀποστρέφω^{vpaanmp} ἐκ^{pg} ὁ^{dgfs} σκηνή^{ngfsc} πορεύομαι^{viap3p} ἐπί^{pa} ὁ^{dafp} διάταξις^{nafpc} αὐτός^{rpgmp}. **9. v.1** Ἰουδίθ^{nnfsp} δέ^{cc} πίπτω^{viaa3s} ἐπί^{pa} πρόσωπον^{nansc} καί^{cc} ἐπιτίθημι^{viam3s} σποδός^{nafsc} ἐπί^{pa} ὁ^{dafs} κεφαλή^{nafsc} αὐτός^{rpgfs} καί^{cc} γυμνόω^{viaa3s} ὅς^{rrams} ἐνδύω^{viya3s} σάκκος^{namsc} καί^{cc} εἰμί^{viia3s} ἄρτι^{b} προσφέρω^{vpppnns} ἐν^{pd} Ἰερουσαλήμ^{ndfsp} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} ὁ^{dgms} θεός^{ngmsc} ὁ^{dnns} θυμίαμα^{nnnsc} ὁ^{dgfs} ἑσπέρα^{ngfsc} ἐκεῖνος^{rdgfs} καί^{cc} βοάω^{viaa3s} φωνή^{ndfsc} μέγας^{andfsn} Ἰουδίθ^{nnfsp} πρός^{pa} κύριος^{namsc} καί^{cc} λέγω^{viaa3s}. **v.2** κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgms} πατήρ^{ngmsc} ἐγώ$^{rpg-s}$ Συμεών^{ngmsp} ὅς^{rrdms} δίδωμι^{viaa2s} ἐν^{pd} χείρ^{ndfsc} ῥομφαία^{nafsc} εἰς^{pa} ἐκδίκησις^{nafsc} ἀλλογενής^{angmpn} ὅς^{rrnmp} λύω^{viaa3p} μήτρα^{nafsc} παρθένος^{ngfsc} εἰς^{pa} μίασμα^{nansc} καί^{cc} γυμνόω^{viaa3p} μηρός^{namsc} εἰς^{pa} αἰσχύνη^{nafsc} καί^{cc} βεβηλόω^{viaa3p} μήτρα^{nafsc} εἰς^{pa} ὄνειδος^{nansc} λέγω^{viaa2s} γάρ^{cc} οὐ^{b} οὕτως^{b} εἰμί^{vifm3s} καί^{cc} ποιέω^{viaa3p}. **v.3** ἀντί^{pg} ὅς^{rrgnp} δίδωμι^{viaa2s} ἄρχων^{nampc} αὐτός^{rpgmp} εἰς^{pa} φόνος^{namsc} καί^{cc} ὁ^{dafs} στρωμνή^{nafsc} αὐτός^{rpgmp} ὅς^{rrnfs} αἰδέομαι^{viam3s} ὁ^{dafs} ἀπάτη^{nafsc} αὐτός^{rpgmp} ἀπατάω^{vpapafs} εἰς^{pa} αἷμα^{nansc} καί^{cc} πατάσσω^{viaa2s} δοῦλος^{nampc} ἐπί^{pd} δυνάστης^{ndmpc} καί^{cc} δυνάστης^{nampc} ἐπί^{pa} θρόνος^{nampc} αὐτός^{rpgmp}.

εἰς βοηθόν ὁ θεὸς ὁ θεὸς ὁ ἐμός καὶ εἰσάκουσον ἐμοῦ τῆς χήρας.
σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκείνων καὶ ἐκεῖνα καὶ τὰ μετέπειτα 5
καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα διενοήθης καὶ ἐγενήθησαν ἃ ἐνε-
νοήθης. καὶ παρέστησαν ἃ ἐβουλεύσω καὶ εἶπαν ἰδοὺ πάρεσμεν 6
πᾶσαι γὰρ αἱ ὁδοί σου ἕτοιμοι καὶ ἡ κρίσις σου ἐν προγνώσει.
ἰδοὺ γὰρ Ἀσσύριοι ἐπληθύνθησαν ἐν δυνάμει αὐτῶν ὑψώθησαν 7
ἐφ' ἵππῳ καὶ ἀναβάτῃ ἐγαυρίασαν ἐν βραχίονι πεζῶν ἤλπισαν ἐν
ἀσπίδι καὶ ἐν γαίσῳ καὶ τόξῳ καὶ σφενδόνῃ καὶ οὐκ ἔγνωσαν ὅτι
σὺ εἶ κύριος συντρίβων πολέμους. κύριος ὄνομά σοι σὺ ῥάξον 8
αὐτῶν τὴν ἰσχὺν ἐν δυνάμει σου καὶ κάταξον τὸ κράτος αὐτῶν ἐν
τῷ θυμῷ σου ἐβουλεύσαντο γὰρ βεβηλῶσαι τὰ ἅγιά σου μιᾶναι τὸ
σκήνωμα τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης σου καταβα-
λεῖν σιδήρῳ κέρας θυσιαστηρίου σου. βλέψον εἰς ὑπερηφανίαν 9
αὐτῶν ἀπόστειλον τὴν ὀργήν σου εἰς κεφαλὰς αὐτῶν δὸς ἐν χειρί
μου τῆς χήρας ὃ διενοήθην κράτος. πάταξον δοῦλον ἐκ χειλέων 10
ἀπάτης μου ἐπ' ἄρχοντι καὶ ἄρχοντα ἐπὶ θεράποντι αὐτοῦ θραῦ-
σον αὐτῶν τὸ ἀνάστεμα ἐν χειρὶ θηλείας. οὐ γὰρ ἐν πλήθει τὸ 11
κράτος σου οὐδὲ ἡ δυναστεία σου ἐν ἰσχύουσιν ἀλλὰ ταπεινῶν
εἶ θεὸς ἐλαττόνων εἶ βοηθὸς ἀντιλήμπτωρ ἀσθενούντων ἀπεγνω-

---

v.4 καί^{cc} δίδωμι^{viaa2s} γυνή^{nafpc} αὐτός^{rpgmp} εἰς^{pa} προνομή^{nafsc} καί^{cc} θυγάτηρ^{nafpc} αὐτός^{rpgmp} εἰς^{pa} αἰχμαλωσία^{nafsc} καί^{cc} πᾶς^{aianpn} ὁ^{danp} σκῦλον^{nanpc} αὐτός^{rpgmp} εἰς^{pa} διαίρεσις^{nafsc} υἱός^{ngmpc} ἀγαπάω^{vpxpgmp} ὑπό^{pg} σύ$^{rpg-s}$ ὅς^{rrnmp} καί^{cc} ζηλόω^{viaa3p} ὁ^{dams} ζῆλος^{namsc} σύ$^{rpg-s}$ καί^{cc} βδελύσσω^{viam3p} μίασμα^{nansc} αἷμα^{ngnsc} αὐτός^{rpgmp} καί^{cc} ἐπικαλέω^{viam3p} σύ$^{rpa-s}$ εἰς^{pa} βοηθός^{namsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} ἐμός^{asnmsn} καί^{b} εἰσακούω^{vdaa2s} ἐγώ$^{rpg-s}$ ὁ^{dgfs} χήρα^{ngfsc}. **v.5** σύ$^{rpn-s}$ γάρ^{cc} ποιέω^{viaa2s} ὁ^{danp} πρότερος^{ananpn} ἐκεῖνος^{rdgnp} καί^{cc} ἐκεῖνος^{rdanp} καί^{cc} ὁ^{danp} μετέπειτα^{b} καί^{cc} ὁ^{danp} νῦν^{b} καί^{cc} ὁ^{danp} ἐπέρχομαι^{vppmanp} διανοέομαι^{viap2s} καί^{cc} γίνομαι^{viap3p} ὅς^{rranp} ἐννοέω^{viap2s}. **v.6** καί^{cc} παρίστημι^{viaa3p} ὅς^{rranp} βουλεύω^{viam2s} καί^{cc} λέγω^{viaa3p} ἰδού^{i} πάρειμι^{vipa1p} πᾶς^{ainfpn} γάρ^{cc} ὁ^{dnfp} ὁδός^{nnfpc} σύ$^{rpg-s}$ ἕτοιμος^{annfpn} καί^{cc} ὁ^{dnfs} κρίσις^{nnfsc} σύ$^{rpg-s}$ ἐν^{pd} πρόγνωσις^{ndfsc}. **v.7** ἰδού^{i} γάρ^{cc} Ἀσσύριος^{nnmpp} πληθύνω^{viap3p} ἐν^{pd} δύναμις^{ndfsc} αὐτός^{rpgmp} ὑψόω^{viap3p} ἐπί^{pd} ἵππος^{ndmsc} καί^{cc} ἀναβάτης^{ndmsc} γαυριάω^{viaa3p} ἐν^{pd} βραχίων^{ndmsc} πεζός^{angmpn} ἐλπίζω^{viaa3p} ἐν^{pd} ἀσπίς^{ndfsc} καί^{cc} ἐν^{pd} γαῖσος^{ndmsc} καί^{cc} τόξον^{ndnsc} καί^{cc} σφενδόνη^{ndfsc} καί^{cc} οὐ^{b} γινώσκω^{viaa3p} ὅτι^{cs} σύ$^{rpn-s}$ εἰμί^{vipa2s} κύριος^{nnmsc} συντρίβω^{vppanms} πόλεμος^{nampc}. **v.8** κύριος^{nnmsc} ὄνομα^{nnnsc} σύ$^{rpd-s}$ σύ$^{rpn-s}$ ῥάσσω^{vdaa2s} αὐτός^{rpgmp} ὁ^{dafs} ἰσχύς^{nafsc} ἐν^{pd} δύναμις^{ndfsc} σύ$^{rpg-s}$ καί^{cc} κατάγνυμι^{vdaa2s} ὁ^{dans} κράτος^{nansc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddms} θυμός^{ndmsc} σύ$^{rpg-s}$ βουλεύω^{viam3p} γάρ^{cc} βεβηλόω^{vnaa} ὁ^{danp} ἅγιος^{ananpn} σύ$^{rpg-s}$ μιαίνω^{vnaa} ὁ^{dans} σκήνωμα^{nansc} ὁ^{dgfs} κατάπαυσις^{ngfsc} ὁ^{dgns} ὄνομα^{ngnsc} ὁ^{dgfs} δόξα^{ngfsc} σύ$^{rpg-s}$ καταβάλλω^{vnaa} σίδηρος^{ndmsc} κέρας^{nansc} θυσιαστήριον^{ngnsc} σύ$^{rpg-s}$. **v.9** βλέπω^{vdaa2s} εἰς^{pa} ὑπερηφανία^{nafsc} αὐτός^{rpgmp} ἀποστέλλω^{vdaa2s} ὁ^{dafs} ὀργή^{nafsc} σύ$^{rpg-s}$ εἰς^{pa} κεφαλή^{nafpc} αὐτός^{rpgmp} δίδωμι^{vdaa2s} ἐν^{pd} χείρ^{ndfsc} ἐγώ$^{rpg-s}$ ὁ^{dgfs} χήρα^{ngfsc} ὅς^{rrans} διανοέομαι^{viap1s} κράτος^{nansc}. **v.10** πατάσσω^{vdaa2s} δοῦλος^{namsc} ἐκ^{pg} χεῖλος^{ngnpc} ἀπάτη^{ngfsc} ἐγώ$^{rpg-s}$ ἐπί^{pd} ἄρχων^{ndmsc} καί^{cc} ἄρχων^{namsc} ἐπί^{pd} θεράπων^{ndmsc} αὐτός^{rpgms} θραύω^{vdaa2s} αὐτός^{rpgmp} ὁ^{dans} ἀνάστημα^{nansc} ἐν^{pd} χείρ^{ndfsc} θῆλυς^{angfsn}.

12 σμένων σκεπαστής ἀπηλπισμένων σωτήρ. ναὶ ναὶ ὁ θεὸς τοῦ
πατρός μου καὶ θεὸς κληρονομίας Ισραηλ δέσποτα τῶν οὐρανῶν
καὶ τῆς γῆς κτίστα τῶν ὑδάτων βασιλεῦ πάσης κτίσεώς σου σὺ
13 εἰσάκουσον τῆς δεήσεώς μου. καὶ δὸς λόγον μου καὶ ἀπάτην
εἰς τραῦμα καὶ μώλωπα αὐτῶν οἳ κατὰ τῆς διαθήκης σου καὶ οἴ-
κου ἡγιασμένου σου καὶ κορυφῆς Σιων καὶ οἴκου κατασχέσεως
14 υἱῶν σου ἐβουλεύσαντο σκληρά. καὶ ποίησον ἐπὶ παντὸς ἔθνους
σου καὶ πάσης φυλῆς ἐπίγνωσιν τοῦ εἰδῆσαι ὅτι σὺ εἶ ὁ θεὸς θεὸς
πάσης δυνάμεως καὶ κράτους καὶ οὐκ ἔστιν ἄλλος ὑπερασπίζων
τοῦ γένους Ισραηλ εἰ μὴ σύ.

10 καὶ ἐγένετο ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν θεὸν Ισραηλ καὶ
2 συνετέλεσεν πάντα τὰ ῥήματα ταῦτα. καὶ ἀνέστη ἀπὸ τῆς πτώ-
σεως καὶ ἐκάλεσεν τὴν ἄβραν αὐτῆς καὶ κατέβη εἰς τὸν οἶκον ἐν
ᾧ διέτριβεν ἐν αὐτῷ ἐν ταῖς ἡμέραις τῶν σαββάτων καὶ ἐν ταῖς
3 ἑορταῖς αὐτῆς. καὶ περιείλατο τὸν σάκκον ὃν ἐνεδεδύκει καὶ
ἐξεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς καὶ περιεκλύσατο τὸ
σῶμα ὕδατι καὶ ἐχρίσατο μύρῳ παχεῖ καὶ διέξανε τὰς τρίχας τῆς
κεφαλῆς αὐτῆς καὶ ἐπέθετο μίτραν ἐπ᾽ αὐτῆς καὶ ἐνεδύσατο τὰ
ἱμάτια τῆς εὐφροσύνης αὐτῆς ἐν οἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις
4 τῆς ζωῆς τοῦ ἀνδρὸς αὐτῆς Μανασση. καὶ ἔλαβεν σανδάλια εἰς
τοὺς πόδας αὐτῆς καὶ περιέθετο τοὺς χλιδῶνας καὶ τὰ ψέλια καὶ

---

v.11 οὐ[b] γάρ[cc] ἐν[pd] πλῆθος[ndnsc] ὁ[dnns] κράτος[nnnsc] σύ[rpg-s] οὐδέ[cc] ὁ[dnfs] δυναστεία[nnfsc] σύ[rpg-s] ἐν[pd] ἰσχύω[vppadmp] ἀλλά[cc] ταπεινός[angmpn] εἰμί[vipa2s] θεός[nnmsc] ἐλαχύς[angmpc] εἰμί[vipa2s] βοηθός[nnmsc] ἀντιλήμπτωρ[nnmsc] ἀσθενέω[vppagmp] ἀπογινώσκω[vpxpgmp] σκεπαστής[nnmsc] ἀπελπίζω[vpxpgmp] σωτήρ[nnmsc]. **v.12** ναί[x] ναί[x] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] πατήρ[ngmsc] ἐγώ[rpg-s] καί[cc] θεός[nnmsc] κληρονομία[ngfsc] Ἰσραήλ[ngmsp] δεσπότης[nvmsc] ὁ[dgmp] οὐρανός[ngmpc] καί[cc] ὁ[dgfs] γῆ[ngfsc] κτίστης[nvmsc] ὁ[dgnp] ὕδωρ[ngnpc] βασιλεύς[nvmsc] πᾶς[aigfsn] κτίσις[ngfsc] σύ[rpg-s] σύ[rpn-s] εἰσακούω[vdaa2s] ὁ[dgfs] δέησις[ngfsc] ἐγώ[rpg-s]. **v.13** καί[cc] δίδωμι[vdaa2s] λόγος[namsc] ἐγώ[rpg-s] καί[cc] ἀπάτη[nafsc] εἰς[pa] τραῦμα[nansc] καί[cc] μώλωψ[namsc] αὐτός[rpgmp] ὅς[rrnmp] κατά[pg] ὁ[dgfs] διαθήκη[ngfsc] σύ[rpg-s] καί[cc] οἶκος[ngmsc] ἁγιάζω[vpxpgms] σύ[rpg-s] καί[cc] κορυφή[ngfsc] Σιών[ngfsp] καί[cc] οἶκος[ngmsc] κατάσχεσις[ngfsc] υἱός[ngmpc] σύ[rpg-s] βουλεύω[viam3p] σκληρός[ananpn]. **v.14** καί[cc] ποιέω[vdaa2s] ἐπί[pg] πᾶς[aignsn] ἔθνος[ngnsc] σύ[rpg-s] καί[cc] πᾶς[aigfsn] φυλή[ngfsc] ἐπίγνωσις[nafsc] ὁ[dgns] οἶδα[vnaa] ὅτι[cs] σύ[rpn-s] εἰμί[vipa2s] ὁ[dnms] θεός[nnmsc] θεός[nnmsc] πᾶς[aigfsn] δύναμις[ngfsc] καί[cc] κράτος[ngnsc] καί[cc] οὐ[b] εἰμί[vipa3s] ἄλλος[rinms] ὑπερασπίζω[vppanms] ὁ[dgns] γένος[ngnsc] Ἰσραήλ[ngmsp] εἰ[cs] μή[x] σύ[rpn-s]. **10. v.1** καί[cc] γίνομαι[viam3s] ὡς[cs] παύω[viam3s] βοάω[vppanfs] πρός[pa] ὁ[dams] θεός[namsc] Ἰσραήλ[ngmsp] καί[cc] συντελέω[viaa3s] πᾶς[aianpn] ὁ[danp] ῥῆμα[nanpc] οὗτος[rdanp]. **v.2** καί[cc] ἀνίστημι[viaa3s] ἀπό[pg] ὁ[dgfs] πτῶσις[ngfsc] καί[cc] καλέω[viaa3s] ὁ[dafs] ἄβρα[nafsc] αὐτός[rpgfs] καί[cc] καταβαίνω[viaa3s] εἰς[pa] ὁ[dams] οἶκος[namsc] ἐν[pd] ὅς[rrdms] διατρίβω[viia3s] ἐν[pd] αὐτός[rpdms] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ὁ[dgnp] σάββατον[ngnpc] καί[cc] ἐν[pd] ὁ[ddfp] ἑορτή[ndfpc] αὐτός[rpgfs]. **v.3** καί[cc] περιαιρέω[viam3s] ὁ[dams] σάκκος[namsc] ὅς[rrams] ἐνδύω[viya3s] καί[cc] ἐκδύω[viam3s] ὁ[danp] ἱμάτιον[nanpc] ὁ[dgfs] χήρευσις[ngfsc] αὐτός[rpgfs] καί[cc] περικλύζομαι[viam3s] ὁ[dans] σῶμα[nansc] ὕδωρ[ndnsc] καί[cc] χρίω[viam3s] μύρον[ndnsc] πάχος[ndnsc] καί[cc] διαξαίνω[viaa3s] ὁ[dafp] θρίξ[nafpc] ὁ[dgfs] κεφαλή[ngfsc] αὐτός[rpgfs] καί[cc] ἐπιτίθημι[viam3s] μίτρα[nafsc] ἐπί[pg] αὐτός[rpgfs] καί[cc] ἐνδύω[viam3s] ὁ[danp] ἱμάτιον[nanpc] ὁ[dgfs] εὐφροσύνη[ngfsc] αὐτός[rpgfs] ἐν[pd] ὅς[rrdnp] στολίζω[viip3s] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ὁ[dgfs] ζωή[ngfsc] ὁ[dgms] ἀνήρ[ngmsc] αὐτός[rpgfs] Μανασσής[ngmsp].

τοὺς δακτυλίους καὶ τὰ ἐνώτια καὶ πάντα τὸν κόσμον αὐτῆς καὶ ἐκαλλωπίσατο σφόδρα εἰς ἀπάτησιν ὀφθαλμῶν ἀνδρῶν ὅσοι ἂν ἴδωσιν αὐτήν. καὶ ἔδωκεν τῇ ἄβρᾳ αὐτῆς ἀσκοπυτίνην οἴνου 5
καὶ καψάκην ἐλαίου καὶ πήραν ἐπλήρωσεν ἀλφίτων καὶ παλάθης καὶ ἄρτων καθαρῶν καὶ περιεδίπλωσε πάντα τὰ ἀγγεῖα αὐτῆς καὶ ἐπέθηκεν αὐτῇ. καὶ ἐξῆλθοσαν ἐπὶ τὴν πύλην τῆς πόλεως 6
Βαιτυλουα καὶ εὗροσαν ἐφεστῶτα ἐπ᾽ αὐτῇ Οζιαν καὶ τοὺς πρεσβυτέρους τῆς πόλεως Χαβριν καὶ Χαρμιν. ὡς δὲ εἶδον αὐτὴν 7
καὶ ἦν ἠλλοιωμένον τὸ πρόσωπον αὐτῆς καὶ τὴν στολὴν μεταβεβληκυῖαν αὐτῆς καὶ ἐθαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ σφόδρα καὶ εἶπαν αὐτῇ. ὁ θεὸς τῶν πατέρων ἡμῶν δῴη σε εἰς χά- 8
ριν καὶ τελειώσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν Ισραηλ καὶ ὕψωμα Ιερουσαλημ. καὶ προσεκύνησεν τῷ θεῷ καὶ εἶπεν 9
πρὸς αὐτούς ἐπιτάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως καὶ ἐξελεύσομαι εἰς τελείωσιν τῶν λόγων ὧν ἐλαλήσατε μετ᾽ ἐμοῦ καὶ συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ καθότι ἐλάλησεν. καὶ 10
ἐποίησαν οὕτως καὶ ἐξῆλθεν Ιουδιθ αὐτὴ καὶ ἡ παιδίσκη αὐτῆς μετ᾽ αὐτῆς ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως ἕως οὗ κατέβη τὸ ὄρος ἕως διῆλθεν τὸν αὐλῶνα καὶ οὐκέτι ἐθεώρουν αὐτήν. καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν καὶ συνήντησεν 11

---

v.4 καί[cc] λαμβάνω[viaa3s] σανδάλιον[nanpc] εἰς[pa] ὁ[damp] πούς[nampc] αὐτός[rpgfs] καί[cc] περιτίθημι[viam3s] ὁ[damp] χλιδών[nampc] καί[cc] ὁ[danp] ψέλιον[nanpc] καί[cc] ὁ[damp] δακτύλιος[nampc] καί[cc] ὁ[danp] ἐνώτιον[nanpc] καί[cc] πᾶς[aiamsn] ὁ[dams] κόσμος[namsc] αὐτός[rpgfs] καί[cc] καλλωπίζω[viam3s] σφόδρα[b] εἰς[pa] ἀπάτησις[nafsc] ὀφθαλμός[ngmpc] ἀνήρ[ngmpc] ὅσος[rrnmpn] ἄν[x] ὁράω[vsaa3p] αὐτός[rpafs]. **v.5** καί[cc] δίδωμι[viaa3s] ὁ[ddfs] ἄβρα[ndfsc] αὐτός[rpgfs] ἀσκοπυτίνη[nafsc] οἶνος[ngmsc] καί[cc] καψάκης[namsc] ἔλαιον[ngnsc] καί[cc] πήρα[nafsc] πληρόω[viaa3s] ἄλφιτον[ngnpc] καί[cc] παλάθη[ngfsc] καί[cc] ἄρτος[ngmpc] καθαρός[angmpn] καί[cc] περιδιπλόω[viaa3s] πᾶς[aianpn] ὁ[danp] ἀγγεῖον[nanpc] αὐτός[rpgfs] καί[cc] ἐπιτίθημι[viaa3s] αὐτός[rpdfs]. **v.6** καί[cc] ἐξέρχομαι[viaa3p] ἐπί[pa] ὁ[dafs] πύλη[nafsc] ὁ[dgfs] πόλις[ngfsc] Βαιτυλουα[ngfsp] καί[cc] εὑρίσκω[viaa3p] ἐφίστημι[vpxaams] ἐπί[pd] αὐτός[rpdfs] Ὀζίας[namsp] καί[cc] ὁ[damp] πρεσβύτερος[anampc] ὁ[dgfs] πόλις[ngfsc] Χαβριν[na-sp] καί[cc] Χαρμιν[na-sp]. **v.7** ὡς[cs] δέ[cc] ὁράω[viaa3p] αὐτός[rpafs] καί[cc] εἰμί[viia3s] ἀλλοιόω[vpxpnns] ὁ[dnns] πρόσωπον[nnnsc] αὐτός[rpgfs] καί[cc] ὁ[dafs] στολή[nafsc] μεταβάλλω[vpxaafs] αὐτός[rpgfs] καί[cc] θαυμάζω[viaa3p] ἐπί[pd] ὁ[ddns] κάλλος[ndnsc] αὐτός[rpgfs] ἐπί[pa] πολύς[anansn] σφόδρα[b] καί[cc] λέγω[viaa3p] αὐτός[rpdfs]. **v.8** ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-p] δίδωμι[voaa3s] σύ[rpafs] εἰς[pa] χάρις[nafsc] καί[cc] τελειόω[voaa3s] ὁ[danp] ἐπιτήδευμα[nanpc] σύ[rpgfs] εἰς[pa] γαυρίαμα[nansc] υἱός[ngmpc] Ἰσραήλ[ngmsp] καί[cc] ὕψωμα[nansc] Ἰερουσαλήμ[ngfsp]. **v.9** καί[cc] προσκυνέω[viaa3s] ὁ[ddms] θεός[ndmsc] καί[cc] λέγω[viaa3s] πρός[pa] αὐτός[rpamp] ἐπιτάσσω[vdaa2p] ἀνοίγω[vnaa] ἐγώ[rpd-s] ὁ[dafs] πύλη[nafsc] ὁ[dgfs] πόλις[ngfsc] καί[cc] ἐξέρχομαι[vifm1s] εἰς[pa] τελείωσις[nafsc] ὁ[dgmp] λόγος[ngmpc] ὅς[rrgmp] λαλέω[viaa2p] μετά[pg] ἐγώ[rpg-s] καί[cc] συντάσσω[viaa3p] ὁ[ddmp] νεανίσκος[ndmpc] ἀνοίγω[vnaa] αὐτός[rpdfs] καθότι[cs] λαλέω[viaa3s]. **v.10** καί[cc] ποιέω[viaa3p] οὕτως[b] καί[cc] ἐξέρχομαι[viaa3s] Ἰουδίθ[nnfsp] αὐτός[rpnfs] καί[cc] ὁ[dnfs] παιδίσκη[nnfsc] αὐτός[rpgfs] μετά[pg] αὐτός[rpgfs] ἀποσκοπεύω[viia3p] δέ[cc] αὐτός[rpafs] ὁ[dnmp] ἀνήρ[nnmpc] ὁ[dgfs] πόλις[ngfsc] ἕως[pg] ὅς[rrgns] καταβαίνω[viaa3s] ὁ[dans] ὄρος[nansc] ἕως[cs] διέρχομαι[viaa3s] ὁ[dams] αὐλών[namsc] καί[cc] οὐκέτι[b] θεωρέω[viia3p] αὐτός[rpafs].

12 αὐτῇ προφυλακὴ τῶν Ἀσσυρίων. καὶ συνέλαβον αὐτὴν καὶ ἐ-
πηρώτησαν τίνων εἶ καὶ πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ καὶ εἶπεν
θυγάτηρ εἰμὶ τῶν Ἑβραίων καὶ ἀποδιδράσκω ἀπὸ προσώπου αὐ-
13 τῶν ὅτι μέλλουσιν δίδοσθαι ὑμῖν εἰς κατάβρωμα. κἀγὼ ἔρχομαι
εἰς τὸ πρόσωπον Ολοφέρνου ἀρχιστρατήγου δυνάμεως ὑμῶν τοῦ
ἀπαγγεῖλαι ῥήματα ἀληθείας καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁ-
δὸν καθ' ἣν πορεύσεται καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς καὶ οὐ
14 διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ σὰρξ μία οὐδὲ πνεῦμα ζωῆς. ὡς
δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα αὐτῆς καὶ κατενόησαν τὸ πρό-
σωπον αὐτῆς καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα
15 καὶ εἶπαν πρὸς αὐτήν. σέσωκας τὴν ψυχήν σου σπεύσασα κατα-
βῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν καὶ νῦν πρόσελθε ἐπὶ τὴν
σκηνὴν αὐτοῦ καὶ ἀφ' ἡμῶν προπέμψουσίν σε ἕως παραδώσουσίν
16 σε εἰς χεῖρας αὐτοῦ. ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ μὴ φοβηθῇς τῇ
καρδίᾳ σου ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου καὶ εὖ σε ποιή-
17 σει. καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν καὶ παρέζευξαν αὐτῇ
καὶ τῇ ἄβρᾳ αὐτῆς καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ολοφέρνου.
18 καὶ ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ διεβοήθη γὰρ εἰς τὰ
σκηνώματα ἡ παρουσία αὐτῆς καὶ ἐλθόντες ἐκύκλουν αὐτήν ὡς
εἱστήκει ἔξω τῆς σκηνῆς Ολοφέρνου ἕως προσήγγειλαν αὐτῷ περὶ
19 αὐτῆς. καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς καὶ ἐθαύμαζον τοὺς

---

εἰς τὴν χώραν. ὡς δὲ εἶδεν Α᾽λκιμος ὅτι ἐνίσχυσεν Ιουδας καὶ 25
οἱ μετ᾽ αὐτοῦ καὶ ἔγνω ὅτι οὐ δύναται ὑποστῆναι αὐτούς καὶ ἐπέ-
στρεψεν πρὸς τὸν βασιλέα καὶ κατηγόρησεν αὐτῶν πονηρά. καὶ 26
ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα ἕνα τῶν ἀρχόντων αὐτοῦ τῶν
ἐνδόξων καὶ μισοῦντα καὶ ἐχθραίνοντα τῷ Ισραηλ καὶ ἐνετείλατο
αὐτῷ ἐξᾶραι τὸν λαόν. καὶ ἦλθεν Νικάνωρ εἰς Ιερουσαλημ δυνά- 27
μει πολλῇ καὶ ἀπέστειλεν πρὸς Ιουδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ
μετὰ δόλου λόγοις εἰρηνικοῖς λέγων. μὴ ἔστω μάχη ἀνὰ μέσον 28
ἐμοῦ καὶ ὑμῶν ἤξω ἐν ἀνδράσιν ὀλίγοις ἵνα ἴδω ὑμῶν τὰ πρόσωπα
μετ᾽ εἰρήνης. καὶ ἦλθεν πρὸς Ιουδαν καὶ ἠσπάσαντο ἀλλήλους 29
εἰρηνικῶς καὶ οἱ πολέμιοι ἕτοιμοι ἦσαν ἐξαρπάσαι τὸν Ιουδαν.
καὶ ἐγνώσθη ὁ λόγος τῷ Ιουδα ὅτι μετὰ δόλου ἦλθεν ἐπ᾽ αὐτόν 30
καὶ ἐπτοήθη ἀπ᾽ αὐτοῦ καὶ οὐκ ἐβουλήθη ἔτι ἰδεῖν τὸ πρόσωπον
αὐτοῦ. καὶ ἔγνω Νικάνωρ ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ καὶ 31
ἐξῆλθεν εἰς συνάντησιν τῷ Ιουδα ἐν πολέμῳ κατὰ Χαφαρσαλαμα.
καὶ ἔπεσον τῶν παρὰ Νικάνορος ὡσεὶ πεντακόσιοι ἄνδρες καὶ ἔ- 32
φυγον εἰς τὴν πόλιν Δαυιδ. καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη 33
Νικάνωρ εἰς ὄρος Σιων καὶ ἐξῆλθον ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων

---

v.23 καί[cc] ὁράω[viaa3s] Ἰούδας[nnmsp] πᾶς[aiafsn] ὁ[dafs] κακία[nafsc] ὅς[rrafs] ποιέω[viaa3s] Α᾽λκιμος[nnmsp] καί[cc] ὁ[dnmp] μετά[pg] αὐτός[rpgms] ἐν[pd] υἱός[ndmpc] Ἰσραήλ[ngmsp] ὑπέρ[pa] ὁ[danp] ἔθνος[nanpc]. **v.24** καί[cc] ἐξέρχομαι[viaa3s] εἰς[pa] πᾶς[aianpn] ὁ[danp] ὅριον[nanpc] ὁ[dgfs] Ἰουδαία[ngfsp] κυκλόθεν[b] καί[cc] ποιέω[viaa3s] ἐκδίκησις[nafsc] ἐν[pd] ὁ[ddmp] ἀνήρ[ndmpc] ὁ[ddmp] αὐτομολέω[vpaadmp] καί[cc] ἀναστέλλω[viap3p] ὁ[dgns] ἐκπορεύομαι[vnpm] εἰς[pa] ὁ[dafs] χώρα[nafsc]. **v.25** ὡς[cs] δέ[cc] ὁράω[viaa3s] Α᾽λκιμος[nnmsp] ὅτι[cs] ἐνισχύω[viaa3s] Ἰούδας[nnmsp] καί[cc] ὁ[dnmp] μετά[pg] αὐτός[rpgms] καί[cc] γινώσκω[viaa3s] ὅτι[cs] οὐ[b] δύναμαι[vipm3s] ὑφίστημι[vnaa] αὐτός[rpamp] καί[cc] ἐπιστρέφω[viaa3s] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] καί[cc] κατηγορέω[viaa3s] αὐτός[rpgmp] πονηρός[ananpn]. **v.26** καί[cc] ἀποστέλλω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] Νικάνωρ[namsp] εἷς[acamsn] ὁ[dgmp] ἄρχων[ngmpc] αὐτός[rpgms] ὁ[dgmp] ἔνδοξος[angmpn] καί[cc] μισέω[vppaams] καί[cc] ἐχθραίνω[vppaams] ὁ[ddms] Ἰσραήλ[ndmsp] καί[cc] ἐντέλλομαι[viam3s] αὐτός[rpdms] ἐξαίρω[vnaa] ὁ[dams] λαός[namsc]. **v.27** καί[cc] ἔρχομαι[viaa3s] Νικάνωρ[nnmsp] εἰς[pa] Ἰερουσαλήμ[nafsp] δύναμις[ndfsc] πολύς[andfsn] καί[cc] ἀποστέλλω[viaa3s] πρός[pa] Ἰούδας[namsp] καί[cc] ὁ[damp] ἀδελφός[nampc] αὐτός[rpgms] μετά[pg] δόλος[ngmsc] λόγος[ndmpc] εἰρηνικός[andmpn] λέγω[vppanms]. **v.28** μή[x] εἰμί[vdpa3s] μάχη[nnfsc] ἀνά[pa] μέσος[anansn] ἐγώ[rpg-s] καί[cc] σύ[rpg-p] ἥκω[vifa1s] ἐν[pd] ἀνήρ[ndmpc] ὀλίγος[andmpn] ἵνα[cs] ὁράω[vsaa1s] σύ[rpg-p] ὁ[danp] πρόσωπον[nanpc] μετά[pg] εἰρήνη[ngfsc]. **v.29** καί[cc] ἔρχομαι[viaa3s] πρός[pa] Ἰούδας[namsp] καί[cc] ἀσπάζομαι[viam3p] ἀλλήλων[reamp] εἰρηνικῶς[b] καί[cc] ὁ[dnmp] πολέμιος[annmpn] ἕτοιμος[annmpn] εἰμί[viia3p] ἁρπάζω[vnaa] ὁ[dams] Ἰούδας[namsp]. **v.30** καί[cc] γινώσκω[viap3s] ὁ[dnms] λόγος[nnmsc] ὁ[ddms] Ἰούδας[ndmsp] ὅτι[cs] μετά[pg] δόλος[ngmsc] ἔρχομαι[viaa3s] ἐπί[pa] αὐτός[rpams] καί[cc] πτοέω[viap3s] ἀπό[pg] αὐτός[rpgms] καί[cc] οὐ[b] βούλομαι[viap3s] ἔτι[b] ὁράω[vnaa] ὁ[dans] πρόσωπον[nansc] αὐτός[rpgms]. **v.31** καί[cc] γινώσκω[viaa3s] Νικάνωρ[nnmsp] ὅτι[cs] ἀποκαλύπτω[viap3s] ὁ[dnfs] βουλή[nnfsc] αὐτός[rpgms] καί[cc] ἐξέρχομαι[viaa3s] εἰς[pa] συνάντησις[nafsc] ὁ[ddms] Ἰούδας[ndmsp] ἐν[pd] πόλεμος[ndmsc] κατά[pa] Χαφαρσαλαμα[na-sp]. **v.32** καί[cc] πίπτω[viaa3p] ὁ[dgmp] παρά[pg] Νικάνωρ[ngmsp] ὡσεί[x] πεντακόσιοι[acnmpn] ἀνήρ[nnmpc] καί[cc] φεύγω[viaa3p] εἰς[pa] ὁ[dafs] πόλις[nafsc] Δαυίδ[ngmsp].

καὶ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς
καὶ δεῖξαι αὐτῷ τὴν ὁλοκαύτωσιν τὴν προσφερομένην ὑπὲρ τοῦ
34 βασιλέως. καὶ ἐμυκτήρισεν αὐτοὺς καὶ κατεγέλασεν αὐτῶν καὶ
35 ἐμίανεν αὐτοὺς καὶ ἐλάλησεν ὑπερηφάνως. καὶ ὤμοσεν μετὰ
θυμοῦ λέγων ἐὰν μὴ παραδοθῇ Ιουδας καὶ ἡ παρεμβολὴ αὐτοῦ
εἰς χεῖράς μου τὸ νῦν καὶ ἔσται ἐὰν ἐπιστρέψω ἐν εἰρήνῃ ἐμπυριῶ
36 τὸν οἶκον τοῦτον καὶ ἐξῆλθεν μετὰ θυμοῦ μεγάλου. καὶ εἰσῆλ-
θον οἱ ἱερεῖς καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου καὶ
37 τοῦ ναοῦ καὶ ἔκλαυσαν καὶ εἶπον. σὺ ἐξελέξω τὸν οἶκον τοῦ-
τον ἐπικληθῆναι τὸ ὄνομά σου ἐπ᾽ αὐτοῦ εἶναι οἶκον προσευχῆς
38 καὶ δεήσεως τῷ λαῷ σου. ποίησον ἐκδίκησιν ἐν τῷ ἀνθρώπῳ
τούτῳ καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ καὶ πεσέτωσαν ἐν ῥομφαίᾳ
39 μνήσθητι τῶν δυσφημιῶν αὐτῶν καὶ μὴ δῷς αὐτοῖς μονήν. καὶ
ἐξῆλθεν Νικάνωρ ἐξ Ιερουσαλημ καὶ παρενέβαλεν ἐν Βαιθωρων
40 καὶ συνήντησεν αὐτῷ δύναμις Συρίας. καὶ Ιουδας παρενέβαλεν
ἐν Αδασα ἐν τρισχιλίοις ἀνδράσιν καὶ προσηύξατο Ιουδας καὶ εἶ-
41 πεν. οἱ παρὰ τοῦ βασιλέως ὅτε ἐδυσφήμησαν ἐξῆλθεν ὁ ἄγγελός
σου καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας.
42 οὕτως σύντριψον τὴν παρεμβολὴν ταύτην ἐνώπιον ἡμῶν σήμε-
ρον καὶ γνώτωσαν οἱ ἐπίλοιποι ὅτι κακῶς ἐλάλησεν ἐπὶ τὰ ἁγιά

---

v.33 καί[cc] μετά[pa] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] ἀναβαίνω[viaa3s] Νικάνωρ[nnmsp] εἰς[pa] ὄρος[nansc] Σιών[ngfsp] καί[cc] ἐξέρχομαι[viaa3p] ἀπό[pg] ὁ[dgmp] ἱερεύς[ngmpc] ἐκ[pg] ὁ[dgnp] ἅγιος[angnpn] καί[cc] ἀπό[pg] ὁ[dgmp] πρεσβύτερος[angmpc] ὁ[dgms] λαός[ngmsc] ἀσπάζομαι[vnam] αὐτός[rpams] εἰρηνικῶς[b] καί[cc] δείκνυμι[vnaa] αὐτός[rpdms] ὁ[dafs] ὁλοκαύτωσις[nafsc] ὁ[dafs] προσφέρω[vpppafs] ὑπέρ[pg] ὁ[dgms] βασιλεύς[ngmsc]. **v.34** καί[cc] μυκτηρίζω[viaa3s] αὐτός[rpamp] καί[cc] καταγελάω[viaa3s] αὐτός[rpgmp] καί[cc] μιαίνω[viaa3s] αὐτός[rpamp] καί[cc] λαλέω[viaa3s] ὑπερηφάνως[b]. **v.35** καί[cc] ὄμνυμι[viaa3s] μετά[pg] θυμός[ngmsc] λέγω[vppanms] ἐάν[cs] μή[x] παραδίδωμι[vsap3s] Ἰούδας[nnmsp] καί[cc] ὁ[dnfs] παρεμβολή[nnfsc] αὐτός[rpgms] εἰς[pa] χείρ[nafpc] ἐγώ[rpg-s] ὁ[dans] νῦν[b] καί[cc] εἰμί[vifm3s] ἐάν[cs] ἐπιστρέφω[vsaa1s] ἐν[pd] εἰρήνη[ndfsc] ἐμπυρίζω[vifa1s] ὁ[dams] οἶκος[namsc] οὗτος[rdams] καί[cc] ἐξέρχομαι[viaa3s] μετά[pg] θυμός[ngmsc] μέγας[angmsn]. **v.36** καί[cc] εἰσέρχομαι[viaa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] καί[cc] ἵστημι[viaa3p] κατά[pa] πρόσωπον[nansc] ὁ[dgns] θυσιαστήριον[ngnsc] καί[cc] ὁ[dgms] ναός[ngmsc] καί[cc] κλαίω[viaa3p] καί[cc] λέγω[viaa3p]. **v.37** σύ[rpn-s] ἐκλέγω[viam2s] ὁ[dams] οἶκος[namsc] οὗτος[rdams] ἐπικαλέω[vnap] ὁ[dans] ὄνομα[nansc] σύ[rpg-s] ἐπί[pg] αὐτός[rpgms] εἰμί[vnpa] οἶκος[namsc] προσευχή[ngfsc] καί[cc] δέησις[ngfsc] ὁ[ddms] λαός[ndmsc] σύ[rpg-s]. **v.38** ποιέω[vdaa2s] ἐκδίκησις[nafsc] ἐν[pd] ὁ[ddms] ἄνθρωπος[ndmsc] οὗτος[rddms] καί[cc] ἐν[pd] ὁ[ddfs] παρεμβολή[ndfsc] αὐτός[rpgms] καί[cc] πίπτω[vdaa3p] ἐν[pd] ῥομφαία[ndfsc] μιμνήσκομαι[vdap2s] ὁ[dgfp] δυσφημία[ngfpc] αὐτός[rpgmp] καί[cc] μή[x] δίδωμι[vsaa2s] αὐτός[rpdmp] μονή[nafsc]. **v.39** καί[cc] ἐξέρχομαι[viaa3s] Νικάνωρ[nnmsp] ἐκ[pg] Ἰερουσαλήμ[ngfsp] καί[cc] παρεμβάλλω[viaa3s] ἐν[pd] Βαιθωρων[ndfsp] καί[cc] συναντάω[viaa3s] αὐτός[rpdms] δύναμις[nnfsc] Συρία[ngfsp]. **v.40** καί[cc] Ἰούδας[nnmsp] παρεμβάλλω[viaa3s] ἐν[pd] Αδασα[nd-sp] ἐν[pd] τρισχίλιοι[acdmpn] ἀνήρ[ndmpc] καί[cc] προσεύχομαι[viam3s] Ἰούδας[nnmsp] καί[cc] λέγω[viaa3s]. **v.41** ὁ[dnmp] παρά[pg] ὁ[dgms] βασιλεύς[ngmsc] ὅτε[cs] δυσφημέω[viaa3p] ἐξέρχομαι[viaa3s] ὁ[dnms] ἄγγελος[nnmsc] σύ[rpg-s] καί[cc] πατάσσω[viaa3s] ἐν[pd] αὐτός[rpdmp] ἑκατόν[ac—n] ὀγδοήκοντα[ac—n] πέντε[ac—n] χιλιάς[nafpc].

σου καὶ κρῖνον αὐτὸν κατὰ τὴν κακίαν αὐτοῦ. καὶ συνῆψαν αἱ 43
παρεμβολαὶ εἰς πόλεμον τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς Αδαρ καὶ
συνετρίβη ἡ παρεμβολὴ Νικάνορος καὶ ἔπεσεν αὐτὸς πρῶτος ἐν
τῷ πολέμῳ. ὡς δὲ εἶδεν ἡ παρεμβολὴ αὐτοῦ ὅτι ἔπεσεν Νικάνωρ 44
ῥίψαντες τὰ ὅπλα ἔφυγον. καὶ κατεδίωκον αὐτοὺς ὁδὸν ἡμέρας 45
μιᾶς ἀπὸ Αδασα ἕως τοῦ ἐλθεῖν εἰς Γαζηρα καὶ ἐσάλπιζον ὀπίσω
αὐτῶν ταῖς σάλπιγξιν τῶν σημασιῶν. καὶ ἐξῆλθον ἐκ πασῶν τῶν 46
κωμῶν τῆς Ιουδαίας κυκλόθεν καὶ ὑπερεκέρων αὐτούς καὶ ἀπέ-
στρεφον οὗτοι πρὸς τούτους καὶ ἔπεσον πάντες ῥομφαίᾳ καὶ οὐ
κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. καὶ ἔλαβον τὰ σκῦλα καὶ τὴν 47
προνομὴν καὶ τὴν κεφαλὴν Νικάνορος ἀφεῖλον καὶ τὴν δεξιὰν
αὐτοῦ ἣν ἐξέτεινεν ὑπερηφάνως καὶ ἤνεγκαν καὶ ἐξέτειναν πα-
ρὰ τῇ Ιερουσαλημ. καὶ ηὐφράνθη ὁ λαὸς σφόδρα καὶ ἦγαγον 48
τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐφροσύνης μεγάλην. καὶ ἔστησαν 49
τοῦ ἄγειν κατ᾽ ἐνιαυτὸν τὴν ἡμέραν ταύτην τῇ τρισκαιδεκάτῃ τοῦ
Αδαρ. καὶ ἡσύχασεν ἡ γῆ Ιουδα ἡμέρας ὀλίγας. 50

καὶ ἤκουσεν Ιουδας τὸ ὄνομα τῶν Ῥωμαίων ὅτι εἰσὶν δυνατοὶ **8**
ἰσχύι καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσιν τοῖς προστιθεμένοις αὐτοῖς
καὶ ὅσοι ἂν προσέλθωσιν αὐτοῖς ἱστῶσιν αὐτοῖς φιλίαν καὶ ὅτι εἰσὶ
δυνατοὶ ἰσχύι. καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους αὐτῶν καὶ 2
τὰς ἀνδραγαθίας ἃς ποιοῦσιν ἐν τοῖς Γαλάταις καὶ ὅτι κατεκράτη-

---

v.42 οὕτως^{b} συντρίβω^{vdaa2s} ὁ^{dafs} παρεμβολή^{nafsc} οὗτος^{rdafs} ἐνώπιον^{pg} ἐγώ$^{rpg-p}$ σήμερον^{b} καί^{cc} γινώσκω^{vdaa3p} ὁ^{dnmp} ἐπίλοιπος^{annmpn} ὅτι^{cs} κακῶς^{b} λαλέω^{viaa3s} ἐπί^{pa} ὁ^{danp} ἅγιος^{ananpn} σύ$^{rpg-s}$ καί^{cc} κρίνω^{vdaa2s} αὐτός^{rpams} κατά^{pa} ὁ^{dafs} κακία^{nafsc} αὐτός^{rpgms}. **v.43** καί^{cc} συνάπτω^{viaa3p} ὁ^{dnfp} παρεμβολή^{nnfpc} εἰς^{pa} πόλεμος^{namsc} ὁ^{ddfs} τρισκαιδέκατος^{aodfsn} ὁ^{dgms} μήν^{ngmsc} Αδαρ^{ng-sp} καί^{cc} συντρίβω^{viap3s} ὁ^{dnfs} παρεμβολή^{nnfsc} Νικάνωρ^{ngmsp} καί^{cc} πίπτω^{viaa3s} αὐτός^{rpnms} πρῶτος^{aonmsn} ἐν^{pd} ὁ^{ddms} πόλεμος^{ndmsc}. **v.44** ὡς^{cs} δέ^{cc} ὁράω^{viaa3s} ὁ^{dnfs} παρεμβολή^{nnfsc} αὐτός^{rpgms} ὅτι^{cs} πίπτω^{viaa3s} Νικάνωρ^{nnmsp} ῥίπτω^{vpaanmp} ὁ^{danp} ὅπλον^{nanpc} φεύγω^{viaa3p}. **v.45** καί^{cc} καταδιώκω^{viia3p} αὐτός^{rpamp} ὁδός^{nafsc} ἡμέρα^{ngfsc} εἷς^{acgfsn} ἀπό^{pg} Αδασα^{ng-sp} ἕως^{cs} ὁ^{dgns} ἔρχομαι^{vnaa} εἰς^{pa} Γαζηρα^{na-sp} καί^{cc} σαλπίζω^{viia3p} ὀπίσω^{pg} αὐτός^{rpgmp} ὁ^{ddfp} σάλπιγξ^{ndfpc} ὁ^{dgfp} σημασία^{ngfpc}. **v.46** καί^{cc} ἐξέρχομαι^{viaa3p} ἐκ^{pg} πᾶς^{aigfpn} ὁ^{dgfp} κώμη^{ngfpc} ὁ^{dgfs} Ἰουδαία^{ngfsp} κυκλόθεν^{b} καί^{cc} ὑπερκεράω^{viia3p} αὐτός^{rpamp} καί^{cc} ἀποστρέφω^{viia3p} οὗτος^{rdnmp} πρός^{pa} οὗτος^{rdamp} καί^{cc} πίπτω^{viaa3p} πᾶς^{ainmpn} ῥομφαία^{ndfsc} καί^{cc} οὐ^{b} καταλείπω^{viap3s} ἐκ^{pg} αὐτός^{rpgmp} οὐδέ^{b} εἷς^{acnmsn}. **v.47** καί^{cc} λαμβάνω^{viaa3p} ὁ^{danp} σκῦλον^{nanpc} καί^{cc} ὁ^{dafs} προνομή^{nafsc} καί^{cc} ὁ^{dafs} κεφαλή^{nafsc} Νικάνωρ^{ngmsp} ἀφαιρέω^{viaa3p} καί^{cc} ὁ^{dafs} δεξιός^{anafsn} αὐτός^{rpgms} ὅς^{rrafs} ἐκτείνω^{viaa3s} ὑπερηφάνως^{b} καί^{cc} φέρω^{viaa3p} καί^{cc} ἐκτείνω^{viaa3p} παρά^{pd} ὁ^{ddfs} Ἰερουσαλήμ^{ndfsp}. **v.48** καί^{cc} εὐφραίνω^{viap3s} ὁ^{dnms} λαός^{nnmsc} σφόδρα^{b} καί^{cc} ἄγω^{viaa3p} ὁ^{dafs} ἡμέρα^{nafsc} ἐκεῖνος^{rdafs} ἡμέρα^{nafsc} εὐφροσύνη^{ngfsc} μέγας^{anafsn}. **v.49** καί^{cc} ἵστημι^{viaa3p} ὁ^{dgns} ἄγω^{vnpa} κατά^{pa} ἐνιαυτός^{namsc} ὁ^{dafs} ἡμέρα^{nafsc} οὗτος^{rdafs} ὁ^{ddfs} τρισκαιδέκατος^{aodfsn} ὁ^{dgms} Αδαρ^{ng-sp}. **v.50** καί^{cc} ἡσυχάζω^{viaa3s} ὁ^{dnfs} γῆ^{nnfsc} Ἰούδας^{ngmsp} ἡμέρα^{nafpc} ὀλίγος^{anafpn}. **8. v.1** καί^{cc} ἀκούω^{viaa3s} Ἰούδας^{nnmsp} ὁ^{dans} ὄνομα^{nansc} ὁ^{dgmp} Ῥωμαῖος^{ngmpp} ὅτι^{cs} εἰμί^{vipa3p} δυνατός^{annmpn} ἰσχύς^{ndfsc} καί^{cc} αὐτός^{rpnmp} εὐδοκέω^{vipa3p} ἐν^{pd} πᾶς^{aidmpn} ὁ^{ddmp} προστίθημι^{vppmdmp} αὐτός^{rpdmp} καί^{cc} ὅσος^{rrnmpn} ἄν^{x} προσέρχομαι^{vsaa3p} αὐτός^{rpdmp} ἵστημι^{vspa3p} αὐτός^{rpdmp} φιλία^{nafsc} καί^{cc} ὅτι^{cs} εἰμί^{vipa3p} δυνατός^{annmpn} ἰσχύς^{ndfsc}.

3 σαν αὐτῶν καὶ ἤγαγον αὐτοὺς ὑπὸ φόρον. καὶ ὅσα ἐποίησαν ἐν
χώρᾳ Σπανίας τοῦ κατακρατῆσαι τῶν μετάλλων τοῦ ἀργυρίου καὶ
4 τοῦ χρυσίου τοῦ ἐκεῖ. καὶ κατεκράτησαν τοῦ τόπου παντὸς τῇ
βουλῇ αὐτῶν καὶ τῇ μακροθυμίᾳ καὶ ὁ τόπος ἦν ἀπέχων μακρὰν
ἀπ᾽ αὐτῶν σφόδρα καὶ τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ᾽ αὐτοὺς
ἀπ᾽ ἄκρου τῆς γῆς ἕως συνέτριψαν αὐτοὺς καὶ ἐπάταξαν ἐν αὐ-
τοῖς πληγὴν μεγάλην καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φόρον κατ᾽
5 ἐνιαυτόν. καὶ τὸν Φίλιππον καὶ τὸν Περσέα Κιτιέων βασιλέα καὶ
τοὺς ἐπηρμένους ἐπ᾽ αὐτοὺς συνέτριψαν αὐτοὺς ἐν πολέμῳ καὶ
6 κατεκράτησαν αὐτῶν. καὶ Ἀντίοχον τὸν μέγαν βασιλέα τῆς Ἀ-
σίας τὸν πορευθέντα ἐπ᾽ αὐτοὺς εἰς πόλεμον ἔχοντα ἑκατὸν εἴκοσι
ἐλέφαντας καὶ ἵππον καὶ ἅρματα καὶ δύναμιν πολλὴν σφόδρα καὶ
7 συνετρίβη ὑπ᾽ αὐτῶν. καὶ ἔλαβον αὐτὸν ζῶντα καὶ ἔστησαν αὐτοῖς
διδόναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας μετ᾽ αὐτὸν φόρον μέγαν
8 καὶ διδόναι ὅμηρα καὶ διαστολήν. καὶ χώραν τὴν Ἰνδικὴν καὶ
Μηδίαν καὶ Λυδίαν ἀπὸ τῶν καλλίστων χωρῶν αὐτῶν καὶ λαβόντες
9 αὐτὰς παρ᾽ αὐτοῦ ἔδωκαν αὐτὰς Εὐμένει τῷ βασιλεῖ. καὶ ὅτι οἱ
10 ἐκ τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν καὶ ἐξᾶραι αὐτούς. καὶ ἐ-
γνώσθη ὁ λόγος αὐτοῖς καὶ ἀπέστειλαν ἐπ᾽ αὐτοὺς στρατηγὸν ἕνα
καὶ ἐπολέμησαν πρὸς αὐτούς καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι
πολλοί καὶ ᾐχμαλώτισαν τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν
καὶ ἐπρονόμευσαν αὐτοὺς καὶ κατεκράτησαν τῆς γῆς καὶ καθεῖ-

---

v.2 καίcc διηγέομαιviam3p αὐτόςrpdms ὁdamp πόλεμοςnampc αὐτόςrpgmp καίcc ὁdafp ἀνδραγαθίαnafpc ὅςrrafp ποιέωvipa3p ἐνpd ὁddmp Γαλάταιnd-pp καίcc ὅτιcs κατακρατέωviaa3p αὐτόςrpgmp καίcc ἄγωviaa3p αὐτόςrpamp ὑπόpa φόροςnamsc. **v.3** καίcc ὅσοςaranpn ποιέωviaa3p ἐνpd χώραndfsc Σπανίαng-sp ὁdgns κατακρατέωvnaa ὁdgnp μέταλλονngnpc ὁdgns ἀργύριονngnsc καίcc ὁdgns χρυσίονngnsc ὁdgns ἐκεῖb. **v.4** καίcc κατακρατέωviaa3p ὁdgms τόποςngmsc πᾶςaigmsn ὁddfs βουλήndfsc αὐτόςrpgmp καίcc ὁddfs μακροθυμίαndfsc καίcc ὁdnms τόποςnnmsc εἰμίviia3s ἀπέχωvppanms μακράνb ἀπόpg αὐτόςrpgmp σφόδραb καίcc ὁdgmp βασιλεύςngmpc ὁdgmp ἐπέρχομαιvpaagmp ἐπίpa αὐτόςrpamp ἀπόpg ἄκροςangnsn ὁdgfs γῆngfsc ἕωςcs συντρίβωviaa3p αὐτόςrpamp καίcc πατάσσωviaa3p ἐνpd αὐτόςrpdmp πληγήnafsc μέγαςanafsn καίcc ὁdnmp ἐπίλοιποςannmpn δίδωμιvipa3p αὐτόςrpdmp φόροςnamsc κατάpa ἐνιαυτόςnamsc. **v.5** καίcc ὁdams Φίλιπποςnamsp καίcc ὁdams Περσέαnamsp Κιτιεῖςng-pp βασιλεύςnamsc καίcc ὁdamp ἐπαίρωvpxmamp ἐπίpa αὐτόςrpamp συντρίβωviaa3p αὐτόςrpamp ἐνpd πόλεμοςndmsc καίcc κατακρατέωviaa3p αὐτόςrpgmp. **v.6** καίcc Ἀντίοχοςnamsp ὁdams μέγαςanamsn βασιλεύςnamsc ὁdgfs Ἀσίαngfsp ὁdams πορεύομαιvpapams ἐπίpa αὐτόςrpamp εἰςpa πόλεμοςnamsc ἔχωvppaams ἑκατόνac—n εἴκοσιac—n ἐλέφαςnampc καίcc ἵπποςnafsc καίcc ἅρμαnanpc καίcc δύναμιςnafsc πολύςanafsn σφόδραb καίcc συντρίβωviap3s ὑπόpg αὐτόςrpgmp. **v.7** καίcc λαμβάνωviaa3p αὐτόςrpams ζάωvppaams καίcc ἵστημιviaa3p αὐτόςrpdmp δίδωμιvnpa αὐτόςrpams τέcc καίcc ὁdamp βασιλεύωvppaamp μετάpa αὐτόςrpams φόροςnamsc μέγαςanamsn καίcc δίδωμιvnpa ὅμηροςnanpc καίcc διαστολήnafsc. **v.8** καίcc χώραnafsc ὁdafs Ἰνδικήnafsp καίcc Μηδίαnafsp καίcc Λυδίαnafsp ἀπόpg ὁdgfp καλόςangfps χώραngfpc αὐτόςrpgmp καίcc λαμβάνωvpaanmp αὐτόςrpafp παράpg αὐτόςrpgms δίδωμιviaa3p αὐτόςrpafp Εὐμενήςndmsp ὁddms βασιλεύςndmsc. **v.9** καίcc ὅτιcs ὁdnmp ἐκpg ὁdgfs Ἑλλάςngfsp βουλεύωviam3p ἔρχομαιvnaa καίcc ἐξαίρωvnaa αὐτόςrpamp.

λον τὰ ὀχυρώματα αὐτῶν καὶ κατεδουλώσαντο αὐτοὺς ἕως τῆς
ἡμέρας ταύτης. καὶ τὰς ἐπιλοίπους βασιλείας καὶ τὰς νήσους 11
ὅσοι ποτὲ ἀντέστησαν αὐτοῖς κατέφθειραν καὶ ἐδούλωσαν αὐτούς
μετὰ δὲ τῶν φίλων αὐτῶν καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς συνε-
τήρησαν φιλίαν. καὶ κατεκράτησαν τῶν βασιλέων τῶν ἐγγὺς καὶ 12
τῶν μακράν καὶ ὅσοι ἤκουον τὸ ὄνομα αὐτῶν ἐφοβοῦντο ἀπ᾽ αὐ-
τῶν. οἷς δ᾽ ἂν βούλωνται βοηθεῖν καὶ βασιλεύειν βασιλεύουσιν 13
οὓς δ᾽ ἂν βούλωνται μεθιστῶσιν καὶ ὑψώθησαν σφόδρα. καὶ ἐν 14
πᾶσιν τούτοις οὐκ ἐπέθεντο αὐτῶν οὐδὲ εἷς διάδημα οὐδὲ περιε-
βάλοντο πορφύραν ὥστε ἀδρυνθῆναι ἐν αὐτῇ. καὶ βουλευτήριον 15
ἐποίησαν ἑαυτοῖς καὶ καθ᾽ ἡμέραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴ-
κοσι βουλευόμενοι διὰ παντὸς περὶ τοῦ πλήθους τοῦ εὐκοσμεῖν
αὐτούς. καὶ πιστεύουσιν ἑνὶ ἀνθρώπῳ ἄρχειν αὐτῶν κατ᾽ ἐνιαυ- 16
τὸν καὶ κυριεύειν πάσης τῆς γῆς αὐτῶν καὶ πάντες ἀκούουσιν τοῦ
ἑνός καὶ οὐκ ἔστιν φθόνος οὐδὲ ζῆλος ἐν αὐτοῖς. καὶ ἐπελέξατο 17
Ιουδας τὸν Εὐπόλεμον υἱὸν Ιωαννου τοῦ Ακκως καὶ Ἰάσονα υἱὸν
Ελεαζαρου καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥωμην στῆσαι φιλίαν καὶ
συμμαχίαν. καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ᾽ αὐτῶν ὅτι εἶδον τὴν βασι- 18
λείαν τῶν Ἑλλήνων καταδουλουμένους τὸν Ισραηλ δουλείᾳ. καὶ 19
ἐπορεύθησαν εἰς Ῥωμην καὶ ἡ ὁδὸς πολλὴ σφόδρα καὶ εἰσήλθο-

---

v.10 καί[cc] γινώσκω[viap3s] ὁ[dnms] λόγος[nnmsc] αὐτός[rpdmp] καί[cc] ἀποστέλλω[viaa3p] ἐπί[pa] αὐτός[rpamp] στρατηγός[namsc] εἷς[acamsn] καί[cc] πολεμέω[viaa3p] πρός[pa] αὐτός[rpamp] καί[cc] πίπτω[viaa3p] ἐκ[pg] αὐτός[rpgmp] τραυματίας[nnmpc] πολύς[annmpn] καί[cc] αἰχμαλωτίζω[viaa3p] ὁ[dafp] γυνή[nafpc] αὐτός[rpgmp] καί[cc] ὁ[danp] τέκνον[nanpc] αὐτός[rpgmp] καί[cc] προνομεύω[viaa3p] αὐτός[rpamp] καί[cc] κατακρατέω[viaa3p] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] καθαιρέω[viaa3p] ὁ[danp] ὀχύρωμα[nanpc] αὐτός[rpgmp] καί[cc] καταδουλόω[viam3p] αὐτός[rpamp] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs]. **v.11** καί[cc] ὁ[dafp] ἐπίλοιπος[anafpn] βασιλεία[nafpc] καί[cc] ὁ[dafp] νῆσος[nafpc] ὅσος[rrnmpn] ποτέ[b] ἀνθίστημι[viaa3p] αὐτός[rpdmp] καταφθείρω[viaa3p] καί[cc] δουλόω[viaa3p] αὐτός[rpamp] μετά[pg] δέ[cc] ὁ[dgmp] φίλος[angmpn] αὐτός[rpgmp] καί[cc] ὁ[dgmp] ἐπαναπαύομαι[vppmgmp] αὐτός[rpdmp] συντηρέω[viaa3p] φιλία[nafsc]. **v.12** καί[cc] κατακρατέω[viaa3p] ὁ[dgmp] βασιλεύς[ngmpc] ὁ[dgmp] ἐγγύς[b] καί[cc] ὁ[dgmp] μακράν[b] καί[cc] ὅσος[rrnmpn] ἀκούω[viia3p] ὁ[dans] ὄνομα[nansc] αὐτός[rpgmp] φοβέω[viim3p] ἀπό[pg] αὐτός[rpgmp]. **v.13** ὅς[rrdmp] δέ[cc] ἄν[x] βούλομαι[vspm3p] βοηθέω[vnpa] καί[cc] βασιλεύω[vnpa] βασιλεύω[vipa3p] ὅς[rramp] δέ[cc] ἄν[x] βούλομαι[vspm3p] μεθίστημι[vspa3p] καί[cc] ὑψόω[viap3p] σφόδρα[b]. **v.14** καί[cc] ἐν[pd] πᾶς[aidnpn] οὗτος[rddnp] οὐ[b] ἐπιτίθημι[viam3p] αὐτός[rpgmp] οὐδέ[b] εἷς[acnmsn] διάδημα[nnnsc] οὐδέ[cc] περιβάλλω[viam3p] πορφύρα[nafsc] ὥστε[cs] ἀδρύνω[vnap] ἐν[pd] αὐτός[rpdfs]. **v.15** καί[cc] βουλευτήριον[nansc] ποιέω[viaa3p] ἑαυτοῦ[rxdmp] καί[cc] κατά[pa] ἡμέρα[nafsc] βουλεύω[viim3p] τριακόσιοι[acnmpn] καί[cc] εἴκοσι[ac—n] βουλεύω[vppmnmp] διά[pg] πᾶς[aignsn] περί[pg] ὁ[dgns] πλῆθος[ngnsc] ὁ[dgns] εὐκοσμέω[vnpa] αὐτός[rpamp]. **v.16** καί[cc] πιστεύω[vipa3p] εἷς[acdmsn] ἄνθρωπος[ndmsc] ἄρχω[vnpa] αὐτός[rpgmp] κατά[pa] ἐνιαυτός[namsc] καί[cc] κυριεύω[vnpa] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc] αὐτός[rpgmp] καί[cc] πᾶς[ainmpn] ἀκούω[vipa3p] ὁ[dgms] εἷς[acgmsn] καί[cc] οὐ[b] εἰμί[vipa3s] φθόνος[nnmsc] οὐδέ[cc] ζῆλος[nnmsc] ἐν[pd] αὐτός[rpdmp]. **v.17** καί[cc] ἐπιλέγω[viam3s] Ἰούδας[nnmsp] ὁ[dams] Εὐπόλεμος[namsp] υἱός[namsc] Ἰωάννης[ngmsp] ὁ[dgms] Ακκως[ngmsp] καί[cc] Ἰάσων[namsp] υἱός[namsc] Ελεαζαρος[ngmsp] καί[cc] ἀποστέλλω[viaa3s] αὐτός[rpamp] εἰς[pa] Ῥωμη[nafsp] ἵστημι[vnaa] φιλία[nafsc] καί[cc] συμμαχία[nafsc]. **v.18** καί[cc] ὁ[dgns] αἴρω[vnaa] ὁ[dams] ζυγός[namsc] ἀπό[pg] αὐτός[rpgmp] ὅτι[cs] ὁράω[viaa3p] ὁ[dafs] βασιλεία[nafsc] ὁ[dgmp] Ἕλλην[ngmpp] καταδουλόω[vppmamp] ὁ[dams] Ἰσραήλ[namsp] δουλεία[ndfsc].

20 σαν εἰς τὸ βουλευτήριον καὶ ἀπεκρίθησαν καὶ εἶπον. Ιουδας ὁ
καὶ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆθος τῶν Ιου-
δαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς στῆσαι μεθ' ὑμῶν συμμαχίαν
καὶ εἰρήνην καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ φίλους ὑμῶν.
21, 22 καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν. καὶ τοῦτο τὸ ἀντίγραφον
τῆς ἐπιστολῆς ἧς ἀντέγραψαν ἐπὶ δέλτοις χαλκαῖς καὶ ἀπέστει-
λαν εἰς Ιερουσαλημ εἶναι παρ' αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης
23 καὶ συμμαχίας. καλῶς γένοιτο Ῥωμαίοις καὶ τῷ ἔθνει Ιουδαίων
ἐν τῇ θαλάσσῃ καὶ ἐπὶ τῆς ξηρᾶς εἰς τὸν αἰῶνα καὶ ῥομφαία καὶ ἐ-
24 χθρὸς μακρυνθείη ἀπ' αὐτῶν. ἐὰν δὲ ἐνστῇ πόλεμος Ῥωμῃ προ-
τέρᾳ ἢ πᾶσιν τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ τῇ κυριείᾳ αὐτῶν.
25 συμμαχήσει τὸ ἔθνος τῶν Ιουδαίων ὡς ἂν ὁ καιρὸς ὑπογράφῃ
26 αὐτοῖς καρδίᾳ πλήρει. καὶ τοῖς πολεμοῦσιν οὐ δώσουσιν οὐδὲ
ἐπαρκέσουσιν σῖτον ὅπλα ἀργύριον πλοῖα ὡς ἔδοξεν Ῥωμῃ καὶ
27 φυλάξονται τὰ φυλάγματα αὐτῶν οὐθὲν λαβόντες. κατὰ τὰ αὐτὰ
δὲ ἐὰν ἔθνει Ιουδαίων συμβῇ προτέροις πόλεμος συμμαχήσουσιν
28 οἱ Ῥωμαῖοι ἐκ ψυχῆς ὡς ἂν αὐτοῖς ὁ καιρὸς ὑπογράφῃ. καὶ τοῖς
συμμαχοῦσιν οὐ δοθήσεται σῖτος ὅπλα ἀργύριον πλοῖα ὡς ἔδοξεν
Ῥωμῃ καὶ φυλάξονται τὰ φυλάγματα ταῦτα καὶ οὐ μετὰ δόλου.
29 κατὰ τοὺς λόγους τούτους οὕτως ἔστησαν Ῥωμαῖοι τῷ δήμῳ τῶν

---

v.19 καί[cc] πορεύομαι[viap3p] εἰς[pa] Ῥωμη[nafsp] καί[cc] ὁ[dnfs] ὁδός[nnfsc] πολύς[annfsn] σφόδρα[b] καί[cc] εἰσέρχομαι[viaa3p] εἰς[pa] ὁ[dans] βουλευτήριον[nansc] καί[cc] ἀποκρίνομαι[viap3p] καί[cc] λέγω[viaa3p]. **v.20** Ἰούδας[nnmsp] ὁ[dnms] καί[cc] Μακκαβαῖος[nnmsp] καί[cc] ὁ[dnmp] ἀδελφός[nnmpc] αὐτός[rpgms] καί[cc] ὁ[dnns] πλῆθος[nnnsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] ἀποστέλλω[viaa3p] ἐγώ[rpa-p] πρός[pa] σύ[rpa-p] ἵστημι[vnaa] μετά[pg] σύ[rpg-p] συμμαχία[nafsc] καί[cc] εἰρήνη[nafsc] καί[cc] γράφω[vnap] ἐγώ[rpa-p] σύμμαχος[anampn] καί[cc] φίλος[anampn] σύ[rpg-p]. **v.21** καί[cc] ἀρέσκω[viaa3s] ὁ[dnms] λόγος[nnmsc] ἐνώπιον[pg] αὐτός[rpgmp]. **v.22** καί[cc] οὗτος[rdnns] ὁ[dnns] ἀντίγραφον[nnnsc] ὁ[dgfs] ἐπιστολή[ngfsc] ὅς[rrgfs] ἀντιγράφω[viaa3p] ἐπί[pd] δέλτος[ndfpc] χαλκοῦς[andfpn] καί[cc] ἀποστέλλω[viaa3p] εἰς[pa] Ἱερουσαλήμ[nafsp] εἰμί[vnpa] παρά[pd] αὐτός[rpdmp] ἐκεῖ[b] μνημόσυνον[nnnsc] εἰρήνη[ngfsc] καί[cc] συμμαχία[ngfsc]. **v.23** καλῶς[b] γίνομαι[voam3s] Ῥωμαῖος[ndmpp] καί[cc] ὁ[ddns] ἔθνος[ndnsc] Ἰουδαῖος[angmpn] ἐν[pd] ὁ[ddfs] θάλασσα[ndfsc] καί[cc] ἐπί[pg] ὁ[dgfs] ξηρός[angfsn] εἰς[pa] ὁ[dams] αἰών[namsc] καί[cc] ῥομφαία[nnfsc] καί[cc] ἐχθρός[annmsn] μακρύνω[voap3s] ἀπό[pg] αὐτός[rpgmp]. **v.24** ἐάν[cs] δέ[cc] ἐνίστημι[vsaa3s] πόλεμος[nnmsc] Ῥωμη[ndfsp] πρότερος[andfsn] ἤ[cc] πᾶς[aidmpn] ὁ[ddmp] σύμμαχος[andmpn] αὐτός[rpgmp] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] κυριεία[ndfsc] αὐτός[rpgmp]. **v.25** συμμαχέω[vifa3s] ὁ[dnns] ἔθνος[nnnsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn] ὡς[cs] ἄν[x] ὁ[dnms] καιρός[nnmsc] ὑπογράφω[vspa3s] αὐτός[rpdmp] καρδία[ndfsc] πλήρης[andfsn]. **v.26** καί[cc] ὁ[ddmp] πολεμέω[vppadmp] οὐ[b] δίδωμι[vifa3p] οὐδέ[cc] ἐπαρκέω[vifa3p] σῖτος[namsc] ὅπλον[nanpc] ἀργύριον[nansc] πλοῖον[nanpc] ὡς[cs] δοκέω[viaa3s] Ῥωμη[ndfsp] καί[cc] φυλάσσω[vifm3p] ὁ[danp] φύλαγμα[nanpc] αὐτός[rpgmp] οὐθείς[rians] λαμβάνω[vpaanmp]. **v.27** κατά[pa] ὁ[danp] αὐτός[rpanp] δέ[cc] ἐάν[cs] ἔθνος[ndnsc] Ἰουδαῖος[angmpn] συμβαίνω[vsaa3s] πρότερος[andnpn] πόλεμος[nnmsc] συμμαχέω[vifa3p] ὁ[dnmp] Ῥωμαῖος[nnmpp] ἐκ[pg] ψυχή[ngfsc] ὡς[cs] ἄν[x] αὐτός[rpdmp] ὁ[dnms] καιρός[nnmsc] ὑπογράφω[vspa3s]. **v.28** καί[cc] ὁ[ddmp] σύμμαχος[andmpn] οὐ[b] δίδωμι[vifp3s] σῖτος[nnmsc] ὅπλον[nnnpc] ἀργύριον[nnnsc] πλοῖον[nnnpc] ὡς[cs] δοκέω[viaa3s] Ῥωμη[ndfsp] καί[cc] φυλάσσω[vifm3p] ὁ[danp] φύλαγμα[nanpc] οὗτος[rdanp] καί[cc] οὐ[b] μετά[pg] δόλος[ngmsc].

Ιουδαίων. ἐὰν δὲ μετὰ τοὺς λόγους τούτους βουλεύσωνται οὗτοι 30
καὶ οὗτοι προσθεῖναι ἢ ἀφελεῖν ποιήσονται ἐξ αἱρέσεως αὐτῶν καὶ
ὃ ἂν προσθῶσιν ἢ ἀφέλωσιν ἔσται κύρια. καὶ περὶ τῶν κακῶν 31
ὧν ὁ βασιλεὺς Δημήτριος συντελεῖται εἰς αὐτούς ἐγράψαμεν αὐτῷ
λέγοντες διὰ τί ἐβάρυνας τὸν ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς
συμμάχους Ιουδαίους. ἐὰν οὖν ἔτι ἐντύχωσιν κατὰ σοῦ ποιήσο- 32
μεν αὐτοῖς τὴν κρίσιν καὶ πολεμήσομέν σε διὰ τῆς θαλάσσης καὶ
διὰ τῆς ξηρᾶς.

καὶ ἤκουσεν Δημήτριος ὅτι ἔπεσεν Νικάνωρ καὶ ἡ δύναμις **9**
αὐτοῦ ἐν πολέμῳ καὶ προσέθετο τὸν Βακχίδην καὶ τὸν Α"λκιμον
ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν Ιουδα καὶ τὸ δεξιὸν κέρας μετ'
αὐτῶν. καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γαλγαλα καὶ παρενέβα- 2
λον ἐπὶ Μαισαλωθ τὴν ἐν Αρβηλοις καὶ προκατελάβοντο αὐτὴν
καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς. καὶ τοῦ μηνὸς τοῦ 3
πρώτου ἔτους τοῦ δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ πα-
ρενέβαλον ἐπὶ Ιερουσαλημ. καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς 4
Βερεαν ἐν εἴκοσι χιλιάσιν ἀνδρῶν καὶ δισχιλίᾳ ἵππῳ. καὶ Ιουδας 5
ἦν παρεμβεβληκὼς ἐν Ελασα καὶ τρισχίλιοι ἄνδρες μετ' αὐτοῦ ἐ-
κλεκτοί. καὶ εἶδον τὸ πλῆθος τῶν δυνάμεων ὅτι πολλοί εἰσιν καὶ 6
ἐφοβήθησαν σφόδρα καὶ ἐξερρύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς
οὐ κατελείφθησαν ἐξ αὐτῶν ἀλλ' ἢ ὀκτακόσιοι ἄνδρες. καὶ εἶδεν 7

---

v.29 κατά[pa] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] οὕτως[b] ἵστημι[viaa3p] Ῥωμαῖος[nnmpp] ὁ[ddms] δῆμος[ndmsc] ὁ[dgmp] Ἰουδαῖος[angmpn]. **v.30** ἐάν[cs] δέ[cc] μετά[pa] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] βουλεύω[vsam3p] οὗτος[rdnmp] καί[cc] οὗτος[rdnmp] προστίθημι[vnaa] ἤ[cc] ἀφαιρέω[vnaa] ποιέω[vifm3p] ἐκ[pg] αἵρεσις[ngfsc] αὐτός[rpgmp] καί[cc] ὅς[rrans] ἄν[x] προστίθημι[vsaa3p] ἤ[cc] ἀφαιρέω[vsaa3p] εἰμί[vifm3s] κύριος[annnpn]. **v.31** καί[cc] περί[pg] ὁ[dgnp] κακός[angnpn] ὅς[rrgnp] ὁ[dnms] βασιλεύς[nnmsc] Δημήτριος[nnmsp] συντελέω[vipm3s] εἰς[pa] αὐτός[rpamp] γράφω[viaa1p] αὐτός[rpdms] λέγω[vppanmp] διά[pa] τίς[rqans] βαρύνω[viaa2s] ὁ[dams] ζυγός[namsc] σύ[rpg-s] ἐπί[pa] ὁ[damp] φίλος[anampn] ἐγώ[rpg-p] ὁ[damp] σύμμαχος[anampn] Ἰουδαῖος[anampn]. **v.32** ἐάν[cs] οὖν[cc] ἔτι[b] ἐντυγχάνω[vsaa3p] κατά[pg] σύ[rpg-s] ποιέω[vifa1p] αὐτός[rpdmp] ὁ[dafs] κρίσις[nafsc] καί[cc] πολεμέω[vifa1p] σύ[rpa-s] διά[pg] ὁ[dgfs] θάλασσα[ngfsc] καί[cc] διά[pg] ὁ[dgfs] ξηρός[angfsn]. **9. v.1** καί[cc] ἀκούω[viaa3s] Δημήτριος[nnmsp] ὅτι[cs] πίπτω[viaa3s] Νικάνωρ[nnmsp] καί[cc] ὁ[dnfs] δύναμις[nnfsc] αὐτός[rpgms] ἐν[pd] πόλεμος[ndmsc] καί[cc] προστίθημι[viam3s] ὁ[dams] Βακχίδης[namsp] καί[cc] ὁ[dams] Α"λκιμος[namsp] ἐκ[pg] δεύτερος[aognsn] ἀποστέλλω[vnaa] εἰς[pa] γῆ[nafsc] Ἰούδας[ngmsp] καί[cc] ὁ[dans] δεξιός[anansn] κέρας[nansc] μετά[pg] αὐτός[rpgmp]. **v.2** καί[cc] πορεύομαι[viap3p] ὁδός[nafsc] ὁ[dafs] εἰς[pa] Γάλγαλα[na-sp] καί[cc] παρεμβάλλω[viaa3p] ἐπί[pa] Μαισαλωθ[nafsp] ὁ[dafs] ἐν[pd] Αρβηλος[ndmpp] καί[cc] προκαταλαμβάνω[viam3p] αὐτός[rpafs] καί[cc] ἀπόλλυμι[viaa3p] ψυχή[nafpc] ἄνθρωπος[ngmpc] πολύς[anafpn]. **v.3** καί[cc] ὁ[dgms] μήν[ngmsc] ὁ[dgms] πρῶτος[aogmsn] ἔτος[ngnsc] ὁ[dgns] δεύτερος[aognsn] καί[cc] πεντηκοστός[aognsn] καί[cc] ἑκατοστός[aognsn] παρεμβάλλω[viaa3p] ἐπί[pa] Ἰερουσαλήμ[nafsp]. **v.4** καί[cc] ἀπαίρω[viaa3p] καί[cc] πορεύομαι[viap3p] εἰς[pa] Βερεα[nafsp] ἐν[pd] εἴκοσι[ac—n] χιλιάς[ndfpc] ἀνήρ[ngmpc] καί[cc] δισχίλιος[acdfsn] ἵππος[ndfsc]. **v.5** καί[cc] Ἰούδας[nnmsp] εἰμί[viia3s] παρεμβάλλω[vpxanms] ἐν[pd] Ελασα[nd-sp] καί[cc] τρισχίλιοι[acnmpn] ἀνήρ[nnmpc] μετά[pg] αὐτός[rpgms] ἐκλεκτός[annmpn]. **v.6** καί[cc] ὁράω[viaa3p] ὁ[dans] πλῆθος[nansc] ὁ[dgfp] δύναμις[ngfpc] ὅτι[cs] πολύς[annmpn] εἰμί[vipa3p] καί[cc] φοβέω[viap3p] σφόδρα[b] καί[cc] ἐκρέω[viaa3p] πολύς[annmpn] ἀπό[pg] ὁ[dgfs] παρεμβολή[ngfsc] οὐ[b] καταλείπω[viap3p] ἐκ[pg] αὐτός[rpgmp] ἀλλά[cc] ἤ[cc] ὀκτακόσιοι[acnmpn] ἀνήρ[nnmpc].

Ιουδας ὅτι ἀπερρύη ἡ παρεμβολὴ αὐτοῦ καὶ ὁ πόλεμος ἔθλιβεν
αὐτόν καὶ συνετρίβη τῇ καρδίᾳ ὅτι οὐκ εἶχεν καιρὸν συναγαγεῖν
8 αὐτούς. καὶ ἐξελύθη καὶ εἶπεν τοῖς καταλειφθεῖσιν ἀναστῶμεν
καὶ ἀναβῶμεν ἐπὶ τοὺς ὑπεναντίους ἡμῶν ἐὰν ἄρα δυνώμεθα πο-
9 λεμῆσαι πρὸς αὐτούς. καὶ ἀπέστρεφον αὐτὸν λέγοντες οὐ μὴ
δυνώμεθα ἀλλ᾽ ἢ σῴζωμεν τὰς ἑαυτῶν ψυχὰς τὸ νῦν ἐπιστρέψω-
μεν καὶ οἱ ἀδελφοὶ ἡμῶν καὶ πολεμήσωμεν πρὸς αὐτούς ἡμεῖς δὲ
10 ὀλίγοι. καὶ εἶπεν Ιουδας μὴ γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦτο
φυγεῖν ἀπ᾽ αὐτῶν καὶ εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν καὶ ἀποθάνωμεν
ἐν ἀνδρείᾳ χάριν τῶν ἀδελφῶν ἡμῶν καὶ μὴ καταλίπωμεν αἰτίαν
11 τῇ δόξῃ ἡμῶν. καὶ ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς καὶ
ἔστησαν εἰς συνάντησιν αὐτοῖς καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη
καὶ οἱ σφενδονῆται καὶ οἱ τοξόται προεπορεύοντο τῆς δυνάμεως
καὶ οἱ πρωταγωνισταὶ πάντες οἱ δυνατοί Βακχίδης δὲ ἦν ἐν τῷ
12 δεξιῷ κέρατι. καὶ ἤγγισεν ἡ φάλαγξ ἐκ τῶν δύο μερῶν καὶ ἐφώ-
νουν ταῖς σάλπιγξιν καὶ ἐσάλπισαν οἱ παρὰ Ιουδου καὶ αὐτοὶ ταῖς
13 σάλπιγξιν. καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ τῆς φωνῆς τῶν παρεμβολῶν
καὶ ἐγένετο ὁ πόλεμος συνημμένος ἀπὸ πρωίθεν ἕως ἑσπέρας.
14 καὶ εἶδεν Ιουδας ὅτι Βακχίδης καὶ τὸ στερέωμα τῆς παρεμβολῆς
ἐν τοῖς δεξιοῖς καὶ συνῆλθον αὐτῷ πάντες οἱ εὔψυχοι τῇ καρδίᾳ.
15 καὶ συνετρίβη τὸ δεξιὸν μέρος ἀπ᾽ αὐτῶν καὶ ἐδίωκεν ὀπίσω αὐτῶν

---

v.7 καί[cc] ὁράω[viaa3s] Ἰούδας[nnmsp] ὅτι[cs] ἀπορρέω[viaa3s] ὁ[dnfs] παρεμβολή[nnfsc] αὐτός[rpgms] καί[cc] ὁ[dnms] πόλεμος[nnmsc] θλίβω[viia3s] αὐτός[rpams] καί[cc] συντρίβω[viap3s] ὁ[ddfs] καρδία[ndfsc] ὅτι[cs] οὐ[b] ἔχω[viia3s] καιρός[namsc] συνάγω[vnaa] αὐτός[rpamp]. **v.8** καί[cc] ἐκλύω[viap3s] καί[cc] λέγω[viaa3s] ὁ[ddmp] καταλείπω[vpapdmp] ἀνίστημι[vsaa1p] καί[cc] ἀναβαίνω[vsaa1p] ἐπί[pa] ὁ[damp] ὑπεναντίος[anampn] ἐγώ[rpg-p] ἐάν[cs] ἄρα[x] δύναμαι[vspm1p] πολεμέω[vnaa] πρός[pa] αὐτός[rpamp]. **v.9** καί[cc] ἀποστρέφω[viia3p] αὐτός[rpams] λέγω[vppanmp] οὐ[b] μή[x] δύναμαι[vspm1p] ἀλλά[cc] ἤ[cc] σῴζω[vspa1p] ὁ[dafp] ἑαυτοῦ[rxgmp] ψυχή[nafpc] ὁ[dans] νῦν[b] ἐπιστρέφω[vsaa1p] καί[cc] ὁ[dnmp] ἀδελφός[nnmpc] ἐγώ[rpg-p] καί[cc] πολεμέω[vsaa1p] πρός[pa] αὐτός[rpamp] ἐγώ[rpn-p] δέ[cc] ὀλίγος[annmpn]. **v.10** καί[cc] λέγω[viaa3s] Ἰούδας[nnmsp] μή[x] γίνομαι[voam3s] ποιέω[vnaa] ὁ[dans] πρᾶγμα[nansc] οὗτος[rdans] φεύγω[vnaa] ἀπό[pg] αὐτός[rpgmp] καί[cc] εἰ[cs] ἐγγίζω[vixa3s] ὁ[dnms] καιρός[nnmsc] ἐγώ[rpg-p] καί[cc] ἀποθνῄσκω[vsaa1p] ἐν[pd] ἀνδρεία[ndfsc] χάριν[pg] ὁ[dgmp] ἀδελφός[ngmpc] ἐγώ[rpg-p] καί[cc] μή[x] καταλείπω[vsaa1p] αἰτία[nafsc] ὁ[ddfs] δόξα[ndfsc] ἐγώ[rpg-p]. **v.11** καί[cc] ἀπαίρω[viaa3s] ὁ[dnfs] δύναμις[nnfsc] ἀπό[pg] ὁ[dgfs] παρεμβολή[ngfsc] καί[cc] ἵστημι[viaa3p] εἰς[pa] συνάντησις[nafsc] αὐτός[rpdmp] καί[cc] μερίζω[viap3s] ὁ[dnfs] ἵππος[nnfsc] εἰς[pa] δύο[ac—n] μέρος[nanpc] καί[cc] ὁ[dnmp] σφενδονήτης[nnmpc] καί[cc] ὁ[dnmp] τοξότης[nnmpc] προπορεύομαι[viim3p] ὁ[dgfs] δύναμις[ngfsc] καί[cc] ὁ[dnmp] πρωταγωνιστής[nnmpc] πᾶς[ainmpn] ὁ[dnmp] δυνατός[annmpn] Βακχίδης[nnmsp] δέ[cc] εἰμί[viia3s] ἐν[pd] ὁ[ddns] δεξιός[andnsn] κέρας[ndnsc]. **v.12** καί[cc] ἐγγίζω[viaa3s] ὁ[dnfs] φάλαγξ[nnfsc] ἐκ[pg] ὁ[dgnp] δύο[ac—n] μέρος[ngnpc] καί[cc] φωνέω[viia3p] ὁ[ddfp] σάλπιγξ[ndfpc] καί[cc] σαλπίζω[viaa3p] ὁ[dnmp] παρά[pg] Ἰούδας[ngmsp] καί[b] αὐτός[rpnmp] ὁ[ddfp] σάλπιγξ[ndfpc]. **v.13** καί[cc] σαλεύω[viap3s] ὁ[dnfs] γῆ[nnfsc] ἀπό[pg] ὁ[dgfs] φωνή[ngfsc] ὁ[dgfp] παρεμβολή[ngfpc] καί[cc] γίνομαι[viam3s] ὁ[dnms] πόλεμος[nnmsc] συνάπτω[vpxpnms] ἀπό[pp] πρωΐθεν[b] ἕως[pg] ἑσπέρα[ngfsc]. **v.14** καί[cc] ὁράω[viaa3s] Ἰούδας[nnmsp] ὅτι[cs] Βακχίδης[nnmsp] καί[cc] ὁ[dnns] στερέωμα[nnnsc] ὁ[dgfs] παρεμβολή[ngfsc] ἐν[pd] ὁ[ddnp] δεξιός[andnpn] καί[cc] συνέρχομαι[viaa3p] αὐτός[rpdms] πᾶς[ainmpn] ὁ[dnmp] εὔψυχος[annmpn] ὁ[ddfs] καρδία[ndfsc].

ἕως Αζωτου ὄρους. καὶ οἱ εἰς τὸ ἀριστερὸν κέρας εἶδον ὅτι συνε- 16
τρίβη τὸ δεξιὸν κέρας καὶ ἐπέστρεψαν κατὰ πόδας Ιουδου καὶ τῶν
μετ᾽ αὐτοῦ ἐκ τῶν ὄπισθεν. καὶ ἐβαρύνθη ὁ πόλεμος καὶ ἔπεσον 17
τραυματίαι πολλοὶ ἐκ τούτων καὶ ἐκ τούτων. καὶ Ιουδας ἔπεσεν 18
καὶ οἱ λοιποὶ ἔφυγον. καὶ ἦρεν Ιωναθαν καὶ Σιμων Ιουδαν τὸν 19
ἀδελφὸν αὐτῶν καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν πατέρων αὐ-
τοῦ ἐν Μωδεϊν. καὶ ἔκλαυσαν αὐτὸν καὶ ἐκόψαντο αὐτὸν πᾶς 20
Ισραηλ κοπετὸν μέγαν καὶ ἐπένθουν ἡμέρας πολλὰς καὶ εἶπον.
πῶς ἔπεσεν δυνατὸς σῴζων τὸν Ισραηλ. καὶ τὰ περισσὰ τῶν λό- 21, 22
γων Ιουδου καὶ τῶν πολέμων καὶ τῶν ἀνδραγαθιῶν ὧν ἐποίησεν
καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐ κατεγράφη πολλὰ γὰρ ἦν σφό-
δρα. καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ιουδου ἐξέκυψαν οἱ ἄνομοι 23
ἐν πᾶσιν τοῖς ὁρίοις Ισραηλ καὶ ἀνέτειλαν πάντες οἱ ἐργαζόμενοι
τὴν ἀδικίαν. ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη λιμὸς μέγας σφό- 24
δρα καὶ αὐτομόλησεν ἡ χώρα μετ᾽ αὐτῶν. καὶ ἐξέλεξεν Βακχίδης 25
τοὺς ἀσεβεῖς ἄνδρας καὶ κατέστησεν αὐτοὺς κυρίους τῆς χώρας.
καὶ ἐξεζήτουν καὶ ἠρεύνων τοὺς φίλους Ιουδου καὶ ἦγον αὐτοὺς 26
πρὸς Βακχίδην καὶ ἐξεδίκα αὐτοὺς καὶ ἐνέπαιζεν αὐτοῖς. καὶ 27
ἐγένετο θλῖψις μεγάλη ἐν τῷ Ισραηλ ἥτις οὐκ ἐγένετο ἀφ᾽ ἧς ἡ-
μέρας οὐκ ὤφθη προφήτης αὐτοῖς. καὶ ἠθροίσθησαν πάντες οἱ 28

---

v.15 καίᶜᶜ συντρίβωᵛⁱᵃᵖ³ˢ ὁᵈⁿⁿˢ δεξιόςᵃⁿⁿⁿˢⁿ μέροςⁿⁿⁿˢᶜ ἀπόᵖᵍ αὐτόςʳᵖᵍᵐᵖ καίᶜᶜ διώκωᵛⁱⁱᵃ³ˢ ὀπίσωᵖᵍ αὐτόςʳᵖᵍᵐᵖ ἕωςᵖᵍ Αζωτοςⁿᵍᶠˢᵖ ὄροςⁿᵍⁿˢᶜ. **v.16** καίᶜᶜ ὁᵈⁿᵐᵖ εἰςᵖᵃ ὁᵈᵃⁿˢ ἀριστερόςᵃⁿᵃⁿˢⁿ κέραςⁿᵃⁿˢᶜ ὁράωᵛⁱᵃᵃ³ᵖ ὅτιᶜˢ συντρίβωᵛⁱᵃᵖ³ˢ ὁᵈⁿⁿˢ δεξιόςᵃⁿⁿⁿˢⁿ κέραςⁿⁿⁿˢᶜ καίᶜᶜ ἐπιστρέφωᵛⁱᵃᵃ³ᵖ κατάᵖᵃ πούςⁿᵃᵐᵖᶜ Ἰούδαςⁿᵍᵐˢᵖ καίᶜᶜ ὁᵈᵍᵐᵖ μετάᵖᵍ αὐτόςʳᵖᵍᵐˢ ἐκᵖᵍ ὁᵈᵍᵐᵖ ὄπισθενᵇ. **v.17** καίᶜᶜ βαρύνωᵛⁱᵃᵖ³ˢ ὁᵈⁿᵐˢ πόλεμοςⁿⁿᵐˢᶜ καίᶜᶜ πίπτωᵛⁱᵃᵃ³ᵖ τραυματίαςⁿⁿᵐᵖᶜ πολύςᵃⁿⁿᵐᵖⁿ ἐκᵖᵍ οὗτοςʳᵈᵍᵐᵖ καίᶜᶜ ἐκᵖᵍ οὗτοςʳᵈᵍᵐᵖ. **v.18** καίᶜᶜ Ἰούδαςⁿⁿᵐˢᵖ πίπτωᵛⁱᵃᵃ³ˢ καίᶜᶜ ὁᵈⁿᵐᵖ λοιπόςᵃⁿⁿᵐᵖⁿ φεύγωᵛⁱᵃᵃ³ᵖ. **v.19** καίᶜᶜ αἴρωᵛⁱᵃᵃ³ˢ Ιωναθανⁿⁿᵐˢᵖ καίᶜᶜ Σίμωνⁿⁿᵐˢᵖ Ἰούδαςⁿᵃᵐˢᵖ ὁᵈᵃᵐˢ ἀδελφόςⁿᵃᵐˢᶜ αὐτόςʳᵖᵍᵐᵖ καίᶜᶜ θάπτωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵃᵐˢ ἐνᵖᵈ ὁᵈᵈᵐˢ τάφοςⁿᵈᵐˢᶜ ὁᵈᵍᵐᵖ πατήρⁿᵍᵐᵖᶜ αὐτόςʳᵖᵍᵐˢ ἐνᵖᵈ Μωδεῖνⁿᵈᶠˢᵖ. **v.20** καίᶜᶜ κλαίωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵃᵐˢ καίᶜᶜ κόπτωᵛⁱᵃᵐ³ᵖ αὐτόςʳᵖᵃᵐˢ πᾶςᵃⁱⁿᵐˢⁿ Ἰσραήλⁿⁿᵐˢᵖ κοπετόςⁿᵃᵐˢᶜ μέγαςᵃⁿᵃᵐˢⁿ καίᶜᶜ πενθέωᵛⁱⁱᵃ³ᵖ ἡμέραⁿᵃᶠᵖᶜ πολύςᵃⁿᵃᶠᵖⁿ καίᶜᶜ λέγωᵛⁱᵃᵃ³ᵖ. **v.21** πῶςᵇ πίπτωᵛⁱᵃᵃ³ˢ δυνατόςᵃⁿⁿᵐˢⁿ σῴζωᵛᵖᵖᵃⁿᵐˢ ὁᵈᵃᵐˢ Ἰσραήλⁿᵃᵐˢᵖ. **v.22** καίᶜᶜ ὁᵈⁿⁿᵖ περισσόςᵃⁿⁿⁿᵖⁿ ὁᵈᵍᵐᵖ λόγοςⁿᵍᵐᵖᶜ Ἰούδαςⁿᵍᵐˢᵖ καίᶜᶜ ὁᵈᵍᵐᵖ πόλεμοςⁿᵍᵐᵖᶜ καίᶜᶜ ὁᵈᵍᶠᵖ ἀνδραγαθίαⁿᵍᶠᵖᶜ ὅςʳʳᵍⁿᵖ ποιέωᵛⁱᵃᵃ³ˢ καίᶜᶜ ὁᵈᵍᶠˢ μεγαλωσύνηⁿᵍᶠˢᶜ αὐτόςʳᵖᵍᵐˢ οὐᵇ καταγράφωᵛⁱᵃᵖ³ˢ πολύςᵃⁿⁿⁿᵖⁿ γάρᶜᶜ εἰμίᵛⁱⁱᵃ³ˢ σφόδραᵇ. **v.23** καίᶜᶜ γίνομαιᵛⁱᵃᵐ³ˢ μετάᵖᵃ ὁᵈᵃᶠˢ τελευτήⁿᵃᶠˢᶜ Ἰούδαςⁿᵍᵐˢᵖ ἐκκύπτωᵛⁱᵃᵃ³ᵖ ὁᵈⁿᵐᵖ ἄνομοςᵃⁿⁿᵐᵖⁿ ἐνᵖᵈ πᾶςᵃⁱᵈⁿᵖⁿ ὁᵈᵈⁿᵖ ὅριονⁿᵈⁿᵖᶜ Ἰσραήλⁿᵍᵐˢᵖ καίᶜᶜ ἀνατέλλωᵛⁱᵃᵃ³ᵖ πᾶςᵃⁱⁿᵐᵖⁿ ὁᵈⁿᵐᵖ ἐργάζομαιᵛᵖᵖᵐⁿᵐᵖ ὁᵈᵃᶠˢ ἀδικίαⁿᵃᶠˢᶜ. **v.24** ἐνᵖᵈ ὁᵈᵈᶠᵖ ἡμέραⁿᵈᶠᵖᶜ ἐκεῖνοςʳᵈᵈᶠᵖ γίνομαιᵛⁱᵃᵖ³ˢ λιμόςⁿⁿᵐˢᶜ μέγαςᵃⁿⁿᵐˢⁿ σφόδραᵇ καίᶜᶜ αὐτομολέωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᶠˢ χώραⁿⁿᶠˢᶜ μετάᵖᵍ αὐτόςʳᵖᵍᵐᵖ. **v.25** καίᶜᶜ ἐκλέγωᵛⁱᵃᵃ³ˢ Βακχίδηςⁿⁿᵐˢᵖ ὁᵈᵃᵐᵖ ἀσεβήςᵃⁿᵃᵐᵖⁿ ἀνήρⁿᵃᵐᵖᶜ καίᶜᶜ καθίστημιᵛⁱᵃᵃ³ˢ αὐτόςʳᵖᵃᵐᵖ κύριοςⁿᵃᵐᵖᶜ ὁᵈᵍᶠˢ χώραⁿᵍᶠˢᶜ. **v.26** καίᶜᶜ ἐκζητέωᵛⁱⁱᵃ³ᵖ καίᶜᶜ ἐρευνάωᵛⁱⁱᵃ³ᵖ ὁᵈᵃᵐᵖ φίλοςᵃⁿᵃᵐᵖⁿ Ἰούδαςⁿᵍᵐˢᵖ καίᶜᶜ ἄγωᵛⁱⁱᵃ³ᵖ αὐτόςʳᵖᵃᵐᵖ πρόςᵖᵃ Βακχίδηςⁿᵃᵐˢᵖ καίᶜᶜ ἐκδικάζωᵛⁱⁱᵃ³ˢ αὐτόςʳᵖᵃᵐᵖ καίᶜᶜ ἐμπαίζωᵛⁱⁱᵃ³ˢ αὐτόςʳᵖᵈᵐᵖ. **v.27** καίᶜᶜ γίνομαιᵛⁱᵃᵐ³ˢ θλῖψιςⁿⁿᶠˢᶜ μέγαςᵃⁿⁿᶠˢⁿ ἐνᵖᵈ ὁᵈᵈᵐˢ Ἰσραήλⁿᵈᵐˢᵖ ὅστιςʳʳⁿᶠˢ οὐᵇ γίνομαιᵛⁱᵃᵐ³ˢ ἀπόᵖᵍ ὅςʳʳᵍᶠˢ ἡμέραⁿᵍᶠˢᶜ οὐᵇ ὁράωᵛⁱᵃᵖ³ˢ προφήτηςⁿⁿᵐˢᶜ αὐτόςʳᵖᵈᵐᵖ.

29 φίλοι Ιουδου καὶ εἶπον τῷ Ιωναθαν. ἀφ᾽ οὗ ὁ ἀδελφός σου Ιου-
δας τετελεύτηκεν καὶ ἀνὴρ ὅμοιος αὐτῷ οὐκ ἔστιν ἐξελθεῖν καὶ
εἰσελθεῖν πρὸς τοὺς ἐχθροὺς καὶ Βακχίδην καὶ ἐν τοῖς ἐχθραί-
30 νουσιν τοῦ ἔθνους ἡμῶν. νῦν οὖν σὲ ᾑρετισάμεθα σήμερον τοῦ
εἶναι ἀντ᾽ αὐτοῦ ἡμῖν εἰς ἄρχοντα καὶ ἡγούμενον τοῦ πολεμῆσαι
31 τὸν πόλεμον ἡμῶν. καὶ ἐπεδέξατο Ιωναθαν ἐν τῷ καιρῷ ἐκείνῳ
32 τὴν ἡγησιν καὶ ἀνέστη ἀντὶ Ιουδου τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ἔ-
33 γνω Βακχίδης καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι. καὶ ἔγνω Ιωναθαν
καὶ Σιμων ὁ ἀδελφὸς αὐτοῦ καὶ πάντες οἱ μετ᾽ αὐτοῦ καὶ ἔφυ-
γον εἰς τὴν ἔρημον Θεκωε καὶ παρενέβαλον ἐπὶ τὸ ὕδωρ λάκκου
34 Ασφαρ. καὶ ἔγνω Βακχίδης τῇ ἡμέρᾳ τῶν σαββάτων καὶ ἦλθεν
35 αὐτὸς καὶ πᾶν τὸ στράτευμα αὐτοῦ πέραν τοῦ Ιορδάνου. καὶ
ἀπέστειλεν τὸν ἀδελφὸν αὐτοῦ ἡγούμενον τοῦ ὄχλου καὶ παρε-
κάλεσεν τοὺς Ναβαταίους φίλους αὐτοῦ τοῦ παραθέσθαι αὐτοῖς
36 τὴν ἀποσκευὴν αὐτῶν τὴν πολλήν. καὶ ἐξῆλθον οἱ υἱοὶ Ιαμβρι
οἱ ἐκ Μηδαβα καὶ συνέλαβον Ιωαννην καὶ πάντα ὅσα εἶχεν καὶ
37 ἀπῆλθον ἔχοντες. μετὰ τοὺς λόγους τούτους ἀπήγγειλαν Ιωνα-
θαν καὶ Σιμωνι τῷ ἀδελφῷ αὐτοῦ ὅτι υἱοὶ Ιαμβρι ποιοῦσιν γάμον
μέγαν καὶ ἄγουσιν τὴν νύμφην ἀπὸ Ναδαβαθ θυγατέρα ἑνὸς τῶν
38 μεγάλων μεγιστάνων Χανααν μετὰ παραπομπῆς μεγάλης. καὶ
ἐμνήσθησαν τοῦ αἵματος Ιωαννου τοῦ ἀδελφοῦ αὐτῶν καὶ ἀνέ-

---

v.28 καί[cc] ἀθροίζω[viap3p] πᾶς[ainmpn] ὁ[dnmp] φίλος[annmpn] Ἰούδας[ngmsp] καί[cc] λέγω[viaa3p] ὁ[ddms] Ιωναθαν[ndmsp]. **v.29** ἀπό[pg] ὅς[rrgns] ὁ[dnms] ἀδελφός[nnmsc] σύ[rpg-s] Ἰούδας[nnmsp] τελευτάω[vixa3s] καί[cc] ἀνήρ[nnmsc] ὅμοιος[annmsn] αὐτός[rpdms] οὐ[b] εἰμί[vipa3s] ἐξέρχομαι[vnaa] καί[cc] εἰσέρχομαι[vnaa] πρός[pa] ὁ[damp] ἐχθρός[anampn] καί[cc] Βακχίδης[namsp] καί[cc] ἐν[pd] ὁ[ddmp] ἐχθραίνω[vppadmp] ὁ[dgns] ἔθνος[ngnsc] ἐγώ[rpg-p]. **v.30** νῦν[b] οὖν[cc] σύ[rpa-s] αἱρετίζω[viam1p] σήμερον[b] ὁ[dgns] εἰμί[vnpa] ἀντί[pg] αὐτός[rpgms] ἐγώ[rpd-p] εἰς[pa] ἄρχων[namsc] καί[cc] ἡγέομαι[vppmams] ὁ[dgns] πολεμέω[vnaa] ὁ[dams] πόλεμος[namsc] ἐγώ[rpg-p]. **v.31** καί[cc] ἐπιδέχομαι[viam3s] Ιωναθαν[nnmsp] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] ὁ[dafs] ἡγησις[nafsc] καί[cc] ἀνίστημι[viaa3s] ἀντί[pg] Ἰούδας[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] αὐτός[rpgms]. **v.32** καί[cc] γινώσκω[viaa3s] Βακχίδης[nnmsp] καί[cc] ζητέω[viia3s] αὐτός[rpams] ἀποκτείνω[vnaa]. **v.33** καί[cc] γινώσκω[viaa3s] Ιωναθαν[nnmsp] καί[cc] Σίμων[nnmsp] ὁ[dnms] ἀδελφός[nnmsc] αὐτός[rpgms] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] μετά[pg] αὐτός[rpgms] καί[cc] φεύγω[viaa3p] εἰς[pa] ὁ[dafs] ἔρημος[nafsc] Θεκωε[ng-sp] καί[cc] παρεμβάλλω[viaa3p] ἐπί[pa] ὁ[dans] ὕδωρ[nansc] λάκκος[ngmsc] Ασφαρ[ng-sp]. **v.34** καί[cc] γινώσκω[viaa3s] Βακχίδης[nnmsp] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[dgnp] σάββατον[ngnpc] καί[cc] ἔρχομαι[viaa3s] αὐτός[rpnms] καί[cc] πᾶς[ainnsn] ὁ[dnns] στράτευμα[nnnsc] αὐτός[rpgms] πέραν[pg] ὁ[dgms] Ἰορδάνης[ngmsp]. **v.35** καί[cc] ἀποστέλλω[viaa3s] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] ἡγέομαι[vppmams] ὁ[dgms] ὄχλος[ngmsc] καί[cc] παρακαλέω[viaa3s] ὁ[damp] Ναβαταῖος[nampp] φίλος[anampn] αὐτός[rpgms] ὁ[dgns] παρατίθημι[vnam] αὐτός[rpdmp] ὁ[dafs] ἀποσκευή[nafsc] αὐτός[rpgmp] ὁ[dafs] πολύς[anafsn]. **v.36** καί[cc] ἐξέρχομαι[viaa3p] ὁ[dnmp] υἱός[nnmpc] Ιαμβρι[ngmsp] ὁ[dnmp] ἐκ[pg] Μηδαβα[ng-sp] καί[cc] συλλαμβάνω[viaa3p] Ἰωάννης[namsp] καί[cc] πᾶς[aianpn] ὅσος[aranpn] ἔχω[viia3s] καί[cc] ἀπέρχομαι[viaa3p] ἔχω[vppanmp]. **v.37** μετά[pa] ὁ[damp] λόγος[nampc] οὗτος[rdamp] ἀπαγγέλλω[viaa3p] Ιωναθαν[ndmsp] καί[cc] Σίμων[ndmsp] ὁ[ddms] ἀδελφός[ndmsc] αὐτός[rpgms] ὅτι[cs] υἱός[nnmpc] Ιαμβρι[ngmsp] ποιέω[vipa3p] γάμος[namsc] μέγας[anamsn] καί[cc] ἄγω[vipa3p] ὁ[dafs] νύμφη[nafsc] ἀπό[pg] Ναδαβαθ[ng-sp] θυγάτηρ[nafsc] εἷς[acgmsn] ὁ[dgmp] μέγας[angmpn] μεγιστάν[ngmpc] Χανάαν[ngfsp] μετά[pg] παραπομπή[ngfsc] μέγας[angfsn].

βησαν καὶ ἐκρύβησαν ὑπὸ τὴν σκέπην τοῦ ὄρους. καὶ ἦραν 39
τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ εἶδον καὶ ἰδοὺ θροῦς καὶ ἀποσκευὴ
πολλὴ καὶ ὁ νυμφίος ἐξῆλθεν καὶ οἱ φίλοι αὐτοῦ καὶ οἱ ἀδελφοὶ
αὐτοῦ εἰς συνάντησιν αὐτῶν μετὰ τυμπάνων καὶ μουσικῶν καὶ ὅ-
πλων πολλῶν. καὶ ἐξανέστησαν ἐπ᾽ αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου καὶ 40
ἀπέκτειναν αὐτούς καὶ ἔπεσον τραυματίαι πολλοί καὶ οἱ ἐπίλοι-
ποι ἔφυγον εἰς τὸ ὄρος καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν. καὶ 41
μετεστράφη ὁ γάμος εἰς πένθος καὶ φωνὴ μουσικῶν αὐτῶν εἰς
θρῆνον. καὶ ἐξεδίκησαν τὴν ἐκδίκησιν αἵματος ἀδελφοῦ αὐτῶν 42
καὶ ἀπέστρεψαν εἰς τὸ ἕλος τοῦ Ιορδάνου. καὶ ἤκουσεν Βακ- 43
χίδης καὶ ἦλθεν τῇ ἡμέρᾳ τῶν σαββάτων ἕως τῶν κρηπίδων τοῦ
Ιορδάνου ἐν δυνάμει πολλῇ. καὶ εἶπεν Ιωναθαν τοῖς παρ᾽ αὐτοῦ 44
ἀναστῶμεν δὴ καὶ πολεμήσωμεν περὶ τῶν ψυχῶν ἡμῶν οὐ γάρ ἐ-
στιν σήμερον ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. ἰδοὺ γὰρ ὁ πόλεμος ἐξ 45
ἐναντίας καὶ ἐξόπισθεν ἡμῶν τὸ δὲ ὕδωρ τοῦ Ιορδάνου ἔνθεν καὶ
ἔνθεν καὶ ἕλος καὶ δρυμός οὐκ ἔστιν τόπος τοῦ ἐκκλῖναι. νῦν 46
οὖν κεκράξατε εἰς τὸν οὐρανόν ὅπως διασωθῆτε ἐκ χειρὸς τῶν
ἐχθρῶν ἡμῶν. καὶ συνῆψεν ὁ πόλεμος καὶ ἐξέτεινεν Ιωναθαν 47
τὴν χεῖρα αὐτοῦ πατάξαι τὸν Βακχίδην καὶ ἐξέκλινεν ἀπ᾽ αὐτοῦ
εἰς τὰ ὀπίσω. καὶ ἐνεπήδησεν Ιωναθαν καὶ οἱ μετ᾽ αὐτοῦ εἰς τὸν 48
Ιορδάνην καὶ διεκολύμβησαν εἰς τὸ πέραν καὶ οὐ διέβησαν ἐπ᾽

---

v.38 καὶ[cc] μιμνῄσκομαι[viap3p] ὁ[dgns] αἷμα[ngnsc] Ἰωάννης[ngmsp] ὁ[dgms] ἀδελφός[ngmsc] αὐτός[rpgmp] καί[cc] ἀναβαίνω[viaa3p] καί[cc] κρύπτω[viap3p] ὑπό[pa] ὁ[dafs] σκέπη[nafsc] ὁ[dgns] ὄρος[ngnsc]. **v.39** καί[cc] αἴρω[viaa3p] ὁ[damp] ὀφθαλμός[nampc] αὐτός[rpgmp] καί[cc] ὁράω[viaa3p] καί[cc] ἰδού[i] θροῦς[nnmsc] καί[cc] ἀποσκευή[nnfsc] πολύς[annfsn] καί[cc] ὁ[dnms] νυμφίος[nnmsc] ἐξέρχομαι[viaa3s] καί[cc] ὁ[dnmp] φίλος[annmpn] αὐτός[rpgms] καί[cc] ὁ[dnmp] ἀδελφός[nnmpc] αὐτός[rpgms] εἰς[pa] συνάντησις[nafsc] αὐτός[rpgmp] μετά[pg] τύμπανον[ngnpc] καί[cc] μουσικός[angnpn] καί[cc] ὅπλον[ngnpc] πολύς[angnpn]. **v.40** καί[cc] ἐξανίστημι[viaa3p] ἐπί[pa] αὐτός[rpamp] ἀπό[pg] ὁ[dgns] ἔνεδρον[ngnsc] καί[cc] ἀποκτείνω[viaa3p] αὐτός[rpamp] καί[cc] πίπτω[viaa3p] τραυματίας[nnmpc] πολύς[annmpn] καί[cc] ὁ[dnmp] ἐπίλοιπος[annmpn] φεύγω[viaa3p] εἰς[pa] ὁ[dans] ὄρος[nansc] καί[cc] λαμβάνω[viaa3p] πᾶς[aianpn] ὁ[danp] σκῦλον[nanpc] αὐτός[rpgmp]. **v.41** καί[cc] μεταστρέφω[viap3s] ὁ[dnms] γάμος[nnmsc] εἰς[pa] πένθος[nansc] καί[cc] φωνή[nnfsc] μουσικός[angnpn] αὐτός[rpgmp] εἰς[pa] θρῆνος[namsc]. **v.42** καί[cc] ἐκδικέω[viaa3p] ὁ[dafs] ἐκδίκησις[nafsc] αἷμα[ngnsc] ἀδελφός[ngmsc] αὐτός[rpgmp] καί[cc] ἀποστρέφω[viaa3p] εἰς[pa] ὁ[dans] ἕλος[nansc] ὁ[dgms] Ἰορδάνης[ngmsp]. **v.43** καί[cc] ἀκούω[viaa3s] Βακχίδης[nnmsp] καί[cc] ἔρχομαι[viaa3s] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[dgnp] σάββατον[ngnpc] ἕως[pg] ὁ[dgfp] κρηπίς[ngfpc] ὁ[dgms] Ἰορδάνης[ngmsp] ἐν[pd] δύναμις[ndfsc] πολύς[andfsn]. **v.44** καί[cc] λέγω[viaa3s] Ἰωναθαν[nnmsp] ὁ[ddmp] παρά[pg] αὐτός[rpgms] ἀνίστημι[vsaa1p] δή[x] καί[cc] πολεμέω[vsaa1p] περί[pg] ὁ[dgfp] ψυχή[ngfpc] ἐγώ[rpg-p] οὐ[b] γάρ[cc] εἰμί[vipa3s] σήμερον[b] ὡς[cs] ἐχθές[b] καί[cc] τρίτος[aoafsn] ἡμέρα[nafsc]. **v.45** ἰδού[i] γάρ[cc] ὁ[dnms] πόλεμος[nnmsc] ἐκ[pg] ἐναντίος[angfsn] καί[cc] ἐξόπισθεν[b] ἐγώ[rpg-p] ὁ[dnns] δέ[cc] ὕδωρ[nnnsc] ὁ[dgms] Ἰορδάνης[ngmsp] ἔνθεν[b] καί[cc] ἔνθεν[b] καί[cc] ἕλος[nnnsc] καί[cc] δρυμός[nnmsc] οὐ[b] εἰμί[vipa3s] τόπος[nnmsc] ὁ[dgns] ἐκκλίνω[vnaa]. **v.46** νῦν[b] οὖν[cc] κράζω[vdaa2p] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] ὅπως[cs] διασῴζω[vsap2p] ἐκ[pg] χείρ[ngfsc] ὁ[dgmp] ἐχθρός[angmpn] ἐγώ[rpg-p]. **v.47** καί[cc] συνάπτω[viaa3s] ὁ[dnms] πόλεμος[nnmsc] καί[cc] ἐκτείνω[viaa3s] Ιωναθαν[nnmsp] ὁ[dafs] χείρ[nafsc] αὐτός[rpgms] πατάσσω[vnaa] ὁ[dams] Βακχίδης[namsp] καί[cc] ἐκκλίνω[viaa3s] ἀπό[pg] αὐτός[rpgms] εἰς[pa] ὁ[danp] ὀπίσω[b].

49 αὐτοὺς τὸν Ιορδάνην. ἔπεσον δὲ παρὰ Βακχίδου τῇ ἡμέρᾳ ἐ-
50 κείνῃ εἰς χιλίους ἄνδρας. καὶ ἐπέστρεψεν εἰς Ιερουσαλημ καὶ
ᾠκοδόμησαν πόλεις ὀχυρὰς ἐν τῇ Ιουδαίᾳ τὸ ὀχύρωμα τὸ ἐν Ιε-
ριχω καὶ τὴν Αμμαους καὶ τὴν Βαιθωρων καὶ τὴν Βαιθηλ καὶ τὴν
Θαμναθα Φαραθων καὶ τὴν Τεφων ἐν τείχεσιν ὑψηλοῖς καὶ πύ-
51 λαις καὶ μοχλοῖς. καὶ ἔθετο φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν
52 τῷ Ισραηλ. καὶ ὠχύρωσεν τὴν πόλιν τὴν Βαιθσουραν καὶ Γαζαρα
καὶ τὴν ἄκραν καὶ ἔθετο ἐν αὐταῖς δυνάμεις καὶ παραθέσεις βρω-
53 μάτων. καὶ ἔλαβεν τοὺς υἱοὺς τῶν ἡγουμένων τῆς χώρας ὅμηρα
54 καὶ ἔθετο αὐτοὺς ἐν τῇ ἄκρᾳ ἐν Ιερουσαλημ ἐν φυλακῇ. καὶ
ἐν ἔτει τρίτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ τῷ μηνὶ τῷ δευτέρῳ
ἐπέταξεν Α᾽λκιμος καθαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων τῆς
ἐσωτέρας καὶ καθεῖλεν τὰ ἔργα τῶν προφητῶν καὶ ἐνήρξατο τοῦ
55 καθαιρεῖν. ἐν τῷ καιρῷ ἐκείνῳ ἐπλήγη Α᾽λκιμος καὶ ἐνεποδίσθη
τὰ ἔργα αὐτοῦ καὶ ἀπεφράγη τὸ στόμα αὐτοῦ καὶ παρελύθη καὶ
οὐκ ἠδύνατο ἔτι λαλῆσαι λόγον καὶ ἐντείλασθαι περὶ τοῦ οἴκου
56 αὐτοῦ. καὶ ἀπέθανεν Α᾽λκιμος ἐν τῷ καιρῷ ἐκείνῳ μετὰ βασά-
57 νου μεγάλης. καὶ εἶδεν Βακχίδης ὅτι ἀπέθανεν Α᾽λκιμος καὶ
ἐπέστρεψεν πρὸς τὸν βασιλέα καὶ ἡσύχασεν ἡ γῆ Ιουδα ἔτη δύο.
58 καὶ ἐβουλεύσαντο πάντες οἱ ἄνομοι λέγοντες ἰδοὺ Ιωναθαν καὶ οἱ
παρ᾽ αὐτοῦ ἐν ἡσυχίᾳ κατοικοῦσιν πεποιθότες νῦν οὖν ἀνάξομεν

---

v.48 καί[cc] ἐμπηδάω[viaa3s] Ιωναθαν[nnmsp] καί[cc] ὁ[dnmp] μετά[pg] αὐτός[rpgms] εἰς[pa] ὁ[dams] Ἰορδάνης[namsp] καί[cc] διακολυμβάω[viaa3p] εἰς[pa] ὁ[dans] πέραν[b] καί[cc] οὐ[b] διαβαίνω[viaa3p] ἐπί[pa] αὐτός[rpamp] ὁ[dams] Ἰορδάνης[namsp]. **v.49** πίπτω[viaa3p] δέ[cc] παρά[pg] Βακχίδης[ngmsp] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] εἰς[pa] χίλιοι[acampn] ἀνήρ[nampc]. **v.50** καί[cc] ἐπιστρέφω[viaa3s] εἰς[pa] Ἰερουσαλήμ[nafsp] καί[cc] οἰκοδομέω[viaa3p] πόλις[nafpc] ὀχυρός[anafpn] ἐν[pd] ὁ[ddfs] Ἰουδαία[ndfsp] ὁ[dans] ὀχύρωμα[nansc] ὁ[dans] ἐν[pd] Ἰεριχώ[ndfsp] καί[cc] ὁ[dafs] Αμμαους[nafsp] καί[cc] ὁ[dafs] Βαιθωρων[nafsp] καί[cc] ὁ[dafs] Βαιθηλ[nafsp] καί[cc] ὁ[dafs] Θαμναθα[nafsp] Φαραθων[nafsp] καί[cc] ὁ[dafs] Τεφων[nafsp] ἐν[pd] τεῖχος[ndnpc] ὑψηλός[andnpn] καί[cc] πύλη[ndfpc] καί[cc] μοχλός[ndmpc]. **v.51** καί[cc] τίθημι[viam3s] φρουρά[nafsc] ἐν[pd] αὐτός[rpdnp] ὁ[dgns] ἐχθραίνω[vnpa] ὁ[ddms] Ἰσραήλ[ndmsp]. **v.52** καί[cc] ὀχυρόω[viaa3s] ὁ[dafs] πόλις[nafsc] ὁ[dafs] Βαιθσουρα[nafsp] καί[cc] Γαζαρα[nafsp] καί[cc] ὁ[dafs] ἄκρα[nafsc] καί[cc] τίθημι[viam3s] ἐν[pd] αὐτός[rpdfp] δύναμις[nafpc] καί[cc] παράθεσις[nafpc] βρῶμα[ngnpc]. **v.53** καί[cc] λαμβάνω[viaa3s] ὁ[damp] υἱός[nampc] ὁ[dgmp] ἡγέομαι[vppmgmp] ὁ[dgfs] χώρα[ngfsc] ὅμηρος[nanpc] καί[cc] τίθημι[viam3s] αὐτός[rpamp] ἐν[pd] ὁ[ddfs] ἄκρα[ndfsc] ἐν[pd] Ἰερουσαλήμ[ndfsp] ἐν[pd] φυλακή[ndfsc]. **v.54** καί[cc] ἐν[pd] ἔτος[ndnsc] τρίτος[aodnsn] καί[cc] πεντηκοστός[aodnsn] καί[cc] ἑκατοστός[aodnsn] ὁ[ddms] μήν[ndmsc] ὁ[ddms] δεύτερος[aodmsn] ἐπιτάσσω[viaa3s] Α᾽λκιμος[nnmsp] καθαιρέω[vnpa] ὁ[dans] τεῖχος[nansc] ὁ[dgfs] αὐλή[ngfsc] ὁ[dgnp] ἅγιος[angnpn] ὁ[dgfs] ἐσώτερος[angfsc] καί[cc] καθαιρέω[viaa3s] ὁ[danp] ἔργον[nanpc] ὁ[dgmp] προφήτης[ngmpc] καί[cc] ἐνάρχομαι[viam3s] ὁ[dgns] καθαιρέω[vnpa]. **v.55** ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] πλήσσω[viap3s] Α᾽λκιμος[nnmsp] καί[cc] ἐμποδίζω[viap3s] ὁ[dnnp] ἔργον[nnnpc] αὐτός[rpgms] καί[cc] ἀποφράσσω[viap3s] ὁ[dnns] στόμα[nnnsc] αὐτός[rpgms] καί[cc] παραλύω[viap3s] καί[cc] οὐ[b] δύναμαι[viim3s] ἔτι[b] λαλέω[vnaa] λόγος[namsc] καί[cc] ἐντέλλομαι[vnam] περί[pg] ὁ[dgms] οἶκος[ngmsc] αὐτός[rpgms]. **v.56** καί[cc] ἀποθνῄσκω[viaa3s] Α᾽λκιμος[nnmsp] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ἐκεῖνος[rddms] μετά[pg] βάσανος[ngfsc] μέγας[angfsn]. **v.57** καί[cc] ὁράω[viaa3s] Βακχίδης[nnmsp] ὅτι[cs] ἀποθνῄσκω[viaa3s] Α᾽λκιμος[nnmsp] καί[cc] ἐπιστρέφω[viaa3s] πρός[pa] ὁ[dams] βασιλεύς[namsc] καί[cc] ἡσυχάζω[viaa3s] ὁ[dnfs] γῆ[nnfsc] Ἰούδας[nnmsp] ἔτος[nanpc] δύο[ac—n].

τὸν Βακχίδην καὶ συλλήμψεται αὐτοὺς πάντας ἐν νυκτὶ μιᾷ. καὶ 59
πορευθέντες συνεβουλεύσαντο αὐτῷ. καὶ ἀπῆρεν τοῦ ἐλθεῖν με- 60
τὰ δυνάμεως πολλῆς καὶ ἀπέστειλεν λάθρᾳ ἐπιστολὰς πᾶσιν τοῖς
συμμάχοις αὐτοῦ τοῖς ἐν τῇ Ιουδαίᾳ ὅπως συλλάβωσιν τὸν Ιωνα-
θαν καὶ τοὺς μετ᾽ αὐτοῦ καὶ οὐκ ἠδύναντο ὅτι ἐγνώσθη ἡ βουλὴ
αὐτῶν. καὶ συνέλαβον ἀπὸ τῶν ἀνδρῶν τῆς χώρας τῶν ἀρχηγῶν 61
τῆς κακίας εἰς πεντήκοντα ἄνδρας καὶ ἀπέκτειναν αὐτούς. καὶ 62
ἐξεχώρησεν Ιωναθαν καὶ Σιμων καὶ οἱ μετ᾽ αὐτοῦ εἰς Βαιθβασι τὴν
ἐν τῇ ἐρήμῳ καὶ ᾠκοδόμησεν τὰ καθῃρημένα αὐτῆς καὶ ἐστερέ-
ωσαν αὐτήν. καὶ ἔγνω Βακχίδης καὶ συνήγαγεν πᾶν τὸ πλῆθος 63
αὐτοῦ καὶ τοῖς ἐκ τῆς Ιουδαίας παρήγγειλεν. καὶ ἐλθὼν παρε- 64
νέβαλεν ἐπὶ Βαιθβασι καὶ ἐπολέμησεν αὐτὴν ἡμέρας πολλὰς καὶ
ἐποίησεν μηχανάς. καὶ ἀπέλιπεν Ιωναθαν Σιμωνα τὸν ἀδελφὸν 65
αὐτοῦ ἐν τῇ πόλει καὶ ἐξῆλθεν εἰς τὴν χώραν καὶ ἦλθεν ἐν ἀριθμῷ.
καὶ ἐπάταξεν Οδομηρα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς 66
Φασιρων ἐν τῷ σκηνώματι αὐτῶν καὶ ἤρξαντο τύπτειν καὶ ἀνέ-
βαινον ἐν ταῖς δυνάμεσιν. καὶ Σιμων καὶ οἱ μετ᾽ αὐτοῦ ἐξῆλθον 67
ἐκ τῆς πόλεως καὶ ἐνεπύρισαν τὰς μηχανάς. καὶ ἐπολέμησαν 68
πρὸς τὸν Βακχίδην καὶ συνετρίβη ὑπ᾽ αὐτῶν καὶ ἔθλιβον αὐτὸν
σφόδρα ὅτι ἦν ἡ βουλὴ αὐτοῦ καὶ ἡ ἔφοδος αὐτοῦ κενή. καὶ 69

---

v.58 καίᶜᶜ βουλεύωᵛⁱᵃᵐ³ᵖ πᾶςᵃⁱⁿᵐᵖⁿ ὁᵈⁿᵐᵖ ἄνομοςᵃⁿⁿᵐᵖⁿ λέγωᵛᵖᵖᵃⁿᵐᵖ ἰδούⁱ Ιωναθανⁿⁿᵐˢᵖ καίᶜᶜ ὁᵈⁿᵐᵖ παράᵖᵍ αὐτόςʳᵖᵍᵐˢ ἐνᵖᵈ ἡσυχίαⁿᵈᶠˢᶜ κατοικέωᵛⁱᵖᵃ³ᵖ πείθωᵛᵖˣᵃⁿᵐᵖ νῦνᵇ οὖνᶜᶜ ἀνάγωᵛⁱᶠᵃ¹ᵖ ὁᵈᵃᵐˢ Βακχίδηςⁿᵃᵐˢᵖ καίᶜᶜ συλλαμβάνωᵛⁱᶠᵃ³ˢ αὐτόςʳᵖᵃᵐᵖ πᾶςᵃⁱᵃᵐᵖⁿ ἐνᵖᵈ νύξⁿᵈᶠˢᶜ εἷςᵃᶜᵈᶠˢⁿ. **v.59** καίᶜᶜ πορεύομαιᵛᵖᵃᵖⁿᵐᵖ συμβουλεύωᵛⁱᵃᵐ³ᵖ αὐτόςʳᵖᵈᵐˢ. **v.60** καίᶜᶜ ἀπαίρωᵛⁱᵃᵃ³ˢ ὁᵈᵍⁿˢ ἔρχομαιᵛⁿᵃᵃ μετάᵖᵍ δύναμιςⁿᵍᶠˢᶜ πολύςᵃⁿᵍᶠˢⁿ καίᶜᶜ ἀποστέλλωᵛⁱᵃᵃ³ˢ λάθραᵇ ἐπιστολήⁿᵃᶠᵖᶜ πᾶςᵃⁱᵈᵐᵖⁿ ὁᵈᵈᵐᵖ σύμμαχοςᵃⁿᵈᵐᵖⁿ αὐτόςʳᵖᵍᵐˢ ὁᵈᵈᵐᵖ ἐνᵖᵈ ὁᵈᵈᶠˢ Ἰουδαίαⁿᵈᶠˢᵖ ὅπωςᶜˢ συλλαμβάνωᵛˢᵃᵃ³ᵖ ὁᵈᵃᵐˢ Ιωναθανⁿᵃᵐˢᵖ καίᶜᶜ ὁᵈᵃᵐᵖ μετάᵖᵍ αὐτόςʳᵖᵍᵐˢ καίᶜᶜ οὐᵇ δύναμαιᵛⁱⁱᵐ³ᵖ ὅτιᶜˢ γινώσκωᵛⁱᵃᵖ³ˢ ὁᵈⁿᶠˢ βουλήⁿⁿᶠˢᶜ αὐτόςʳᵖᵍᵐᵖ. **v.61** καίᶜᶜ συλλαμβάνωᵛⁱᵃᵃ³ᵖ ἀπόᵖᵍ ὁᵈᵍᵐᵖ ἀνήρⁿᵍᵐᵖᶜ ὁᵈᵍᶠˢ χώραⁿᵍᶠˢᶜ ὁᵈᵍᵐᵖ ἀρχηγόςⁿᵍᵐᵖᶜ ὁᵈᵍᶠˢ κακίαⁿᵍᶠˢᶜ εἰςᵖᵃ πεντήκοντᵃᵃᶜ⁻ⁿ ἀνήρⁿᵃᵐᵖᶜ καίᶜᶜ ἀποκτείνωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵃᵐᵖ. **v.62** καίᶜᶜ ἐκχωρέωᵛⁱᵃᵃ³ˢ Ιωναθανⁿⁿᵐˢᵖ καίᶜᶜ Σίμωνⁿⁿᵐˢᵖ καίᶜᶜ ὁᵈⁿᵐᵖ μετάᵖᵍ αὐτόςʳᵖᵍᵐˢ εἰςᵖᵃ Βαιθβασιⁿᵃᶠˢᵖ ὁᵈᵃᶠˢ ἐνᵖᵈ ὁᵈᵈᶠˢ ἔρημοςⁿᵈᶠˢᶜ καίᶜᶜ οἰκοδομέωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃⁿᵖ καθαιρέωᵛᵖˣᵖᵃⁿᵖ αὐτόςʳᵖᵍᶠˢ καίᶜᶜ στερεόωᵛⁱᵃᵃ³ᵖ αὐτόςʳᵖᵃᶠˢ. **v.63** καίᶜᶜ γινώσκωᵛⁱᵃᵃ³ˢ Βακχίδηςⁿⁿᵐˢᵖ καίᶜᶜ συνάγωᵛⁱᵃᵃ³ˢ πᾶςᵃⁱᵃⁿˢⁿ ὁᵈᵃⁿˢ πλῆθοςⁿᵃⁿˢᶜ αὐτόςʳᵖᵍᵐˢ καίᶜᶜ ὁᵈᵈᵐᵖ ἐκᵖᵍ ὁᵈᵍᶠˢ Ἰουδαίαⁿᵍᶠˢᵖ παραγγέλλωᵛⁱᵃᵃ³ˢ. **v.64** καίᶜᶜ ἔρχομαιᵛᵖᵃᵃⁿᵐˢ παρεμβάλλωᵛⁱᵃᵃ³ˢ ἐπίᵖᵃ Βαιθβασιⁿᵃᶠˢᵖ καίᶜᶜ πολεμέωᵛⁱᵃᵃ³ˢ αὐτόςʳᵖᵃᶠˢ ἡμέραⁿᵃᶠᵖᶜ πολύςᵃⁿᵃᶠᵖⁿ καίᶜᶜ ποιέωᵛⁱᵃᵃ³ˢ μηχανήⁿᵃᶠᵖᶜ. **v.65** καίᶜᶜ ἀπολείπωᵛⁱᵃᵃ³ˢ Ιωναθανⁿⁿᵐˢᵖ Σίμωνⁿᵃᵐˢᵖ ὁᵈᵃᵐˢ ἀδελφόςⁿᵃᵐˢᶜ αὐτόςʳᵖᵍᵐˢ ἐνᵖᵈ ὁᵈᵈᶠˢ πόλιςⁿᵈᶠˢᶜ καίᶜᶜ ἐξέρχομαιᵛⁱᵃᵃ³ˢ εἰςᵖᵃ ὁᵈᵃᶠˢ χώραⁿᵃᶠˢᶜ καίᶜᶜ ἔρχομαιᵛⁱᵃᵃ³ˢ ἐνᵖᵈ ἀριθμόςⁿᵈᵐˢᶜ. **v.66** καίᶜᶜ πατάσσωᵛⁱᵃᵃ³ˢ Οδομηραⁿᵃᵐˢᵖ καίᶜᶜ ὁᵈᵃᵐᵖ ἀδελφόςⁿᵃᵐᵖᶜ αὐτόςʳᵖᵍᵐˢ καίᶜᶜ ὁᵈᵃᵐᵖ υἱόςⁿᵃᵐᵖᶜ Φασιρωνⁿᵍᵐˢᵖ ἐνᵖᵈ ὁᵈᵈⁿˢ σκήνωμαⁿᵈⁿˢᶜ αὐτόςʳᵖᵍᵐᵖ καίᶜᶜ ἄρχωᵛⁱᵃᵐ³ᵖ τύπτωᵛⁿᵖᵃ καίᶜᶜ ἀναβαίνωᵛⁱⁱᵃ³ᵖ ἐνᵖᵈ ὁᵈᶠᵖ δύναμιςⁿᵈᶠᵖᶜ. **v.67** καίᶜᶜ Σίμωνⁿⁿᵐˢᵖ καίᶜᶜ ὁᵈⁿᵐᵖ μετάᵖᵍ αὐτόςʳᵖᵍᵐˢ ἐξέρχομαιᵛⁱᵃᵃ³ᵖ ἐκᵖᵍ ὁᵈᵍᶠˢ πόλιςⁿᵍᶠˢᶜ καίᶜᶜ ἐμπυρίζωᵛⁱᵃᵃ³ᵖ ὁᵈᵃᶠᵖ μηχανήⁿᵃᶠᵖᶜ. **v.68** καίᶜᶜ πολεμέωᵛⁱᵃᵃ³ᵖ πρόςᵖᵃ ὁᵈᵃᵐˢ Βακχίδηςⁿᵃᵐˢᵖ καίᶜᶜ συντρίβωᵛⁱᵃᵖ³ˢ ὑπόᵖᵍ αὐτόςʳᵖᵍᵐᵖ καίᶜᶜ θλίβωᵛⁱⁱᵃ³ᵖ αὐτόςʳᵖᵃᵐˢ σφόδραᵇ ὅτιᶜˢ εἰμίᵛⁱⁱᵃ³ˢ ὁᵈⁿᶠˢ βουλήⁿⁿᶠˢᶜ αὐτόςʳᵖᵍᵐˢ καίᶜᶜ ὁᵈⁿᶠˢ ἔφοδοςⁿⁿᶠˢᶜ αὐτόςʳᵖᵍᵐˢ κενόςᵃⁿⁿᶠˢⁿ.

ὠργίσθη ἐν θυμῷ τοῖς ἀνδράσιν τοῖς ἀνόμοις τοῖς συμβουλεύσασιν αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν καὶ ἀπέκτεινεν ἐξ αὐτῶν πολλοὺς
70 καὶ ἐβουλεύσατο τοῦ ἀπελθεῖν εἰς τὴν γῆν αὐτοῦ. καὶ ἐπέγνω Ιωναθαν καὶ ἀπέστειλεν πρὸς αὐτὸν πρέσβεις τοῦ συνθέσθαι πρὸς
71 αὐτὸν εἰρήνην καὶ ἀποδοῦναι αὐτοῖς τὴν αἰχμαλωσίαν. καὶ ἐπεδέξατο καὶ ἐποίησεν κατὰ τοὺς λόγους αὐτοῦ καὶ ὤμοσεν αὐτῷ μὴ ἐκζητῆσαι αὐτῷ κακὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.
72 καὶ ἀπέδωκεν αὐτῷ τὴν αἰχμαλωσίαν ἣν ᾐχμαλώτευσεν τὸ πρότερον ἐκ γῆς Ιουδα καὶ ἀποστρέψας ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ
73 καὶ οὐ προσέθετο ἔτι ἐλθεῖν εἰς τὰ ὅρια αὐτῶν. καὶ κατέπαυσεν ῥομφαία ἐξ Ισραηλ καὶ ᾤκησεν Ιωναθαν ἐν Μαχμας καὶ ἤρξατο Ιωναθαν κρίνειν τὸν λαὸν καὶ ἠφάνισεν τοὺς ἀσεβεῖς ἐξ Ισραηλ.

10 καὶ ἐν ἔτει ἑξηκοστῷ καὶ ἑκατοστῷ ἀνέβη Ἀλέξανδρος ὁ τοῦ Ἀντιόχου ὁ Ἐπιφανὴς καὶ κατελάβετο Πτολεμαίδα καὶ ἐπεδέξαντο
2 αὐτόν καὶ ἐβασίλευσεν ἐκεῖ. καὶ ἤκουσεν Δημήτριος ὁ βασιλεὺς καὶ συνήγαγεν δυνάμεις πολλὰς σφόδρα καὶ ἐξῆλθεν εἰς συνάν-
3 τησιν αὐτῷ εἰς πόλεμον. καὶ ἀπέστειλεν Δημήτριος πρὸς Ιωνα-
4 θαν ἐπιστολὰς λόγοις εἰρηνικοῖς ὥστε μεγαλῦναι αὐτόν. εἶπεν γὰρ προφθάσωμεν τοῦ εἰρήνην θεῖναι μετ᾽ αὐτῶν πρὶν ἢ θεῖναι
5 αὐτὸν μετὰ Ἀλεξάνδρου καθ᾽ ἡμῶν. μνησθήσεται γὰρ πάντων τῶν κακῶν ὧν συνετελέσαμεν πρὸς αὐτὸν καὶ εἰς τοὺς ἀδελφοὺς

---

τῆς γῆς. διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει οὐδὲ ἁ- 5
μαρτωλοὶ ἐν βουλῇ δικαίων. ὅτι γινώσκει κύριος ὁδὸν δικαίων 6
καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά. παρέστη- **2**, 2
σαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ
κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ διάψαλμα. διαρ- 3
ρήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀπορρίψωμεν ἀφ᾽ ἡμῶν τὸν
ζυγὸν αὐτῶν. ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς καὶ ὁ 4
κύριος ἐκμυκτηριεῖ αὐτούς. τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ 5
αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. ἐγὼ δὲ κατεστάθην 6

---

1. v.1 μακάριος^{annnmsn} ἀνήρ^{nnmsc} ὅς^{rrnms} οὐ^{b} πορεύομαι^{viap3s} ἐν^{pd} βουλή^{ndfsc} ἀσεβής^{angmpn} καί^{cc} ἐν^{pd} ὁδός^{ndfsc} ἁμαρτωλός^{angmpn} οὐ^{b} ἵστημι^{viaa3s} καί^{cc} ἐπί^{pa} καθέδρα^{nafsc} λοιμός^{angmpn} οὐ^{b} καθίζω^{viaa3s}. **v.2** ἀλλά^{cc} ἤ^{cc} ἐν^{pd} ὁ^{ddms} νόμος^{ndmsc} κύριος^{ngmsc} ὁ^{dnns} θέλημα^{nnnsc} αὐτός^{rpgms} καί^{cc} ἐν^{pd} ὁ^{ddms} νόμος^{ndmsc} αὐτός^{rpgms} μελετάω^{vifa3s} ἡμέρα^{ngfsc} καί^{cc} νύξ^{ngfsc}. **v.3** καί^{cc} εἰμί^{vifm3s} ὡς^{cs} ὁ^{dnns} ξύλον^{nnnsc} ὁ^{dnns} φυτεύω^{vpxpnns} παρά^{pa} ὁ^{dafp} διέξοδος^{nafpc} ὁ^{dgnp} ὕδωρ^{ngnpc} ὅς^{rrnns} ὁ^{dams} καρπός^{namsc} αὐτός^{rpgns} δίδωμι^{vifa3s} ἐν^{pd} καιρός^{ndmsc} αὐτός^{rpgns} καί^{cc} ὁ^{dnns} φύλλον^{nnnsc} αὐτός^{rpgns} οὐ^{b} ἀπορρέω^{vifm3s} καί^{cc} πᾶς^{ainnpn} ὅσος^{aranpn} ἄν^{x} ποιέω^{vspa3s} κατευοδόω^{vifp3s}. **v.4** οὐ^{b} οὕτως^{b} ὁ^{dnmp} ἀσεβής^{annmpn} οὐ^{b} οὕτως^{b} ἀλλά^{cc} ἤ^{cc} ὡς^{cs} ὁ^{dnms} χνοῦς^{nnmsc} ὅς^{rrams} ἐκρίπτω^{vipa3s} ὁ^{dnms} ἄνεμος^{nnmsc} ἀπό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.5** διά^{pa} οὗτος^{rdans} οὐ^{b} ἀνίστημι^{vifm3p} ἀσεβής^{annmpn} ἐν^{pd} κρίσις^{ndfsc} οὐδέ^{cc} ἁμαρτωλός^{annmpn} ἐν^{pd} βουλή^{ndfsc} δίκαιος^{angmpn}. **v.6** ὅτι^{cs} γινώσκω^{vipa3s} κύριος^{nnmsc} ὁδός^{nafsc} δίκαιος^{angmpn} καί^{cc} ὁδός^{nnfsc} ἀσεβής^{angmpn} ἀπόλλυμι^{vifm3s}. **2. v.1** ἵνα^{cs} τίς^{rqnns} φρυάσσω^{viaa3p} ἔθνος^{nnnpc} καί^{cc} λαός^{nnmpc} μελετάω^{viaa3p} κενός^{ananpn}. **v.2** παρίστημι^{viaa3p} ὁ^{dnmp} βασιλεύς^{nnmpc} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} ὁ^{dnmp} ἄρχων^{nnmpc} συνάγω^{viap3p} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rpans} κατά^{pg} ὁ^{dgms} κύριος^{ngmsc} καί^{cc} κατά^{pg} ὁ^{dgms} χριστός^{angmsn} αὐτός^{rpgms} διάψαλμα^{nnnsc}. **v.3** διαρρήγνυμι^{vsaa1p} ὁ^{damp} δεσμός^{nampc} αὐτός^{rpgmp} καί^{cc} ἀπορίπτω^{vsaa1p} ἀπό^{pg} ἐγώ$^{rpg-p}$ ὁ^{dams} ζυγός^{namsc} αὐτός^{rpgmp}. **v.4** ὁ^{dnms} κατοικέω^{vppanms} ἐν^{pd} οὐρανός^{ndmpc} ἐκγελάω^{vifm3s} αὐτός^{rpamp} καί^{cc} ὁ^{dnms} κύριος^{nnmsc} ἐκμυκτηρίζω^{vifa3s} αὐτός^{rpamp}. **v.5** τότε^{b} λαλέω^{vifa3s} πρός^{pa} αὐτός^{rpamp} ἐν^{pd} ὀργή^{ndfsc} αὐτός^{rpgms} καί^{cc} ἐν^{pd} ὁ^{ddms} θυμός^{ndmsc} αὐτός^{rpgms} ταράσσω^{vifa3s} αὐτός^{rpamp}.

7 βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ Σιων ὄρος τὸ ἅγιον αὐτοῦ. διαγγέλλων
τὸ πρόσταγμα κυρίου κύριος εἶπεν πρός με υἱός μου εἶ σύ ἐγὼ
8 σήμερον γεγέννηκά σε. αἴτησαι παρ᾽ ἐμοῦ καὶ δώσω σοι ἔθνη
τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.
9 ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ ὡς σκεῦος κεραμέως συν-
10 τρίψεις αὐτούς. καὶ νῦν βασιλεῖς σύνετε παιδεύθητε πάντες οἱ
11 κρίνοντες τὴν γῆν. δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶ-
12 σθε αὐτῷ ἐν τρόμῳ. δράξασθε παιδείας μήποτε ὀργισθῇ κύριος
καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς
αὐτοῦ μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτῷ.

3 ψαλμὸς τῷ Δαυιδ ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Αβεσ-
2 σαλωμ τοῦ υἱοῦ αὐτοῦ. κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με
3 πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ. πολλοὶ λέγουσιν τῇ ψυχῇ μου οὐκ
4 ἔστιν σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ διάψαλμα. σὺ δέ κύριε ἀν-
5 τιλήμπτωρ μου εἶ δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. φωνῇ
μου πρὸς κύριον ἐκέκραξα καὶ ἐπήκουσέν μου ἐξ ὄρους ἁγίου
6 αὐτοῦ διάψαλμα. ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα ἐξηγέρθην ὅτι κύ-
7 ριος ἀντιλήμψεταί μου. οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ
8 τῶν κύκλῳ συνεπιτιθεμένων μοι. ἀνάστα κύριε σῶσόν με ὁ θε-
ός μου ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως

---

v.6 ἐγώ[rpn-s] δέ[cc] καθίστημι[viap1s] βασιλεύς[nnmsc] ὑπό[pg] αὐτός[rpgms] ἐπί[pa] Σιών[nafsp] ὄρος[nansc] ὁ[dans] ἅγιος[anansn] αὐτός[rpgms]. **v.7** διαγγέλλω[vppanms] ὁ[dans] πρόσταγμα[nansc] κύριος[ngmsc] κύριος[nnmsc] λέγω[viaa3s] πρός[pa] ἐγώ[rpa-s] υἱός[nnmsc] ἐγώ[rpg-s] εἰμί[vipa2s] σύ[rpnms] ἐγώ[rpn-s] σήμερον[b] γεννάω[vixa1s] σύ[rpams]. **v.8** αἰτέω[vdam2s] παρά[pg] ἐγώ[rpg-s] καί[cc] δίδωμι[vifa1s] σύ[rpdms] ἔθνος[nanpc] ὁ[dafs] κληρονομία[nafsc] σύ[rpgms] καί[cc] ὁ[dafs] κατάσχεσις[nafsc] σύ[rpgms] ὁ[danp] πέρας[nanpc] ὁ[dgfs] γῆ[ngfsc]. **v.9** ποιμαίνω[vifa2s] αὐτός[rpamp] ἐν[pd] ῥάβδος[ndfsc] σιδηροῦς[andfsn] ὡς[cs] σκεῦος[nansc] κεραμεύς[ngmsc] συντρίβω[vifa2s] αὐτός[rpamp]. **v.10** καί[cc] νῦν[b] βασιλεύς[nvmpc] συνίημι[vdaa2p] παιδεύω[vsap2p] πᾶς[ainmpn] ὁ[dnmp] κρίνω[vppanmp] ὁ[dafs] γῆ[nafsc]. **v.11** δουλεύω[vdaa2p] ὁ[ddms] κύριος[ndmsc] ἐν[pd] φόβος[ndmsc] καί[cc] ἀγαλλιάω[vdpm2'pvdam2p] αὐτός[rpdms] ἐν[pd] τρόμος[ndmsc]. **v.12** δράσσομαι[vdam2p] παιδεία[ngfsc] μήποτε[cs] ὀργίζω[vsap3s] κύριος[nnmsc] καί[cc] ἀπόλλυμι[vifm2p] ἐκ[pg] ὁδός[ngfsc] δίκαιος[angfsn] ὅταν[cs] ἐκκαίω[vsap3s] ἐν[pd] τάχος[ndnsc] ὁ[dnms] θυμός[nnmsc] αὐτός[rpgms] μακάριος[annmpn] πᾶς[ainmpn] ὁ[dnmp] πείθω[vpxanmp] ἐπί[pd] αὐτός[rpdms]. **3. v.1** ψαλμός[nnmsc] ὁ[ddms] Δαυίδ[ndmsp] ὁπότε[cs] ἀποδιδράσκω[viia3s] ἀπό[pg] πρόσωπον[ngnsc] Αβεσσαλωμ[ngmsp] ὁ[dgms] υἱός[ngmsc] αὐτός[rpgms]. **v.2** κύριος[nvmsc] τίς[rqans] πληθύνω[viap3p] ὁ[dnmp] θλίβω[vppanmp] ἐγώ[rpa-s] πολύς[annmpn] ἐπανίστημι[vipm3p] ἐπί[pa] ἐγώ[rpa-s]. **v.3** πολύς[annmpn] λέγω[vipa3p] ὁ[ddfs] ψυχή[ndfsc] ἐγώ[rpg-s] οὐ[b] εἰμί[vipa3s] σωτηρία[nnfsc] αὐτός[rpdms] ἐν[pd] ὁ[ddms] θεός[ndmsc] αὐτός[rpgms] διάψαλμα[nnnsc]. **v.4** σύ[rpnms] δέ[cc] κύριος[nvmsc] ἀντιλήμπτωρ[nnmsc] ἐγώ[rpg-s] εἰμί[vipa2s] δόξα[nnfsc] ἐγώ[rpg-s] καί[cc] ὑψόω[vppanms] ὁ[dafs] κεφαλή[nafsc] ἐγώ[rpg-s]. **v.5** φωνή[ndfsc] ἐγώ[rpg-s] πρός[pa] κύριος[namsc] κράζω[viaa1s] καί[cc] ἐπακούω[viaa3s] ἐγώ[rpg-s] ἐκ[pg] ὄρος[ngnsc] ἅγιος[angnsn] αὐτός[rpgms] διάψαλμα[nnnsc]. **v.6** ἐγώ[rpn-s] κοιμάομαι[viap1s] καί[cc] ὑπνόω[viaa1s] ἐξεγείρω[viap1s] ὅτι[cs] κύριος[nnmsc] ἀντιλαμβάνομαι[vifm3s] ἐγώ[rpg-s]. **v.7** οὐ[b] φοβέω[vifp1s] ἀπό[pg] μυριάς[ngfpc] λαός[ngmsc] ὁ[dgmp] κύκλος[b] συνεπιτίθημι[vppmgmp] ἐγώ[rpd-s].

ὀδόντας ἁμαρτωλῶν συνέτριψας. τοῦ κυρίου ἡ σωτηρία καὶ ἐπὶ 9
τὸν λαόν σου ἡ εὐλογία σου.

εἰς τὸ τέλος ἐν ψαλμοῖς ᾠδὴ τῷ Δαυιδ. ἐν τῷ ἐπικαλεῖσθαί με **4**, 2
εἰσήκουσέν μου ὁ θεὸς τῆς δικαιοσύνης μου ἐν θλίψει ἐπλάτυνάς
μοι οἰκτίρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου. υἱοὶ ἀν- 3
θρώπων ἕως πότε βαρυκάρδιοι ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζη-
τεῖτε ψεῦδος διάψαλμα. καὶ γνῶτε ὅτι ἐθαυμάστωσεν κύριος τὸν 4
ὅσιον αὐτοῦ κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς
αὐτόν. ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε λέγετε ἐν ταῖς καρδίαις ὑ- 5
μῶν καὶ ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε διάψαλμα. θύσατε 6
θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ κύριον. πολλοὶ λέγουσιν 7
τίς δείξει ἡμῖν τὰ ἀγαθά ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώ-
που σου κύριε. ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου ἀπὸ 8
καιροῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. ἐν εἰ- 9
ρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω ὅτι σύ κύριε κατὰ
μόνας ἐπ᾽ ἐλπίδι κατῴκισάς με.

εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης ψαλμὸς τῷ Δαυιδ. τὰ **5**, 2
ῥήματά μου ἐνώτισαι κύριε σύνες τῆς κραυγῆς μου. πρόσχες τῇ 3
φωνῇ τῆς δεήσεώς μου ὁ βασιλεύς μου καὶ ὁ θεός μου ὅτι πρὸς
σὲ προσεύξομαι κύριε. τὸ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου τὸ 4

---

v.8 ἀνίστημι^{vdaa2s} κύριος^{nvmsc} σῴζω^{vdaa2s} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ ὅτι^{cs} σύ^{rpnms} πατάσσω^{viaa2s} πᾶς^{aiampn} ὁ^{damp} ἐχθραίνω^{vppaamp} ἐγώ$^{rpd\text{-}s}$ ματαίως^{b} ὀδούς^{nampc} ἁμαρτωλός^{angmpn} συντρίβω^{viaa2s}. **v.9** ὁ^{dgms} κύριος^{ngmsc} ὁ^{dnfs} σωτηρία^{nnfsc} καί^{cc} ἐπί^{pa} ὁ^{dams} λαός^{namsc} σύ^{rpgms} ὁ^{dnfs} εὐλογία^{nnfsc} σύ^{rpgms}. **4. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ἐν^{pd} ψαλμός^{ndmpc} ᾠδή^{nnfsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** ἐν^{pd} ὁ^{ddns} ἐπικαλέω^{vnpm} ἐγώ^{rpams} εἰσακούω^{viaa3s} ἐγώ^{rpgms} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfs} δικαιοσύνη^{ngfsc} ἐγώ^{rpgms} ἐν^{pd} θλῖψις^{ndfsc} πλατύνω^{viaa2s} ἐγώ^{rpdms} οἰκτίρω^{vdaa2s} ἐγώ^{rpams} καί^{cc} εἰσακούω^{vdaa2s} ὁ^{dgfs} προσευχή^{ngfsc} ἐγώ^{rpgms}. **v.3** υἱός^{nnmpc} ἄνθρωπος^{ngmpc} ἕως^{bpp} πότε^{b} βαρυκάρδιος^{annmpn} ἵνα^{cs} τίς^{rqnns} ἀγαπάω^{vipa2p} ματαιότης^{nafsc} καί^{cc} ζητέω^{vipa2p} ψεῦδος^{nansc} διάψαλμα^{nnnsc}. **v.4** καί^{cc} γινώσκω^{vdaa2p} ὅτι^{cs} θαυμαστόω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dams} ὅσιος^{anamsn} αὐτός^{rpgms} κύριος^{nnmsc} εἰσακούω^{vifm3s} ἐγώ^{rpgms} ἐν^{pd} ὁ^{ddns} κράζω^{vnxa} ἐγώ^{rpams} πρός^{pa} αὐτός^{rpams}. **v.5** ὀργίζω^{vdpp2p} καί^{cc} μή^{x} ἁμαρτάνω^{vdpa2p} λέγω^{vdpa2p} ἐν^{pd} ὁ^{ddfp} καρδία^{ndfpc} σύ^{rpgmp} καί^{cc} ἐπί^{pd} ὁ^{ddfp} κοίτη^{ndfpc} σύ^{rpgmp} κατανύσσομαι^{vdap2p} διάψαλμα^{nnnsc}. **v.6** θύω^{vdaa2p} θυσία^{nafsc} δικαιοσύνη^{ngfsc} καί^{cc} ἐλπίζω^{vdaa2p} ἐπί^{pa} κύριος^{namsc}. **v.7** πολύς^{annmpn} λέγω^{vipa3p} τίς^{rqnms} δείκνυμι^{vifa3s} ἐγώ^{rpdmp} ὁ^{danp} ἀγαθός^{ananpn} σημειόω^{viap3s} ἐπί^{pa} ἐγώ^{rpamp} ὁ^{dnns} φῶς^{nnnsc} ὁ^{dgns} πρόσωπον^{ngnsc} σύ^{rpgms} κύριος^{nvmsc}. **v.8** δίδωμι^{viaa2s} εὐφροσύνη^{nafsc} εἰς^{pa} ὁ^{dafs} καρδία^{nafsc} ἐγώ^{rpgms} ἀπό^{pg} καιρός^{ngmsc} σῖτος^{ngmsc} καί^{cc} οἶνος^{ngmsc} καί^{cc} ἔλαιον^{ngnsc} αὐτός^{rpgmp} πληθύνω^{viap3p}. **v.9** ἐν^{pd} εἰρήνη^{ndfsc} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rpans} κοιμάομαι^{vifp1s} καί^{cc} ὑπνόω^{vifa1s} ὅτι^{cs} σύ^{rpnms} κύριος^{nvmsc} κατά^{pa} μόνος^{anafpn} ἐπί^{pd} ἐλπίς^{ndfsc} κατοικίζω^{viaa2s} ἐγώ^{rpams}. **5. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pg} ὁ^{dgfs} κληρονομέω^{vppagfs} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** ὁ^{danp} ῥῆμα^{nanpc} ἐγώ^{rpgms} ἐνωτίζομαι^{vdam2s} κύριος^{nvmsc} συνίημι^{vdaa2s} ὁ^{dgfs} κραυγή^{ngfsc} ἐγώ^{rpgms}. **v.3** προσέχω^{vdaa2s} ὁ^{ddfs} φωνή^{ndfsc} ὁ^{dgfs} δέησις^{ngfsc} ἐγώ^{rpgms} ὁ^{dnms} βασιλεύς^{nnmsc} ἐγώ^{rpgms} καί^{cc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ^{rpgms} ὅτι^{cs} πρός^{pa} σύ^{rpams} προσεύχομαι^{vifm1s} κύριος^{nvmsc}.

πρωὶ παραστήσομαί σοι καὶ ἐπόψομαι. ὅτι οὐχὶ θεὸς θέλων ἀνο-
μίαν σὺ εἶ οὐδὲ παροικήσει σοι πονηρευόμενος. οὐ διαμενοῦσιν
παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου ἐμίσησας πάντας τοὺς
ἐργαζομένους τὴν ἀνομίαν. ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ
ψεῦδος ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος. ἐγὼ δὲ
ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου προ-
σκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. κύριε ὁδήγησόν με
ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν
μου τὴν ὁδόν σου. ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια
ἡ καρδία αὐτῶν ματαία τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν ταῖς
γλώσσαις αὐτῶν ἐδολιοῦσαν. κρῖνον αὐτούς ὁ θεός ἀποπεσά-
τωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν
αὐτῶν ἔξωσον αὐτούς ὅτι παρεπίκρανάν σε κύριε. καὶ εὐφραν-
θήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ εἰς αἰῶνα ἀγαλλιάσονται καὶ
κατασκηνώσεις ἐν αὐτοῖς καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγα-
πῶντες τὸ ὄνομά σου. ὅτι σὺ εὐλογήσεις δίκαιον κύριε ὡς ὅπλῳ
εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

6, 2 εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυιδ. κύ-
ριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3 ἐλέησόν με κύριε ὅτι ἀσθενής εἰμι ἴασαί με κύριε ὅτι ἐταράχθη τὰ
4 ὀστᾶ μου. καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα καὶ σύ κύριε ἕως

---

v.4 ὁ^dans πρωῖ^b εἰσακούω^vifm2s ὁ^dgfs φωνή^ngfsc ἐγώ^rpgms ὁ^dans πρωῖ^b παρίστημι^vifm1s σύ^rpdms καί^cc ἐφοράω^vifm1s. **v.5** ὅτι^cs οὐχί^b θεός^nnmsc θέλω^vppanms ἀνομία^nafsc σύ^rpnms εἰμί^vipa2s οὐδέ^cc παροικέω^vifa3s σύ^rpdms πονηρεύομαι^vppmnms. **v.6** οὐ^b διαμένω^vifa3p παράνομος^annmpn κατέναντι^pg ὁ^dgmp ὀφθαλμός^ngmpc σύ^rpgms μισέω^viaa2s πᾶς^aiampn ὁ^damp ἐργάζομαι^vppmamp ὁ^dafs ἀνομία^nafsc. **v.7** ἀπόλλυμι^vifa2s πᾶς^aiampn ὁ^damp λαλέω^vppaamp ὁ^dans ψεῦδος^nansc ἀνήρ^namsc αἷμα^ngnpc καί^cc δόλιος^anamsn βδελύσσω^vipm3s κύριος^nnmsc. **v.8** ἐγώ^rpnms δέ^cc ἐν^pd ὁ^ddns πλῆθος^ndnsc ὁ^dgns ἔλεος^ngnsc σύ^rpgms εἰσέρχομαι^vifm1s εἰς^pa ὁ^dams οἶκος^namsc σύ^rpgms προσκυνέω^vifa1s πρός^pa ναός^namsc ἅγιος^anamsn σύ^rpgms ἐν^pd φόβος^ndmsc σύ^rpgms. **v.9** κύριος^nvmsc ὁδηγέω^vdaa2s ἐγώ^rpams ἐν^pd ὁ^ddfs δικαιοσύνη^ndfsc σύ^rpgms ἕνεκα^pg ὁ^dgmp ἐχθρός^angmpn ἐγώ^rpgms κατευθύνω^vdaa2s ἐνώπιον^pg ἐγώ^rpgms ὁ^dafs ὁδός^nafsc σύ^rpgms. **v.10** ὅτι^cs οὐ^b εἰμί^vipa3s ἐν^pd ὁ^ddns στόμα^ndnsc αὐτός^rpgmp ἀλήθεια^nnfsc ὁ^dnfs καρδία^nnfsc αὐτός^rpgmp μάταιος^annfsn τάφος^nnmsc ἀνοίγω^vpxpnms ὁ^dnms λάρυγξ^nnmsc αὐτός^rpgmp ὁ^ddfp γλῶσσα^ndfpc αὐτός^rpgmp δολιόω^viia3p. **v.11** κρίνω^vdaa2s αὐτός^rpamp ὁ^dnms θεός^nnmsc ἀποπίπτω^vdaa3p ἀπό^pg ὁ^dgfp διαβουλία^ngfpc αὐτός^rpgmp κατά^pa ὁ^dans πλῆθος^nansc ὁ^dgfp ἀσέβεια^ngfpc αὐτός^rpgmp ἐξωθέω^vdaa2s αὐτός^rpamp ὅτι^cs παραπικραίνω^viaa3p σύ^rpams κύριος^nvmsc. **v.12** καί^cc εὐφραίνω^vdap3p πᾶς^ainmpn ὁ^dnmp ἐλπίζω^vppanmp ἐπί^pa σύ^rpams εἰς^pa αἰών^namsc ἀγαλλιάω^vifm3p καί^cc κατασκηνόω^vifa2s ἐν^pd αὐτός^rpdmp καί^cc καυχάομαι^vifm3p ἐν^pd σύ^rpdms πᾶς^ainmpn ὁ^dnmp ἀγαπάω^vppanmp ὁ^dans ὄνομα^nansc σύ^rpgms. **v.13** ὅτι^cs σύ^rpnms εὐλογέω^vifa2s δίκαιος^anamsn κύριος^nvmsc ὡς^cs ὅπλον^ndnsc εὐδοκία^ngfsc στεφανόω^viaa2s ἐγώ^rpamp. **6. v.1** εἰς^pa ὁ^dans τέλος^nansc ἐν^pd ὕμνος^ndmpc ὑπέρ^pg ὁ^dgfs ὄγδοος^aogfsn ψαλμός^nnmsc ὁ^ddms Δαυίδ^ndmsp. **v.2** κύριος^nvmsc μή^x ὁ^ddms θυμός^ndmsc σύ^rpgms ἐλέγχω^vsaa2s ἐγώ^rpams μηδέ^x ὁ^ddfs ὀργή^ndfsc σύ^rpg-s παιδεύω^vsaa2s ἐγώ^rpams. **v.3** ἐλεέω^vdaa2s ἐγώ^rpams κύριος^nvmsc ὅτι^cs ἀσθενής^annmsn εἰμί^vipa1s ἰάομαι^vdam2s ἐγώ^rpams κύριος^nvmsc ὅτι^cs ταράσσω^viap3s ὁ^dnnp ὀστέον^nnnpc ἐγώ^rpgms.

πότε. ἐπίστρεψον κύριε ῥῦσαι τὴν ψυχήν μου σῶσόν με ἕνεκεν 5
τοῦ ἐλέους σου. ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου 6
ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι. ἐκοπίασα ἐν τῷ στεναγ- 7
μῷ μου λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου ἐν δάκρυσίν
μου τὴν στρωμνήν μου βρέξω. ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλ- 8
μός μου ἐπαλαιώθην ἐν πᾶσιν τοῖς ἐχθροῖς μου. ἀπόστητε ἀπ' 9
ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ὅτι εἰσήκουσεν κύριος
τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. εἰσήκουσεν κύριος τῆς δεήσεώς 10
μου κύριος τὴν προσευχήν μου προσεδέξατο. αἰσχυνθείησαν 11
καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου ἀποστραφείησαν
καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

ψαλμὸς τῷ Δαυιδ ὃν ᾖσεν τῷ κυρίῳ ὑπὲρ τῶν λόγων Χουσι υἱοῦ **7**
Ιεμενι. κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα σῶσόν με ἐκ πάντων τῶν 2
διωκόντων με καὶ ῥῦσαί με. μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν 3
μου μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος. κύριε ὁ θεός μου εἰ 4
ἐποίησα τοῦτο εἰ ἔστιν ἀδικία ἐν χερσίν μου. εἰ ἀνταπέδωκα τοῖς 5
ἀνταποδιδοῦσίν μοι κακά ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου
κενός. καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι 6
καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου καὶ τὴν δόξαν μου εἰς χοῦν
κατασκηνώσαι διάψαλμα. ἀνάστηθι κύριε ἐν ὀργῇ σου ὑψώθητι 7
ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου ἐξεγέρθητι κύριε ὁ θεός μου ἐν

---

v.4 καί^{cc} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ^{rpgms} ταράσσω^{viap3s} σφόδρα^{b} καί^{cc} σύ^{rpnms} κύριος^{nvmsc} ἕως^{bpp} πότε^{b}. **v.5** ἐπιστρέφω^{vdaa2s} κύριος^{nvmsc} ῥύομαι^{vdam2s} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ^{rpgms} σῴζω^{vdaa2s} ἐγώ^{rpams} ἕνεκα^{pg} ὁ^{dgns} ἔλεος^{ngnsc} σύ^{rpgms}. **v.6** ὅτι^{cs} οὐ^{b} εἰμί^{vipa3s} ἐν^{pd} ὁ^{ddms} θάνατος^{ndmsc} ὁ^{dnms} μνημονεύω^{vppanms} σύ^{rpgms} ἐν^{pd} δέ^{cc} ὁ^{ddms} ᾅδης^{ndmsc} τίς^{rqnms} ἐξομολογέω^{vifm3s} σύ^{rpdms}. **v.7** κοπιάω^{viaa1s} ἐν^{pd} ὁ^{ddms} στεναγμός^{ndmsc} ἐγώ^{rpgms} λούω^{vifa1s} κατά^{pa} ἕκαστος^{aiafsn} νύξ^{nafsc} ὁ^{dafs} κλίνη^{nafsc} ἐγώ^{rpgms} ἐν^{pd} δάκρυ^{ndnpc} ἐγώ^{rpgms} ὁ^{dafs} στρωμνή^{nafsc} ἐγώ^{rpgms} βρέχω^{vifa1s}. **v.8** ταράσσω^{viap3s} ἀπό^{pg} θυμός^{ngmsc} ὁ^{dnms} ὀφθαλμός^{nnmsc} ἐγώ^{rpgms} παλαιόω^{viap1s} ἐν^{pd} πᾶς^{aidmpn} ὁ^{ddmp} ἐχθρός^{andmpn} ἐγώ^{rpgms}. **v.9** ἀφίστημι^{vdaa2p} ἀπό^{pg} ἐγώ^{rpgms} πᾶς^{ainmpn} ὁ^{dnmp} ἐργάζομαι^{vppmnmp} ὁ^{dafs} ἀνομία^{nafsc} ὅτι^{cs} εἰσακούω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dgfs} φωνή^{ngfsc} ὁ^{dgms} κλαυθμός^{ngmsc} ἐγώ^{rpgms}. **v.10** εἰσακούω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dgfs} δέησις^{ngfsc} ἐγώ^{rpgms} κύριος^{nnmsc} ὁ^{dafs} προσευχή^{nafsc} ἐγώ^{rpgms} προσδέχομαι^{viam3s}. **v.11** αἰσχύνω^{voap3p} καί^{cc} ταράσσω^{voap3p} σφόδρα^{b} πᾶς^{ainmpn} ὁ^{dnmp} ἐχθρός^{annmpn} ἐγώ^{rpgms} ἀποστρέφω^{voap3p} καί^{cc} καταισχύνω^{voap3p} σφόδρα^{b} διά^{pg} τάχος^{ngnsc}. **7. v.1** ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} ὅς^{rrams} ᾅδω^{viaa3s} ὁ^{ddms} κύριος^{ndmsc} ὑπέρ^{pg} ὁ^{dgmp} λόγος^{ngmpc} Χουσι^{ngmsp} υἱός^{ngmsc} Ιεμενι^{ngmsp}. **v.2** κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ^{rpgms} ἐπί^{pd} σύ^{rpdms} ἐλπίζω^{viaa1s} σῴζω^{vdaa2s} ἐγώ^{rpams} ἐκ^{pg} πᾶς^{aigmpn} ὁ^{dgmp} διώκω^{vppagmp} ἐγώ^{rpams} καί^{cc} ῥύομαι^{vdam2s} ἐγώ^{rpams}. **v.3** μήποτε^{cs} ἁρπάζω^{vsaa3s} ὡς^{cs} λέων^{nnmsc} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ^{rpgms} μή^{x} εἰμί^{vppagms} λυτρόω^{vppmgms} μηδέ^{x} σῴζω^{vppagms}. **v.4** κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ^{rpgms} εἰ^{cs} ποιέω^{viaa1s} οὗτος^{rdans} εἰ^{cs} εἰμί^{vipa3s} ἀδικία^{nnfsc} ἐν^{pd} χείρ^{ndfpc} ἐγώ^{rpgms}. **v.5** εἰ^{cs} ἀνταποδίδωμι^{viaa1s} ὁ^{ddmp} ἀνταποδίδωμι^{vppadmp} ἐγώ^{rpdms} κακός^{ananpn} ἀποπίπτω^{voaa1s} ἄρα^{x} ἀπό^{pg} ὁ^{dgmp} ἐχθρός^{angmpn} ἐγώ^{rpgms} κενός^{annmsn}. **v.6** καταδιώκω^{voaa3s} ἄρα^{x} ὁ^{dnms} ἐχθρός^{annmsn} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ^{rpgms} καί^{cc} καταλαμβάνω^{voaa3s} καί^{cc} καταπατέω^{voaa3s} εἰς^{pa} γῆ^{nafsc} ὁ^{dafs} ζωή^{nafsc} ἐγώ^{rpgms} καί^{cc} ὁ^{dafs} δόξα^{nafsc} ἐγώ^{rpgms} εἰς^{pa} χοῦς^{namsc} κατασκηνόω^{voaa3s} διάψαλμα^{nnnsc}.

προστάγματι ᾧ ἐνετείλω. καὶ συναγωγὴ λαῶν κυκλώσει σε καὶ
ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. κύριος κρινεῖ λαούς κρῖνόν
με κύριε κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου
ἐπ᾽ ἐμοί. συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν καὶ κατευθυνεῖς
δίκαιον ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεός. δικαία ἡ βοήθειά
μου παρὰ τοῦ θεοῦ τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. ὁ θεὸς
κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος μὴ ὀργὴν ἐπάγων
καθ᾽ ἑκάστην ἡμέραν. ἐὰν μὴ ἐπιστραφῆτε τὴν ῥομφαίαν αὐτοῦ
στιλβώσει τὸ τόξον αὐτοῦ ἐνέτεινεν καὶ ἡτοίμασεν αὐτὸ καὶ ἐν
αὐτῷ ἡτοίμασεν σκεύη θανάτου τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐ-
ξειργάσατο. ἰδοὺ ὠδίνησεν ἀδικίαν συνέλαβεν πόνον καὶ ἔτεκεν
ἀνομίαν. λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτὸν καὶ ἐμπεσεῖται
εἰς βόθρον ὃν εἰργάσατο. ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν
αὐτοῦ καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. ἐ-
ξομολογήσομαι κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ καὶ ψαλῶ τῷ
ὀνόματι κυρίου τοῦ ὑψίστου.

8, 2 εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ Δαυιδ. κύριε ὁ κύριος
ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ ὅτι ἐπήρθη ἡ
3 μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. ἐκ στόματος νηπίων
καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου τοῦ κα-
4 ταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν. ὅτι ὄψομαι τοὺς οὐρανούς ἔργα

---

v.7 ἀνίστημι^{vdaa2s} κύριος^{nvmsc} ἐν^{pd} ὀργή^{ndfsc} σύ^{rpgms} ὑψόω^{vdap2s} ἐν^{pd} ὁ^{ddnp} πέρας^{ndnpc} ὁ^{dgmp} ἐχθρός^{angmpn} ἐγώ^{rpgms} ἐξεγείρω^{vdap2s} κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ^{rpgms} ἐν^{pd} πρόσταγμα^{ndnsc} ὅς^{rrdns} ἐντέλλομαι^{viam2s}. **v.8** καί^{cc} συναγωγή^{nnfsc} λαός^{ngmpc} κυκλόω^{vifa3s} σύ^{rpams} καί^{cc} ὑπέρ^{pg} οὗτος^{rdgfs} εἰς^{pa} ὕψος^{nansc} ἐπιστρέφω^{vdaa2s}. **v.9** κύριος^{nnmsc} κρίνω^{vifa3s} λαός^{nampc} κρίνω^{vdaa2s} ἐγώ^{rpams} κύριος^{nvmsc} κατά^{pa} ὁ^{dafs} δικαιοσύνη^{nafsc} ἐγώ^{rpgms} καί^{cc} κατά^{pa} ὁ^{dafs} ἀκακία^{nafsc} ἐγώ^{rpgms} ἐπί^{pd} ἐγώ^{rpdms}. **v.10** συντελέω^{vdap3s} δή^{x} πονηρία^{nnfsc} ἁμαρτωλός^{angmpn} καί^{cc} κατευθύνω^{vifa2s} δίκαιος^{anamsn} ἐτάζω^{vppanms} καρδία^{nafpc} καί^{cc} νεφρός^{nampc} ὁ^{dnms} θεός^{nnmsc}. **v.11** δίκαιος^{annfsn} ὁ^{dnfs} βοήθεια^{nnfsc} ἐγώ^{rpgms} παρά^{pg} ὁ^{dgms} θεός^{ngmsc} ὁ^{dgms} σῴζω^{vppagms} ὁ^{damp} εὐθύς^{anampn} ὁ^{ddfs} καρδία^{ndfsc}. **v.12** ὁ^{dnms} θεός^{nnmsc} κριτής^{nnmsc} δίκαιος^{annmsn} καί^{cc} ἰσχυρός^{annmsn} καί^{cc} μακρόθυμος^{annmsn} μή^{x} ὀργή^{nafsc} ἐπάγω^{vppanms} κατά^{pa} ἕκαστος^{aiafsn} ἡμέρα^{nafsc}. **v.14** καί^{cc} ἐν^{pd} αὐτός^{rpdns} ἑτοιμάζω^{viaa3s} σκεῦος^{nanpc} θάνατος^{ngmsc} ὁ^{danp} βέλος^{nanpc} αὐτός^{rpgms} ὁ^{ddmp} καίω^{vppmdmp} ἐξεργάζομαι^{viam3s}. **v.15** ἰδού^{i} ὠδίνω^{viaa3s} ἀδικία^{nafsc} συλλαμβάνω^{viaa3s} πόνος^{namsc} καί^{cc} τίκτω^{viaa3s} ἀνομία^{nafsc}. **v.16** λάκκος^{namsc} ὀρύσσω^{viaa3s} καί^{cc} ἀνασκάπτω^{viaa3s} αὐτός^{rpams} καί^{cc} ἐμπίπτω^{vifm3s} εἰς^{pa} βόθρος^{namsc} ὅς^{rrams} ἐργάζομαι^{viam3s}. **v.17** ἐπιστρέφω^{vifa3s} ὁ^{dnms} πόνος^{nnmsc} αὐτός^{rpgms} εἰς^{pa} κεφαλή^{nafsc} αὐτός^{rpgms} καί^{cc} ἐπί^{pa} κορυφή^{nafsc} αὐτός^{rpgms} ὁ^{dnfs} ἀδικία^{nnfsc} αὐτός^{rpgms} καταβαίνω^{vifm3s}. **v.18** ἐξομολογέω^{vifm1s} κύριος^{ndmsc} κατά^{pa} ὁ^{dafs} δικαιοσύνη^{nafsc} αὐτός^{rpgms} καί^{cc} ψάλλω^{vifa1s} ὁ^{ddns} ὄνομα^{ndnsc} κύριος^{ngmsc} ὁ^{dgms} ὕψιστος^{angmsn}. **8. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pg} ὁ^{dgfp} ληνός^{ngfpc} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** κύριος^{nvmsc} ὁ^{dnms} κύριος^{nnmsc} ἐγώ^{rpgmp} ὡς^{cs} θαυμαστός^{annnsn} ὁ^{dnns} ὄνομα^{nnnsc} σύ^{rpgms} ἐν^{pd} πᾶς^{aidfsn} ὁ^{ddfs} γῆ^{ndfsc} ὅτι^{cs} ἐπαίρω^{viap3s} ὁ^{dnfs} μεγαλοπρέπεια^{nnfsc} σύ^{rpgms} ὑπεράνω^{pg} ὁ^{dgmp} οὐρανός^{ngmpc}. **v.3** ἐκ^{pg} στόμα^{ngnsc} νήπιος^{angmpn} καί^{cc} θηλάζω^{vppagmp} καταρτίζω^{viam2s} αἶνος^{namsc} ἕνεκα^{pg} ὁ^{dgmp} ἐχθρός^{angmpn} σύ^{rpgms} ὁ^{dgns} καταλύω^{vnaa} ἐχθρός^{anamsn} καί^{cc} ἐκδικητής^{namsc}.

τῶν δακτύλων σου σελήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας. τί 5
ἐστιν ἄνθρωπος ὅτι μιμνῄσκῃ αὐτοῦ ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέ-
πτῃ αὐτόν. ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους δόξῃ καὶ 6
τιμῇ ἐστεφάνωσας αὐτόν. καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν 7
χειρῶν σου πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. πρόβατα 8
καὶ βόας πάσας ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. τὰ πετεινὰ τοῦ 9
οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης τὰ διαπορευόμενα τρί-
βους θαλασσῶν. κύριε ὁ κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά 10
σου ἐν πάσῃ τῇ γῇ.

εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ ψαλμὸς τῷ Δαυιδ. ἐ- **9**, 2
ξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου διηγήσομαι πάντα
τὰ θαυμάσιά σου. εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί ψα- 3
λῶ τῷ ὀνόματί σου ὕψιστε. ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου 4
εἰς τὰ ὀπίσω ἀσθενήσουσιν καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.
ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου ἐκάθισας ἐπὶ θρό- 5
νου ὁ κρίνων δικαιοσύνην. ἐπετίμησας ἔθνεσιν καὶ ἀπώλετο ὁ 6
ἀσεβής τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος. τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος καὶ πό- 7
λεις καθεῖλες ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ᾽ ἤχους. καὶ ὁ 8
κύριος εἰς τὸν αἰῶνα μένει ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ.
καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ κρινεῖ λαοὺς ἐν 9

---

v.4 ὅτι^{cs} ὁράω^{vifm1s} ὁ^{damp} οὐρανός^{nampc} ἔργον^{nanpc} ὁ^{dgmp} δάκτυλος^{ngmpc} σύ^{rpgms} σελήνη^{nafsc} καί^{cc} ἀστήρ^{nampc} ὅς^{rranp} σύ^{rpnms} θεμελιόω^{viaa2s}. **v.5** τίς^{rqnns} εἰμί^{vipa3s} ἄνθρωπος^{nnmsc} ὅτι^{cs} μιμνῄσκομαι^{vipm2s} αὐτός^{rpgms} ἤ^{cc} υἱός^{nnmsc} ἄνθρωπος^{ngmsc} ὅτι^{cs} ἐπισκέπτομαι^{vipm2s} αὐτός^{rpams}. **v.6** ἐλαττόω^{viaa2s} αὐτός^{rpams} βραχύς^{anansn} τι-σριανς παρά^{pa} ἄγγελος^{nampc} δόξα^{ndfsc} καί^{cc} τιμή^{ndfsc} στεφανόω^{viaa2s} αὐτός^{rpams}. **v.7** καί^{cc} καθίστημι^{viaa2s} αὐτός^{rpams} ἐπί^{pa} ὁ^{danp} ἔργον^{nanpc} ὁ^{dgfp} χείρ^{ngfpc} σύ^{rpgms} πᾶς^{aianpn} ὑποτάσσω^{viaa2s} ὑποκάτω^{pg} ὁ^{dgmp} πούς^{ngmpc} αὐτός^{rpgms}. **v.8** πρόβατον^{nanpc} καί^{cc} βοῦς^{nafpc} πᾶς^{aiafpn} ἔτι^{b} δέ^{cc} καί^{cc} ὁ^{danp} κτῆνος^{nanpc} ὁ^{dgns} πεδίον^{ngnsc}. **v.9** ὁ^{danp} πετεινός^{nanpc} ὁ^{dgms} οὐρανός^{ngmsc} καί^{cc} ὁ^{damp} ἰχθύς^{nampc} ὁ^{dgfs} θάλασσα^{ngfsc} ὁ^{danp} διαπορεύομαι^{vppmanp} τρίβος^{nafpc} θάλασσα^{ngfpc}. **v.10** κύριος^{nvmsc} ὁ^{dnms} κύριος^{nnmsc} ἐγώ^{rpgmp} ὡς^{cs} θαυμαστός^{annnsn} ὁ^{dnns} ὄνομα^{nnnsc} σύ^{rpgms} ἐν^{pd} πᾶς^{aidfsn} ὁ^{ddfs} γῆ^{ndfsc}. **9. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pg} ὁ^{dgnp} κρύφιος^{angnpn} ὁ^{dgms} υἱός^{ngmsc} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** ἐξομολογέω^{vifm1s} σύ^{rpdms} κύριος^{nvmsc} ἐν^{pd} ὅλος^{andfsn} καρδία^{ndfsc} ἐγώ^{rpgms} διηγέομαι^{vifm1s} πᾶς^{aianpn} ὁ^{danp} θαυμάσιος^{ananpn} σύ^{rpgms}. **v.3** εὐφραίνω^{vifp1s} καί^{cc} ἀγαλλιάω^{vifm1s} ἐν^{pd} σύ^{rpdms} ψάλλω^{vifa1s} ὁ^{ddns} ὄνομα^{ndnsc} σύ^{rpgms} ὕψιστος^{anvmsn}. **v.4** ἐν^{pd} ὁ^{ddns} ἀποστρέφω^{vnap} ὁ^{dams} ἐχθρός^{anamsn} ἐγώ^{rpgms} εἰς^{pa} ὁ^{danp} ὀπίσω^{b} ἀσθενέω^{vifa3p} καί^{cc} ἀπόλλυμι^{vifm3p} ἀπό^{pg} πρόσωπον^{ngnsc} σύ^{rpgms}. **v.5** ὅτι^{cs} ποιέω^{viaa2s} ὁ^{dafs} κρίσις^{nafsc} ἐγώ^{rpgms} καί^{cc} ὁ^{dafs} δίκη^{nafsc} ἐγώ^{rpgms} καθίζω^{viaa2s} ἐπί^{pg} θρόνος^{ngmsc} ὁ^{dnms} κρίνω^{vppanms} δικαιοσύνη^{nafsc}. **v.6** ἐπιτιμάω^{viaa2s} ἔθνος^{ndnpc} καί^{cc} ἀπόλλυμι^{viam3s} ὁ^{dnms} ἀσεβής^{annmsn} ὁ^{dans} ὄνομα^{nansc} αὐτός^{rpgmp} ἐξαλείφω^{viaa2s} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} καί^{cc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ὁ^{dgms} αἰών^{ngmsc}. **v.7** ὁ^{dgms} ἐχθρός^{angmsn} ἐκλείπω^{viaa3p} ὁ^{dnfp} ῥομφαία^{nnfpc} εἰς^{pa} τέλος^{nansc} καί^{cc} πόλις^{nafpc} καθαιρέω^{viaa2s} ἀπόλλυμι^{viam3s} ὁ^{dnns} μνημόσυνον^{nnnsc} αὐτός^{rpgmp} μετά^{pa} ἦχος^{ngnsc}. **v.8** καί^{cc} ὁ^{dnms} κύριος^{nnmsc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} μένω^{vipa3s} ἑτοιμάζω^{viaa3s} ἐν^{pd} κρίσις^{ndfsc} ὁ^{dams} θρόνος^{namsc} αὐτός^{rpgms}.

10 εὐθύτητι. καὶ ἐγένετο κύριος καταφυγὴ τῷ πένητι βοηθὸς ἐν
11 εὐκαιρίαις ἐν θλίψει. καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ
12 ὄνομά σου ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε κύριε. ψά-
λατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιων ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν
13 τὰ ἐπιτηδεύματα αὐτοῦ. ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη
14 οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. ἐλέησόν με κύριε ἰδὲ
τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου ὁ ὑψῶν με ἐκ τῶν πυ-
15 λῶν τοῦ θανάτου. ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου
ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιων ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ
16 σου. ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν ἐν παγίδι ταύ-
17 τῃ ᾗ ἔκρυψαν συνελήμφθη ὁ ποὺς αὐτῶν. γινώσκεται κύριος
κρίματα ποιῶν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήμφθη ὁ
18 ἁμαρτωλός ᾠδὴ διαψάλματος. ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ
19 εἰς τὸν ᾅδην πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ. ὅτι
οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός ἡ ὑπομονὴ τῶν πενήτων
20 οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα. ἀνάστηθι κύριε μὴ κραταιούσθω
21 ἄνθρωπος κριθήτωσαν ἔθνη ἐνώπιόν σου. κατάστησον κύριε νο-
μοθέτην ἐπ᾽ αὐτούς γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν διάψαλμα.
22 ἵνα τί κύριε ἀφέστηκας μακρόθεν ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλί-
23 ψει. ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός

---

v.9 καί[cc] αὐτός[rpnms] κρίνω[vifa3s] ὁ[dafs] οἰκουμένη[nafsc] ἐν[pd] δικαιοσύνη[ndfsc] κρίνω[vifa3s] λαός[nampc] ἐν[pd] εὐθύτης[ndfsc]. **v.10** καί[cc] γίνομαι[viam3s] κύριος[nnmsc] καταφυγή[nnfsc] ὁ[ddms] πένης[ndmsc] βοηθός[nnmsc] ἐν[pd] εὐκαιρία[ndfpc] ἐν[pd] θλῖψις[ndfsc]. **v.11** καί[cc] ἐλπίζω[vdaa3p] ἐπί[pa] σύ[rpams] ὁ[dnmp] γινώσκω[vppanmp] ὁ[dans] ὄνομα[nansc] σύ[rpgms] ὅτι[cs] οὐ[b] ἐγκαταλείπω[viaa2s] ὁ[damp] ἐκζητέω[vppaamp] σύ[rpams] κύριος[nvmsc]. **v.12** ψάλλω[vdaa2p] ὁ[ddms] κύριος[ndmsc] ὁ[ddms] κατοικέω[vppadms] ἐν[pd] Σιών[ndfsp] ἀναγγέλλω[vdaa2p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ὁ[danp] ἐπιτήδευμα[nanpc] αὐτός[rpgms]. **v.13** ὅτι[cs] ἐκζητέω[vppanms] ὁ[danp] αἷμα[nanpc] αὐτός[rpgmp] μιμνῄσκομαι[viap3s] οὐ[b] ἐπιλανθάνομαι[viam3s] ὁ[dgfs] κραυγή[ngfsc] ὁ[dgmp] πένης[ngmpc]. **v.14** ἐλεέω[vdaa2s] ἐγώ[rpams] κύριος[nvmsc] ὁράω[vdaa2s] ὁ[dafs] ταπείνωσις[nafsc] ἐγώ[rpgms] ἐκ[pg] ὁ[dgmp] ἐχθρός[angmpn] ἐγώ[rpgms] ὁ[dnms] ὑψόω[vppanms] ἐγώ[rpams] ἐκ[pg] ὁ[dgfp] πύλη[ngfpc] ὁ[dgms] θάνατος[ngmsc]. **v.15** ὅπως[cs] ἄν[x] ἐξαγγέλλω[vsaa1s] πᾶς[aiafpn] ὁ[dafp] αἴνεσις[nafpc] σύ[rpgms] ἐν[pd] ὁ[ddfp] πύλη[ndfpc] ὁ[dgfs] θυγάτηρ[ngfsc] Σιών[ngfsp] ἀγαλλιάω[vifm1s] ἐπί[pd] ὁ[ddns] σωτήριον[ndnsc] σύ[rpgms]. **v.16** ἐμπήγνυμι[viap3p] ἔθνος[nnnpc] ἐν[pd] διαφθορά[ndfsc] ὅς[rrdfs] ποιέω[viaa3p] ἐν[pd] παγίς[ndfsc] οὗτος[rddfs] ὅς[rrdfs] κρύπτω[viaa3p] συλλαμβάνω[viap3s] ὁ[dnms] πούς[nnmsc] αὐτός[rpgmp]. **v.17** γινώσκω[vipp3s] κύριος[nnmsc] κρίμα[nanpc] ποιέω[vppanms] ἐν[pd] ὁ[ddnp] ἔργον[ndnpc] ὁ[dgfp] χείρ[ngfpc] αὐτός[rpgms] συλλαμβάνω[viap3s] ὁ[dnms] ἁμαρτωλός[annmsn] ᾠδή[nnfsc] διάψαλμα[ngnsc]. **v.18** ἀποστρέφω[vdap3p] ὁ[dnmp] ἁμαρτωλός[annmpn] εἰς[pa] ὁ[dams] ᾅδης[namsc] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] ὁ[dnnp] ἐπιλανθάνομαι[vppmnnp] ὁ[dgms] θεός[ngmsc]. **v.19** ὅτι[cs] οὐ[b] εἰς[pa] τέλος[nansc] ἐπιλανθάνομαι[vifp3s] ὁ[dnms] πτωχός[annmsn] ὁ[dnfs] ὑπομονή[nnfsc] ὁ[dgmp] πένης[ngmpc] οὐ[b] ἀπόλλυμι[vifm3s] εἰς[pa] ὁ[dams] αἰών[namsc]. **v.20** ἀνίστημι[vdaa2s] κύριος[nvmsc] μή[x] κραταιόω[vdpp3s] ἄνθρωπος[nnmsc] κρίνω[vdap3p] ἔθνος[nnnpc] ἐνώπιον[pg] σύ[rpgms]. **v.21** καθίστημι[vdaa2s] κύριος[nvmsc] νομοθέτης[namsc] ἐπί[pa] αὐτός[rpamp] γινώσκω[vdaa3p] ἔθνος[nnnpc] ὅτι[cs] ἄνθρωπος[nnmpc] εἰμί[vipa3p] διάψαλμα[nnnsc]. **v.22** ἵνα[cs] τίς[rqnns] κύριος[nvmsc] ἀφίστημι[vixa2s] μακρόθεν[b] ὑπεροράω[vipa2s] ἐν[pd] εὐκαιρία[ndfpc] ἐν[pd] θλῖψις[ndfsc].

συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται. ὅτι ἐπαινεῖται 24
ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ καὶ ὁ ἀδικῶν
ἐνευλογεῖται. παρώξυνεν τὸν κύριον ὁ ἁμαρτωλός κατὰ τὸ πλῆ- 25
θος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον
αὐτοῦ. βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ ἀνταναιρεῖται 26
τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ πάντων τῶν ἐχθρῶν αὐ-
τοῦ κατακυριεύσει. εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐ μὴ σαλευθῶ 27
ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ. οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ 28
γέμει καὶ πικρίας καὶ δόλου ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ
πόνος. ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις ἀπο- 29
κτεῖναι ἀθῷον οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν.
ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ ἐνεδρεύει 30
τοῦ ἁρπάσαι πτωχόν ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν. ἐν 31
τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν
κατακυριεῦσαι τῶν πενήτων. εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ ἐπιλέ- 32
λησται ὁ θεός ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς
τέλος. ἀνάστηθι κύριε ὁ θεός ὑψωθήτω ἡ χείρ σου μὴ ἐπιλάθῃ 33
τῶν πενήτων. ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν θεόν εἶπεν 34
γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐκ ἐκζητήσει. βλέπεις ὅτι σὺ πόνον καὶ 35
θυμὸν κατανοεῖς τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου σοὶ οὖν

---

v.23 ἐν^{pd} ὁ^{ddns} ὑπερηφανεύω^{vnpm} ὁ^{dams} ἀσεβής^{anamsn} ἐμπυρίζω^{vipp3s} ὁ^{dnms} πτωχός^{annmsn} συλλαμβάνω^{vipp3p} ἐν^{pd} διαβούλιον^{ndnpc} ὅς^{rrdnp} διαλογίζομαι^{vipm3p}. **v.24** ὅτι^{cs} ἐπαινέω^{vipm3s} ὁ^{dnms} ἁμαρτωλός^{annmsn} ἐν^{pd} ὁ^{ddfp} ἐπιθυμία^{ndfpc} ὁ^{dgfs} ψυχή^{ngfsc} αὐτός^{rpgms} καί^{cc} ὁ^{dnms} ἀδικέω^{vppanms} ἐνευλογέω^{vipm3s}. **v.25** παροξύνω^{viaa3s} ὁ^{dams} κύριος^{namsc} ὁ^{dnms} ἁμαρτωλός^{annmsn} κατά^{pa} ὁ^{dans} πλῆθος^{nansc} ὁ^{dgfs} ὀργή^{ngfsc} αὐτός^{rpgms} οὐ^{b} ἐκζητέω^{vifa3s} οὐ^{b} εἰμί^{vipa3s} ὁ^{dnms} θεός^{nnmsc} ἐνώπιον^{pg} αὐτός^{rpgms}. **v.26** βεβηλόω^{vipp3p} ὁ^{dnfp} ὁδός^{nnfpc} αὐτός^{rpgms} ἐν^{pd} πᾶς^{aidmsn} καιρός^{ndmsc} ἀνταναιρέω^{vipp3s} ὁ^{dnnp} κρίμα^{nnnpc} σύ$^{rpg-s}$ ἀπό^{pg} πρόσωπον^{ngnsc} αὐτός^{rpgms} πᾶς^{aigmpn} ὁ^{dgmp} ἐχθρός^{angmpn} αὐτός^{rpgms} κατακυριεύω^{vifa3s}. **v.27** λέγω^{viaa3s} γάρ^{cc} ἐν^{pd} καρδία^{ndfsc} αὐτός^{rpgms} οὐ^{b} μή^{x} σαλεύω^{vsap1s} ἀπό^{pg} γενεά^{ngfsc} εἰς^{pa} γενεά^{nafsc} ἄνευ^{pg} κακός^{angnsn}. **v.28** ὅς^{rrgms} ἀρά^{ngfsc} ὁ^{dans} στόμα^{nansc} αὐτός^{rpgms} γέμω^{vipa3s} καί^{cc} πικρία^{ngfsc} καί^{cc} δόλος^{ngmsc} ὑπό^{pa} ὁ^{dafs} γλῶσσα^{nafsc} αὐτός^{rpgms} κόπος^{nnmsc} καί^{cc} πόνος^{nnmsc}. **v.29** ἐγκάθημαι^{vipm3s} ἐνέδρα^{ndfsc} μετά^{pg} πλούσιος^{angmpn} ἐν^{pd} ἀπόκρυφος^{andnpn} ἀποκτείνω^{vnaa} ἀθῷος^{anamsn} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} αὐτός^{rpgms} εἰς^{pa} ὁ^{dams} πένης^{namsc} ἀποβλέπω^{vipa3p}. **v.30** ἐνεδρεύω^{vipa3s} ἐν^{pd} ἀπόκρυφος^{andnsn} ὡς^{cs} λέων^{nnmsc} ἐν^{pd} ὁ^{ddfs} μάνδρα^{ndfsc} αὐτός^{rpgms} ἐνεδρεύω^{vipa3s} ὁ^{dgns} ἁρπάζω^{vnaa} πτωχός^{anamsn} ἁρπάζω^{vnaa} πτωχός^{anamsn} ἐν^{pd} ὁ^{ddns} ἕλκω^{vnaa} αὐτός^{rpams}. **v.31** ἐν^{pd} ὁ^{ddfs} παγίς^{ndfsc} αὐτός^{rpgms} ταπείνωσις^{vifa3s} αὐτός^{rpams} κύπτω^{vifa3s} καί^{cc} πίπτω^{vifm3s} ἐν^{pd} ὁ^{ddns} αὐτός^{rpams} κατακυριεύω^{vnaa} ὁ^{dgmp} πένης^{ngmpc}. **v.32** λέγω^{viaa3s} γάρ^{cc} ἐν^{pd} καρδία^{ndfsc} αὐτός^{rpgms} ἐπιλανθάνομαι^{vixm1s} ὁ^{dnms} θεός^{nnmsc} ἀποστρέφω^{viaa3s} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgms} ὁ^{dgns} μή^{x} βλέπω^{vnpa} εἰς^{pa} τέλος^{nansc}. **v.33** ἀνίστημι^{vdaa2s} κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὑψόω^{vdap3s} ὁ^{dnfs} χείρ^{nnfsc} σύ^{rpgms} μή^{x} ἐπιλανθάνομαι^{vsam2s} ὁ^{dgmp} πένης^{ngmpc}. **v.34** ἕνεκα^{pg} τίς^{rqgns} παροξύνω^{viaa3s} ὁ^{dnms} ἀσεβής^{annmsn} ὁ^{dams} θεός^{namsc} λέγω^{viaa3s} γάρ^{cc} ἐν^{pd} καρδία^{ndfsc} αὐτός^{rpgms} οὐ^{b} ἐκζητέω^{vifa3s}.

36 ἐγκαταλέλειπται ὁ πτωχός ὀρφανῷ σὺ ἦσθα βοηθῶν. σύντριψον
τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ ζητηθήσεται ἡ ἁμαρ-
37 τία αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ δι᾽ αὐτήν. βασιλεύσει κύριος εἰς
τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ἀπολεῖσθε ἔθνη ἐκ τῆς
38 γῆς αὐτοῦ. τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσεν κύριος τὴν
39 ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχεν τὸ οὖς σου. κρῖναι ὀρ-
φανῷ καὶ ταπεινῷ ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος
ἐπὶ τῆς γῆς.

10 εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυιδ ἐπὶ τῷ κυρίῳ πέποιθα πῶς ἐρεῖτε
2 τῇ ψυχῇ μου μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον. ὅτι ἰδοὺ
οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον ἡτοίμασαν βέλη εἰς φαρέτραν τοῦ
3 κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. ὅτι ἃ κα-
4 τηρτίσω καθεῖλον ὁ δὲ δίκαιος τί ἐποίησεν. κύριος ἐν ναῷ ἁγίῳ
αὐτοῦ κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς
τὸν πένητα ἀποβλέπουσιν τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς
5 τῶν ἀνθρώπων. κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ ὁ δὲ
6 ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ἐπιβρέξει ἐπὶ ἁμαρτω-
λοὺς παγίδας πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ
7 ποτηρίου αὐτῶν. ὅτι δίκαιος κύριος καὶ δικαιοσύνας ἠγάπησεν
εὐθύτητα εἶδεν τὸ πρόσωπον αὐτοῦ.

11 εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυιδ. σῶσόν με

---

v.35 βλέπω^{vipa2s} ὅτι^{cs} σύ$^{rpn\text{-}s}$ πόνος^{namsc} καί^{cc} θυμός^{namsc} κατανοέω^{vipa2s} ὁ^{dgns} παραδίδωμι^{vnaa} αὐτός^{rpamp} εἰς^{pa} χείρ^{nafpc} σύ$^{rpg\text{-}s}$ σύ$^{rpd\text{-}s}$ οὖν^{cc} ἐγκαταλείπω^{vixp3s} ὁ^{dnms} πτωχός^{annmsn} ὀρφανός^{andmsn} σύ$^{rpn\text{-}s}$ εἰμί^{viia2s} βοηθέω^{vppanms}. **v.36** συντρίβω^{vdaa2s} ὁ^{dams} βραχίων^{namsc} ὁ^{dgms} ἁμαρτωλός^{angmsn} καί^{cc} πονηρός^{angmsn} ζητέω^{vifp3s} ὁ^{dnfs} ἁμαρτία^{nnfsc} αὐτός^{rpgms} καί^{cc} οὐ^{b} μή^{x} εὑρίσκω^{vsap3s} διά^{pa} αὐτός^{rpafs}. **v.37** βασιλεύω^{vifa3s} κύριος^{nnmsc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} καί^{cc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ὁ^{dgms} αἰών^{ngmsc} ἀπόλλυμι^{vifm2p} ἔθνος^{nvnpc} ἐκ^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} αὐτός^{rpgms}. **v.38** ὁ^{dafs} ἐπιθυμία^{nafsc} ὁ^{dgmp} πένης^{ngmpc} εἰσακούω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dafs} ἑτοιμασία^{nafsc} ὁ^{dgfs} καρδία^{ngfsc} αὐτός^{rpgmp} προσέχω^{viaa3s} ὁ^{dans} οὖς^{nansc} σύ$^{rpg\text{-}s}$. **v.39** κρίνω^{vnaa} ὀρφανός^{andmsn} καί^{cc} ταπεινός^{andmsn} ἵνα^{cs} μή^{x} προστίθημι^{vsaa3s} ἔτι^{b} ὁ^{dgns} μεγαλαυχέω^{vnpa} ἄνθρωπος^{nnmsc} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}. **10. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} ἐπί^{pd} ὁ^{ddms} κύριος^{ndmsc} πείθω^{vixa1s} πῶς^{b} λέγω^{vifa2p} ὁ^{ddfs} ψυχή^{ndfsc} ἐγώ^{rpgms} μεταναστεύω^{vdpm2s} ἐπί^{pa} ὁ^{danp} ὄρος^{nanpc} ὡς^{cs} στρουθίον^{nnnsc}. **v.2** ὅτι^{cs} ἰδού^{i} ὁ^{dnmp} ἁμαρτωλός^{annmpn} ἐντείνω^{viaa3p} τόξον^{nansc} ἑτοιμάζω^{viaa3p} βέλος^{nanpc} εἰς^{pa} φαρέτρα^{nafsc} ὁ^{dgns} κατατοξεύω^{vnaa} ἐν^{pd} σκοτομήνη^{ndfsc} ὁ^{damp} εὐθύς^{anampn} ὁ^{ddfs} καρδία^{ndfsc}. **v.3** ὅτι^{cs} ὅς^{rranp} καταρτίζω^{viam2s} καθαιρέω^{viaa3p} ὁ^{dnms} δέ^{cc} δίκαιος^{annmsn} τίς^{rqans} ποιέω^{viaa3s}. **v.4** κύριος^{nnmsc} ἐν^{pd} ναός^{ndmsc} ἅγιος^{andmsn} αὐτός^{rpgms} κύριος^{nnmsc} ἐν^{pd} οὐρανός^{ndmsc} ὁ^{dnms} θρόνος^{nnmsc} αὐτός^{rpgms} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} αὐτός^{rpgms} εἰς^{pa} ὁ^{dams} πένης^{namsc} ἀποβλέπω^{vipa3p} ὁ^{dnnp} βλέφαρον^{nnnpc} αὐτός^{rpgms} ἐξετάζω^{vipa3s} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgmp} ἄνθρωπος^{ngmpc}. **v.5** κύριος^{nnmsc} ἐξετάζω^{vipa3s} ὁ^{dams} δίκαιος^{anamsn} καί^{cc} ὁ^{dams} ἀσεβής^{anamsn} ὁ^{dnms} δέ^{cc} ἀγαπάω^{vppanms} ἀδικία^{nafsc} μισέω^{vipa3s} ὁ^{dafs} ἑαυτοῦ^{rxgms} ψυχή^{nafsc}. **v.6** ἐπιβρέχω^{vifa3s} ἐπί^{pa} ἁμαρτωλός^{anampn} παγίς^{nafpc} πῦρ^{nansc} καί^{cc} θεῖον^{nansc} καί^{cc} πνεῦμα^{nnnsc} καταιγίς^{ngfsc} ὁ^{dnfs} μερίς^{nnfsc} ὁ^{dgns} ποτήριον^{ngnsc} αὐτός^{rpgmp}. **v.7** ὅτι^{cs} δίκαιος^{annmsn} κύριος^{nnmsc} καί^{cc} δικαιοσύνη^{nafpc} ἀγαπάω^{viaa3s} εὐθύτης^{nafsc} ὁράω^{viaa3s} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgms}.

2

κύριε ὅτι ἐκλέλοιπεν ὅσιος ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν
υἱῶν τῶν ἀνθρώπων. μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον 3
αὐτοῦ χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησαν. ἐξολε- 4
θρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια καὶ γλῶσσαν μεγαλο-
ρήμονα. τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν τὰ 5
χείλη ἡμῶν παρ᾽ ἡμῶν ἐστιν τίς ἡμῶν κύριός ἐστιν. ἀπὸ τῆς τα- 6
λαιπωρίας τῶν πτωχῶν καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν
ἀναστήσομαι λέγει κύριος θήσομαι ἐν σωτηρίᾳ παρρησιάσομαι
ἐν αὐτῷ. τὰ λόγια κυρίου λόγια ἁγνά ἀργύριον πεπυρωμένον 7
δοκίμιον τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως. σύ κύριε φυλά- 8
ξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς
τὸν αἰῶνα. κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν κατὰ τὸ ὕψος σου 9
ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυιδ. ἕως πότε κύριε ἐπιλήσῃ μου **12**, 2
εἰς τέλος ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ. ἕως 3
τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου ὀδύνας ἐν καρδίᾳ μου ἡ-
μέρας ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ. ἐπίβλεψον 4
εἰσάκουσόν μου κύριε ὁ θεός μου φώτισον τοὺς ὀφθαλμούς μου
μήποτε ὑπνώσω εἰς θάνατον. μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυσα 5

---

11. v.1 εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pg} ὁ^{dgfs} ὄγδοος^{aogfsn} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** σῴζω^{vdaa2s} ἐγώ^{rpams} κύριος^{nvmsc} ὅτι^{cs} ἐκλείπω^{vixa3s} ὅσιος^{annmsn} ὅτι^{cs} ὀλιγόω^{viap3p} ὁ^{dnfp} ἀλήθεια^{nnfpc} ἀπό^{pg} ὁ^{dgmp} υἱός^{ngmpc} ὁ^{dgmp} ἄνθρωπος^{ngmpc}. **v.3** μάταιος^{ananpn} λαλέω^{viaa3s} ἕκαστος^{ainmsn} πρός^{pa} ὁ^{dams} πλησίον^{b} αὐτός^{rpgms} χεῖλος^{nnnpc} δόλιος^{annnpn} ἐν^{pd} καρδία^{ndfsc} καί^{cc} ἐν^{pd} καρδία^{ndfsc} λαλέω^{viaa3p}. **v.4** ἐξολεθρεύω^{voaa3s} κύριος^{nnmsc} πᾶς^{aianpn} ὁ^{danp} χεῖλος^{nanpc} ὁ^{danp} δόλιος^{ananpn} καί^{cc} γλῶσσα^{nafsc} μεγαλορρήμων^{anafsn}. **v.5** ὁ^{damp} λέγω^{vpaaamp} ὁ^{dafs} γλῶσσα^{nafsc} ἐγώ^{rpgmp} μεγαλύνω^{vifa1p} ὁ^{dnnp} χεῖλος^{nnnpc} ἐγώ^{rpgmp} παρά^{pg} ἐγώ^{rpgmp} εἰμί^{vipa3s} τίς^{rqnms} ἐγώ^{rpgmp} κύριος^{nnmsc} εἰμί^{vipa3s}. **v.6** ἀπό^{pg} ὁ^{dgfs} ταλαιπωρία^{ngfsc} ὁ^{dgmp} πτωχός^{angmpn} καί^{cc} ἀπό^{pg} ὁ^{dgms} στεναγμός^{ngmsc} ὁ^{dgmp} πένης^{ngmpc} νῦν^{b} ἀνίστημι^{vifm1s} λέγω^{vipa3s} κύριος^{nnmsc} τίθημι^{vifm1s} ἐν^{pd} σωτηρία^{ndfsc} παρρησιάζομαι^{vifm1s} ἐν^{pd} αὐτός^{rpdms}. **v.7** ὁ^{dnnp} λόγιον^{nnnpc} κύριος^{ngmsc} λόγιον^{nnnpc} ἀργύριον^{nnnsc} πυρόω^{vpxpnns} δοκίμιον^{nnnsc} ὁ^{ddfs} γῆ^{ndfsc} καθαρίζω^{vpxpnns} ἑπταπλασίως^{b}. **v.8** σύ^{rpnms} κύριος^{nvmsc} φυλάσσω^{vifa2s} ἐγώ^{rpamp} καί^{cc} διατηρέω^{vifa2s} ἐγώ^{rpamp} ἀπό^{pg} ὁ^{dgfs} γενεά^{ngfsc} οὗτος^{rdgfs} καί^{cc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.9** κύκλος^{b} ὁ^{dnmp} ἀσεβής^{annmpn} περιπατέω^{vipa3p} κατά^{pa} ὁ^{dans} ὕψος^{nansc} σύ^{rpgms} πολυωρέω^{viaa2s} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgmp} ἄνθρωπος^{ngmpc}. **12. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** ἕως$^{'bpp}$ πότε^{b} κύριος^{nvmsc} ἐπιλανθάνομαι^{vifm2s} ἐγώ^{rpgms} εἰς^{pa} τέλος^{nansc} ἕως$^{'bpp}$ πότε^{b} ἀποστρέφω^{vifa2s} ὁ^{dans} πρόσωπον^{nansc} σύ^{rpgms} ἀπό^{pg} ἐγώ^{rpgms}. **v.3** ἕως^{pg} τίς^{rqgns} τίθημι^{vifm1s} βουλή^{nafpc} ἐν^{pd} ψυχή^{ndfsc} ἐγώ^{rpgms} ὀδύνη^{nafpc} ἐν^{pd} καρδία^{ndfsc} ἐγώ^{rpgms} ἡμέρα^{ngfsc} ἕως$^{'bpp}$ πότε^{b} ὑψόω^{vifp3s} ὁ^{dnms} ἐχθρός^{annmsn} ἐγώ^{rpgms} ἐπί^{pa} ἐγώ^{rpams}. **v.4** ἐπιβλέπω^{vdaa2s} εἰσακούω^{vdaa2s} ἐγώ^{rpgms} κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ^{rpgms} φωτίζω^{vdaa2s} ὁ^{damp} ὀφθαλμός^{nampc} ἐγώ^{rpgms} μήποτε^{cs} ὑπνόω^{vsaa1s} εἰς^{pa} θάνατος^{namsc}.

6 πρὸς αὐτόν οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ. ἐγὼ δὲ
ἐπὶ τῷ ἐλέει σου ἤλπισα ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτη-
ρίῳ σου ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι
κυρίου τοῦ ὑψίστου.

13 εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυιδ εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ
οὐκ ἔστιν θεός διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν
2 οὐκ ἔστιν ποιῶν χρηστότητα οὐκ ἔστιν ἕως ἑνός. κύριος ἐκ τοῦ
οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστιν
3 συνίων ἢ ἐκζητῶν τὸν θεόν. πάντες ἐξέκλιναν ἅμα ἠχρεώθησαν
οὐκ ἔστιν ποιῶν χρηστότητα οὐκ ἔστιν ἕως ἑνός τάφος ἀνεῳγμέ-
νος ὁ λάρυγξ αὐτῶν ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν ἰὸς ἀσπίδων
ὑπὸ τὰ χείλη αὐτῶν ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει ὀξεῖς
οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς
ὁδοῖς αὐτῶν καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν οὐκ ἔστιν φόβος θεοῦ
4 ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. οὐχὶ γνώσονται πάντες οἱ ἐργα-
ζόμενοι τὴν ἀνομίαν οἱ κατεσθίοντες τὸν λαόν μου βρώσει ἄρτου
5 τὸν κύριον οὐκ ἐπεκαλέσαντο. ἐκεῖ ἐδειλίασαν φόβῳ οὗ οὐκ ἦν
6 φόβος ὅτι ὁ θεὸς ἐν γενεᾷ δικαίᾳ. βουλὴν πτωχοῦ κατῃσχύνατε
7 ὅτι κύριος ἐλπὶς αὐτοῦ ἐστιν. τίς δώσει ἐκ Σιων τὸ σωτήριον τοῦ
Ισραηλ ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ

---

v.5 μήποτε^{cs} λέγω^{vsaa3s} ὁ^{dnms} ἐχθρός^{annmsn} ἐγώ^{rpgms} ἰσχύω^{viaa1s} πρός^{pa} αὐτός^{rpams} ὁ^{dnmp} θλίβω^{vppanmp} ἐγώ^{rpams} ἀγαλλιάω^{vifm3p} ἐάν^{cs} σαλεύω^{vsap1s}. **v.6** ἐγώ^{rpnms} δέ^{cc} ἐπί^{pd} ὁ^{ddns} ἔλεος^{ndnsc} σύ^{rpgms} ἐλπίζω^{viaa1s} ἀγαλλιάω^{vifm3s} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ^{rpgms} ἐπί^{pd} ὁ^{ddns} σωτήριον^{ndnsc} σύ^{rpgms} ᾄδω^{vifa1s} ὁ^{ddms} κύριος^{ndmsc} ὁ^{ddms} εὐεργετέω^{vpaadms} ἐγώ^{rpams} καί^{cc} ψάλλω^{vifa1s} ὁ^{ddns} ὄνομα^{ndnsc} κύριος^{ngmsc} ὁ^{dgms} ὕψιστος^{angmsn}. **13. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} λέγω^{viaa3s} ἄφρων^{annmsn} ἐν^{pd} καρδία^{ndfsc} αὐτός^{rpgms} οὐ^{b} εἰμί^{vipa3s} θεός^{nnmsc} διαφθείρω^{viaa3p} καί^{cc} βδελύσσω^{viap3p} ἐν^{pd} ἐπιτήδευμα^{ndnpc} οὐ^{b} εἰμί^{vipa3s} ποιέω^{vppanms} χρηστότης^{nafsc} οὐ^{b} εἰμί^{vipa3s} ἕως^{pg} εἷς^{acgmsn}. **v.2** κύριος^{nnmsc} ἐκ^{pg} ὁ^{dgms} οὐρανός^{ngmsc} διακύπτω^{viaa3s} ἐπί^{pa} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgmp} ἄνθρωπος^{ngmpc} ὁ^{dgns} ὁράω^{vnaa} εἰ^{x} εἰμί^{vipa3s} συνίημι^{vppanms} ἤ^{cc} ἐκζητέω^{vppanms} ὁ^{dams} θεός^{namsc}. **v.3** πᾶς^{ainmpn} ἐκκλίνω^{viaa3p} ἅμα^{b} ἀχρειόω^{viap3p} οὐ^{b} εἰμί^{vipa3s} ποιέω^{vppanms} χρηστότης^{nafsc} οὐ^{b} εἰμί^{vipa3s} ἕως^{pg} εἷς^{acgmsn} τάφος^{nnmsc} ἀνοίγω^{vpxpnms} ὁ^{dnms} λάρυγξ^{nnmsc} αὐτός^{rpgmp} ὁ^{ddfp} γλῶσσα^{ndfpc} αὐτός^{rpgmp} δολιόω^{viia3p} ἰός^{nnmsc} ἀσπίς^{ngfpc} ὑπό^{pa} ὁ^{danp} χεῖλος^{nanpc} αὐτός^{rpgmp} ὅς^{rrgmp} ὁ^{dnns} στόμα^{nnnsc} ἀρά^{ngfsc} καί^{cc} πικρία^{ngfsc} γέμω^{vipa3s} ὀξύς^{annmpn} ὁ^{dnmp} πούς^{nnmpc} αὐτός^{rpgmp} ἐκχέω^{vnaa} αἷμα^{nansc} σύντριμμα^{nnnsc} καί^{cc} ταλαιπωρία^{nnfsc} ἐν^{pd} ὁ^{ddfp} ὁδός^{ndfpc} αὐτός^{rpgmp} καί^{cc} ὁδός^{nafsc} εἰρήνη^{ngfsc} οὐ^{b} γινώσκω^{viaa3p} οὐ^{b} εἰμί^{vipa3s} φόβος^{nnmsc} θεός^{ngmsc} ἀπέναντι^{pg} ὁ^{dgmp} ὀφθαλμός^{ngmpc} αὐτός^{rpgmp}. **v.4** οὐχί^{b} γινώσκω^{vifm3p} πᾶς^{ainmpn} ὁ^{dnmp} ἐργάζομαι^{vppmnmp} ὁ^{dafs} ἀνομία^{nafsc} ὁ^{dnmp} κατεσθίω^{vppanmp} ὁ^{dams} λαός^{namsc} ἐγώ^{rpgms} βρῶσις^{ndfsc} ἄρτος^{ngmsc} ὁ^{dams} κύριος^{namsc} οὐ^{b} ἐπικαλέω^{viam3p}. **v.5** ἐκεῖ^{b} δειλιάω^{viaa3p} φόβος^{ndmsc} ὅς^{b} οὐ^{b} εἰμί^{viia3s} φόβος^{nnmsc} ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} γενεά^{ndfsc} δίκαιος^{andfsn}. **v.6** βουλή^{nafsc} πτωχός^{angmsn} καταισχύνω^{viaa2p} ὅτι^{cs} κύριος^{nnmsc} ἐλπίς^{nnfsc} αὐτός^{rpgms} εἰμί^{vipa3s}.

ἀγαλλιάσθω Ιακωβ καὶ εὐφρανθήτω Ισραηλ.

ψαλμὸς τῷ Δαυιδ κύριε τίς παροικήσει ἐν τῷ σκηνώματί σου **14**
καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου. πορευόμενος ἄ- 2
μωμος καὶ ἐργαζόμενος δικαιοσύνην λαλῶν ἀλήθειαν ἐν καρδίᾳ
αὐτοῦ. ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ οὐδὲ ἐποίησεν τῷ 3
πλησίον αὐτοῦ κακὸν καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγι-
στα αὐτοῦ. ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος τοὺς δὲ 4
φοβουμένους κύριον δοξάζει ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ
ἀθετῶν. τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ καὶ δῶρα ἐπ' 5
ἀθῴοις οὐκ ἔλαβεν ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

στηλογραφία τῷ Δαυιδ φύλαξόν με κύριε ὅτι ἐπὶ σοὶ ἤλπισα. **15**
εἶπα τῷ κυρίῳ κύριός μου εἶ σύ ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν 2
ἔχεις. τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν πάντα τὰ 3
θελήματα αὐτοῦ ἐν αὐτοῖς. ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν 4
μετὰ ταῦτα ἐτάχυναν οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ
αἱμάτων οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.
κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου σὺ 5
εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. σχοινία ἐπέπεσάν 6
μοι ἐν τοῖς κρατίστοις καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί
ἐστιν. εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με ἔτι δὲ καὶ ἕως 7

---

v.7 τίς^{rqnms} δίδωμι^{vifa3s} ἐκ^{pg} Σιών^{ngfsp} ὁ^{dans} σωτήριον^{nansc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp} ἐν^{pd} ὁ^{ddns} ἐπιστρέφω^{vnaa} κύριος^{namsc} ὁ^{dafs} αἰχμαλωσία^{nafsc} ὁ^{dgms} λαός^{ngmsc} αὐτός^{rpgms} ἀγαλλιάω^{vdpm3s} Ἰακώβ^{nnmsp} καί^{cc} εὐφραίνω^{vdap3s} Ἰσραήλ^{nnmsp}. **14. v.1** ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} κύριος^{nvmsc} τίς^{rqnms} παροικέω^{vifa3s} ἐν^{pd} ὁ^{ddns} σκήνωμα^{ndnsc} σύ^{rpgms} καί^{cc} τίς^{rqnms} κατασκηνόω^{vifa3s} ἐν^{pd} ὁ^{ddns} ὄρος^{ndnsc} ὁ^{ddns} ἅγιος^{andnsn} σύ^{rpgms}. **v.2** πορεύομαι^{vppmnms} ἄμωμος^{annmsn} καί^{cc} ἐργάζομαι^{vppmnms} δικαιοσύνη^{nafsc} λαλέω^{vppanms} ἀλήθεια^{nafsc} ἐν^{pd} καρδία^{ndfsc} αὐτός^{rpgms}. **v.3** ὅς^{rrnms} οὐ^{b} δολόω^{viaa3s} ἐν^{pd} γλῶσσα^{ndfsc} αὐτός^{rpgms} οὐδέ^{cc} ποιέω^{viaa3s} ὁ^{ddms} πλησίον^{b} αὐτός^{rpgms} κακός^{anamsn} καί^{cc} ὀνειδισμός^{namsc} οὐ^{b} λαμβάνω^{viaa3s} ἐπί^{pa} ὁ^{damp} ἐγγύς^{pg} αὐτός^{rpgms}. **v.4** ἐξουδενόω^{vixp3s} ἐνώπιον^{pg} αὐτός^{rpgms} πονηρεύομαι^{vppmnms} ὁ^{damp} δέ^{cc} φοβέω^{vppmamp} κύριος^{namsc} δοξάζω^{vipa3s} ὁ^{dnms} ὄμνυμι^{vppanms} ὁ^{ddms} πλησίον^{b} αὐτός^{rpgms} καί^{cc} οὐ^{b} ἀθετέω^{vppanms}. **v.5** ὁ^{dans} ἀργύριον^{nansc} αὐτός^{rpgms} οὐ^{b} δίδωμι^{viaa3s} ἐπί^{pd} τόκος^{ndmsc} καί^{cc} δῶρον^{nanpc} ἐπί^{pd} ἀθῷος^{andmpn} οὐ^{b} λαμβάνω^{viaa3s} ὁ^{dnms} ποιέω^{vppanms} οὗτος^{rdanp} οὐ^{b} σαλεύω^{vifp3s} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **15. v.1** στηλογραφία^{nnfsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} φυλάσσω^{vdaa2s} ἐγώ^{rpams} κύριος^{nvmsc} ὅτι^{cs} ἐπί^{pd} σύ^{rpdms} ἐλπίζω^{viaa1s}. **v.2** λέγω^{viaa1s} ὁ^{ddms} κύριος^{ndmsc} κύριος^{nnmsc} ἐγώ^{rpgms} εἰμί^{vipa2s} σύ^{rpnms} ὅτι^{cs} ὁ^{dgnp} ἀγαθός^{angnpn} ἐγώ^{rpgms} οὐ^{b} χρεία^{nafsc} ἔχω^{vipa2s}. **v.3** ὁ^{ddmp} ἅγιος^{andmpn} ὁ^{ddmp} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} αὐτός^{rpgms} θαυμαστόω^{viaa3s} πᾶς^{aianpn} ὁ^{danp} θέλημα^{nanpc} αὐτός^{rpgms} ἐν^{pd} αὐτός^{rpdmp}. **v.4** πληθύνω^{viap3p} ὁ^{dnfp} ἀσθένεια^{nnfpc} αὐτός^{rpgmp} μετά^{pa} οὗτος^{rdanp} ταχύνω^{viaa3p} οὐ^{b} μή^{x} συνάγω^{vsaa1s} ὁ^{dafp} συναγωγή^{nafpc} αὐτός^{rpgmp} ἐκ^{pg} αἷμα^{ngnpc} οὐδέ^{cc} μή^{x} μιμνήσκομαι^{vsap1s} ὁ^{dgnp} ὄνομα^{ngnpc} αὐτός^{rpgmp} διά^{pg} χεῖλος^{ngnpc} ἐγώ^{rpgms}. **v.5** κύριος^{nnmsc} ὁ^{dnfs} μερίς^{nnfsc} ὁ^{dgfs} κληρονομία^{ngfsc} ἐγώ^{rpgms} καί^{cc} ὁ^{dgns} ποτήριον^{ngnsc} ἐγώ^{rpgms} σύ^{rpnms} εἰμί^{vipa2s} ὁ^{dnms} ἀποκαθιστάνω^{vppanms} ὁ^{dafs} κληρονομία^{nafsc} ἐγώ^{rpgms} ἐγώ^{rpdms}. **v.6** σχοινίον^{nnnpc} ἐπιπίπτω^{viaa3p} ἐγώ$^{rpd-s}$ ἐν^{pd} ὁ^{ddnp} ἀγαθός^{andnps} καί^{cc} γάρ^{cc} ὁ^{dnfs} κληρονομία^{nnfsc} ἐγώ$^{rpg-s}$ ἀγαθός^{annfss} ἐγώ$^{rpd-s}$ εἰμί^{vipa3s}.

8 νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. προωρώμην τὸν κύριον
ἐνώπιόν μου διὰ παντός ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ.
9 διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά
10 μου ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι. ὅτι οὐκ
ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην οὐδὲ δώσεις τὸν ὅσιόν
11 σου ἰδεῖν διαφθοράν. ἐγνώρισάς μοι ὁδοὺς ζωῆς πληρώσεις με
εὐφροσύνης μετὰ τοῦ προσώπου σου τερπνότητες ἐν τῇ δεξιᾷ σου
εἰς τέλος.

16 προσευχὴ τοῦ Δαυιδ εἰσάκουσον κύριε τῆς δικαιοσύνης μου
πρόσχες τῇ δεήσει μου ἐνώτισαι τῆς προσευχῆς μου οὐκ ἐν χεί-
2 λεσιν δολίοις. ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι οἱ ὀ-
3 φθαλμοί μου ἰδέτωσαν εὐθύτητας. ἐδοκίμασας τὴν καρδίαν μου
ἐπεσκέψω νυκτός ἐπύρωσάς με καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.
4 ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων διὰ τοὺς
5 λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. κατάρτι-
σαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου ἵνα μὴ σαλευθῶσιν τὰ
6 διαβήματά μου. ἐγὼ ἐκέκραξα ὅτι ἐπήκουσάς μου ὁ θεός κλῖνον
τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου. θαυμάστωσον
τὰ ἐλέη σου ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ ἐκ τῶν ἀνθεστηκό-
8 των τῇ δεξιᾷ σου. φύλαξόν με ὡς κόραν ὀφθαλμοῦ ἐν σκέπῃ
9 τῶν πτερύγων σου σκεπάσεις με. ἀπὸ προσώπου ἀσεβῶν τῶν

---

ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ ἕως οὗ παρέλθῃ ἡ ἀνομία.
κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον τὸν θεὸν τὸν εὐεργετή- 3
σαντά με. ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέν με ἔδωκεν εἰς 4
ὄνειδος τοὺς καταπατοῦντάς με διάψαλμα ἐξαπέστειλεν ὁ θεὸς τὸ
ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ. καὶ ἐρρύσατο τὴν ψυχήν 5
μου ἐκ μέσου σκύμνων ἐκοιμήθην τεταραγμένος υἱοὶ ἀνθρώπων
οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα
ὀξεῖα. ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ θεός καὶ ἐπὶ πᾶσαν τὴν γῆν 6
ἡ δόξα σου. παγίδα ἡτοίμασαν τοῖς ποσίν μου καὶ κατέκαμψαν 7
τὴν ψυχήν μου ὤρυξαν πρὸ προσώπου μου βόθρον καὶ ἐνέπεσαν
εἰς αὐτόν διάψαλμα. ἑτοίμη ἡ καρδία μου ὁ θεός ἑτοίμη ἡ καρ- 8
δία μου ᾄσομαι καὶ ψαλῶ. ἐξεγέρθητι ἡ δόξα μου ἐξεγέρθητι 9
ψαλτήριον καὶ κιθάρα ἐξεγερθήσομαι ὄρθρου. ἐξομολογήσομαί 10
σοι ἐν λαοῖς κύριε ψαλῶ σοι ἐν ἔθνεσιν. ὅτι ἐμεγαλύνθη ἕως 11
τῶν οὐρανῶν τὸ ἔλεός σου καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ θεός καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα 12
σου.

εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυιδ εἰς στηλογραφίαν. εἰ **57**, 2
ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε εὐθεῖα κρίνετε οἱ υἱοὶ τῶν ἀν-

---

56. v.1 εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} μή^{x} διαφθείρω^{vspa2s} ὁ^{ddms} Δαυίδ^{ndmsp} εἰς^{pa} στηλογραφία^{nafsc} ἐν^{pd} ὁ^{ddns} αὐτός^{rpams} ἀποδιδράσκω^{vnpa} ἀπό^{pg} πρόσωπον^{ngnsc} Σαούλ^{ngmsp} εἰς^{pa} ὁ^{dans} σπήλαιον^{nansc}. **v.2** ἐλεέω^{vdaa2s} ἐγώ$^{rpa-s}$ ὁ^{dnms} θεός^{nnmsc} ἐλεέω^{vdaa2s} ἐγώ$^{rpa-s}$ ὅτι^{cs} ἐπί^{pd} σύ$^{rpd-s}$ πείθω^{vixa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfs} σκιά^{ndfsc} ὁ^{dgfp} πτέρυξ^{ngfpc} σύ$^{rpg-s}$ ἐλπίζω^{vifa1s} ἕως^{pg} ὅς^{rrgns} παρέρχομαι^{vsaa3s} ὁ^{dnfs} ἀνομία^{nnfsc}. **v.3** κράζω^{vifm1s} πρός^{pa} ὁ^{dams} θεός^{namsc} ὁ^{dams} ὕψιστος^{anamsn} ὁ^{dams} θεός^{namsc} ὁ^{dams} εὐεργετέω^{vpaaams} ἐγώ$^{rpa-s}$. **v.4** ἐξαποστέλλω^{viaa3s} ἐκ^{pg} οὐρανός^{ngmsc} καί^{cc} σῴζω^{viaa3s} ἐγώ$^{rpa-s}$ δίδωμι^{viaa3s} εἰς^{pa} ὄνειδος^{nansc} ὁ^{damp} καταπατέω^{vppaamp} ἐγώ$^{rpa-s}$ διάψαλμα^{nnnsc} ἐξαποστέλλω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dans} ἔλεος^{nansc} αὐτός^{rpgms} καί^{cc} ὁ^{dafs} ἀλήθεια^{nafsc} αὐτός^{rpgms}. **v.5** καί^{cc} ῥύομαι^{viam3s} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg-s}$ ἐκ^{pg} μέσος^{angnsn} σκύμνος^{ngmpc} κοιμάομαι^{viap1s} ταράσσω^{vpxpnms} υἱός^{nnmpc} ἄνθρωπος^{ngmpc} ὁ^{dnmp} ὀδούς^{nnmpc} αὐτός^{rpgmp} ὅπλον^{nansc} καί^{cc} βέλος^{nanpc} καί^{cc} ὁ^{dnfs} γλῶσσα^{nnfsc} αὐτός^{rpgmp} μάχαιρα^{nnfsc} ὀξύς^{annfsn}. **v.6** ὑψόω^{vdap2s} ἐπί^{pa} ὁ^{damp} οὐρανός^{nampc} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} ἐπί^{pa} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dnfs} δόξα^{nnfsc} σύ$^{rpg-s}$. **v.7** παγίς^{nafsc} ἑτοιμάζω^{viaa3p} ὁ^{ddmp} πούς^{ndmpc} ἐγώ$^{rpg-s}$ καί^{cc} κατακάμπτω^{viaa3p} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg-s}$ ὀρύσσω^{viaa3p} πρό^{pg} πρόσωπον^{ngnsc} ἐγώ$^{rpg-s}$ βόθρος^{namsc} καί^{cc} ἐμπίπτω^{viaa3p} εἰς^{pa} αὐτός^{rpams} διάψαλμα^{nnnsc}. **v.8** ἕτοιμος^{annfsn} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnmsc} ἕτοιμος^{annfsn} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ ᾄδω^{vifm1s} καί^{cc} ψάλλω^{vifa1s}. **v.9** ἐξεγείρω^{vdap2s} ὁ^{dnfs} δόξα^{nnfsc} ἐγώ$^{rpg-s}$ ἐξεγείρω^{vdap2s} ψαλτήριον^{nnnsc} καί^{cc} κιθάρα^{nnfsc} ἐξεγείρω^{vifp1s} ὄρθρος^{ngmsc}. **v.10** ἐξομολογέω^{vifm1s} σύ$^{rpd-s}$ ἐν^{pd} λαός^{ndmpc} κύριος^{nvmsc} ψάλλω^{vifa1s} σύ$^{rpd-s}$ ἐν^{pd} ἔθνος^{ndnpc}. **v.11** ὅτι^{cs} μεγαλύνω^{viap3s} ἕως^{pg} ὁ^{dgmp} οὐρανός^{ngmpc} ὁ^{dnns} ἔλεος^{nnnsc} σύ$^{rpg-s}$ καί^{cc} ἕως^{pg} ὁ^{dgfp} νεφέλη^{ngfpc} ὁ^{dnfs} ἀλήθεια^{nnfsc} σύ$^{rpg-s}$. **v.12** ὑψόω^{vdap2s} ἐπί^{pa} ὁ^{damp} οὐρανός^{nampc} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} ἐπί^{pa} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dnfs} δόξα^{nnfsc} σύ$^{rpg-s}$. **57. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} μή^{x} διαφθείρω^{vspa2s} ὁ^{ddms} Δαυίδ^{ndmsp} εἰς^{pa} στηλογραφία^{nafsc}.

3 θρώπων. καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ ἁδικίαν
4 αἱ χεῖρες ὑμῶν συμπλέκουσιν. ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ
5 ἀπὸ μήτρας ἐπλανήθησαν ἀπὸ γαστρός ἐλάλησαν ψεύδη. Θυ-
μὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως ὡσεὶ ἀσπίδος κωφῆς καὶ
6 βυούσης τὰ ὦτα αὐτῆς. ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων
7 φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ. ὁ θεὸς συνέτριψεν
τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν τὰς μύλας τῶν λεόντων
8 συνέθλασεν κύριος. ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμε-
9 νον ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν. ὡσεὶ κηρὸς ὁ
τακεὶς ἀνταναιρεθήσονται ἐπέπεσε πῦρ καὶ οὐκ εἶδον τὸν ἥλιον.
10 πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον ὡσεὶ ζῶντας ὡ-
11 σεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς. εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ
ἐκδίκησιν ἀσεβῶν τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁ-
12 μαρτωλοῦ. καὶ ἐρεῖ ἄνθρωπος εἰ ἄρα ἔστιν καρπὸς τῷ δικαίῳ
ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

58 εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυιδ εἰς στηλογραφίαν ὁπότε
ἀπέστειλεν Σαουλ καὶ ἐφύλαξεν τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι
2 αὐτόν. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεός καὶ ἐκ τῶν ἐπανι-
3 στανομένων ἐπ᾽ ἐμὲ λύτρωσαί με. ῥῦσαί με ἐκ τῶν ἐργαζομένων
4 τὴν ἀνομίαν καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. ὅτι ἰδοὺ ἐθήρευ-
σαν τὴν ψυχήν μου ἐπέθεντο ἐπ᾽ ἐμὲ κραταιοί οὔτε ἡ ἀνομία μου

---

v.2 εἰ^{cs} ἀληθῶς^{b} ἄρα^{x} δικαιοσύνη^{nafsc} λαλέω^{vipa2p} εὐθύς^{annfsn} κρίνω^{vipa2p} ὁ^{dnmp} υἱός^{nnmpc} ὁ^{dgmp} ἄνθρωπος^{ngmpc}. **v.3** καί^{cc} γάρ^{cc} ἐν^{pd} καρδία^{ndfsc} ἀνομία^{ngfsc} ἐργάζομαι^{vipm2p} ἐν^{pd} ὁ^{ddfs} γῇ^{ndfsc} ἁδικία^{nafsc} ὁ^{dnfp} χείρ^{nnfpc} σύ$^{rpg-p}$ συμπλέκω^{vipa3p}. **v.4** ἀπαλλοτριόω^{viap3p} ὁ^{dnmp} ἁμαρτωλός^{annmpn} ἀπό^{pg} μήτρα^{ngfsc} πλανάω^{viap3p} ἀπό^{pg} γαστήρ^{ngfsc} λαλέω^{viaa3p} ψεῦδος^{nanpc}. **v.5** θυμός^{nnmsc} αὐτός^{rpdmp} κατά^{pa} ὁ^{dafs} ὁμοίωσις^{nafsc} ὁ^{dgms} ὄφις^{ngmsc} ὡσεί^{x} ἀσπίς^{ngfsc} κωφός^{angfsn} καί^{cc} βύω^{vppanfs} ὁ^{danp} οὖς^{nanpc} αὐτός^{rpgfs}. **v.6** ὅστις^{rrnfs} οὐ^{b} εἰσακούω^{vifm3s} φωνή^{nafsc} ἐπαείδω^{vppagmp} φάρμακος^{ngmsc} τέ^{cc} φαρμακεύω^{vpppgms} παρά^{pg} σοφός^{angmsn}. **v.7** ὁ^{dnms} θεός^{nnmsc} συντρίβω^{viaa3s} ὁ^{damp} ὀδούς^{nampc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddns} στόμα^{ndnsc} αὐτός^{rpgmp} ὁ^{dafp} μύλη^{nafpc} ὁ^{dgmp} λέων^{ngmpc} συνθλάω^{viaa3s} κύριος^{nnmsc}. **v.8** ἐξουδενόω^{vifp3p} ὡς^{cs} ὕδωρ^{nnnsc} διαπορεύομαι^{vppmnns} ἐντείνω^{vifa3s} ὁ^{dans} τόξον^{nansc} αὐτός^{rpgms} ἕως^{pg} ὅς^{rrgns} ἀσθενέω^{vifa3p}. **v.9** ὡσεί^{x} κηρός^{nnmsc} ὁ^{dnms} τήκω^{vpapnms} ἀνταναιρέω^{vifp3p} ἐπιπίπτω^{viaa3s} πῦρ^{nnnsc} καί^{cc} οὐ^{b} ὁράω^{viaa3p} ὁ^{dams} ἥλιος^{namsc}. **v.10** πρό^{pg} ὁ^{dgns} συνίημι^{vnpa} ὁ^{dafp} ἄκανθα^{nafpc} σύ$^{rpg-p}$ ὁ^{dafs} ῥάμνος^{nafsc} ὡσεί^{x} ζάω^{vppaamp} ὡσεί^{x} ἐν^{pd} ὀργή^{ndfsc} καταπίνω^{vifm3s} σύ$^{rpa-p}$. **v.11** εὐφραίνω^{vifp3s} δίκαιος^{annmsn} ὅταν^{cs} ὁράω^{vsaa3s} ἐκδίκησις^{nafsc} ἀσεβής^{angmpn} ὁ^{dafp} χείρ^{nafpc} αὐτός^{rpgms} νίπτω^{vifm3s} ἐν^{pd} ὁ^{ddns} αἷμα^{ndnsc} ὁ^{dgms} ἁμαρτωλός^{angmsn}. **v.12** καί^{cc} λέγω^{vifa3s} ἄνθρωπος^{nnmsc} εἰ^{cs} ἄρα^{x} εἰμί^{vipa3s} καρπός^{nnmsc} ὁ^{ddms} δίκαιος^{andmsn} ἄρα^{x} εἰμί^{vipa3s} ὁ^{dnms} θεός^{nnmsc} κρίνω^{vppanms} αὐτός^{rpamp} ἐν^{pd} ὁ^{ddfs} γῇ^{ndfsc}. **58. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} μή^{x} διαφθείρω^{vspa2s} ὁ^{ddms} Δαυίδ^{ndmsp} εἰς^{pa} στηλογραφία^{nafsc} ὁπότε^{cs} ἀποστέλλω^{viaa3s} Σαούλ^{nnmsp} καί^{cc} φυλάσσω^{viaa3s} ὁ^{dams} οἶκος^{namsc} αὐτός^{rpgms} ὁ^{dgns} θανατόω^{vnaa} αὐτός^{rpams}. **v.2** ἐξαιρέω^{vdam2s} ἐγώ^{rpams} ἐκ^{pg} ὁ^{dgmp} ἐχθρός^{angmpn} ἐγώ^{rpgms} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} ἐκ^{pg} ὁ^{dgmp} ἐπανίστημι^{vppmgmp} ἐπί^{pa} ἐγώ^{rpams} λυτρόω^{vdam2s} ἐγώ^{rpams}. **v.3** ῥύομαι^{vdam2s} ἐγώ$^{rpa-s}$ ἐκ^{pg} ὁ^{dgmp} ἐργάζομαι^{vppmgmp} ὁ^{dafs} ἀνομία^{nafsc} καί^{cc} ἐκ^{pg} ἀνήρ^{ngmpc} αἷμα^{ngnpc} σῴζω^{vdaa2s} ἐγώ$^{rpa-s}$.

οὔτε ἡ ἁμαρτία μου κύριε. ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυ- 5
ναν ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἰδέ. καὶ σύ κύριε ὁ θεὸς 6
τῶν δυνάμεων ὁ θεὸς Ισραηλ πρόσχες τοῦ ἐπισκέψασθαι πάντα
τὰ ἔθνη μὴ οἰκτιρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν
διάψαλμα. ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων 7
καὶ κυκλώσουσιν πόλιν. ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐ- 8
τῶν καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν ὅτι τίς ἤκουσεν. καὶ σύ 9
κύριε ἐκγελάσῃ αὐτούς ἐξουδενώσεις πάντα τὰ ἔθνη. τὸ κράτος 10
μου πρὸς σὲ φυλάξω ὅτι ὁ θεὸς ἀντιλήμπτωρ μου εἶ. ὁ θεός μου 11
τὸ ἔλεος αὐτοῦ προφθάσει με ὁ θεὸς δείξει μοι ἐν τοῖς ἐχθροῖς
μου. μὴ ἀποκτείνῃς αὐτούς μήποτε ἐπιλάθωνται τοῦ λαοῦ μου 12
διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου καὶ κατάγαγε αὐτούς ὁ
ὑπερασπιστής μου κύριε. ἁμαρτίαν στόματος αὐτῶν λόγον χει- 13
λέων αὐτῶν καὶ συλλημφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν καὶ
ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται συντέλειαι. ἐν ὀργῇ συν- 14
τελείας καὶ οὐ μὴ ὑπάρξωσιν καὶ γνώσονται ὅτι ὁ θεὸς δεσπόζει
τοῦ Ιακωβ τῶν περάτων τῆς γῆς διάψαλμα. ἐπιστρέψουσιν εἰς 15
ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων καὶ κυκλώσουσιν πόλιν. αὐ- 16
τοὶ διασκορπισθήσονται τοῦ φαγεῖν ἐὰν δὲ μὴ χορτασθῶσιν καὶ
γογγύσουσιν. ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου καὶ ἀγαλλιάσομαι 17
τὸ πρωὶ τὸ ἔλεός σου ὅτι ἐγενήθης ἀντιλήμπτωρ μου καὶ κατα-

---

v.4 ὅτι^{cs} ἰδού^{i} θηρεύω^{viaa3p} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg\text{-}s}$ ἐπιτίθημι^{viam3p} ἐπί^{pa} ἐγώ$^{rpa\text{-}s}$ κραταιός^{annmpn} οὔτε^{cc} ὁ^{dnfs} ἀνομία^{nnfsc} ἐγώ$^{rpg\text{-}s}$ οὔτε^{cc} ὁ^{dnfs} ἁμαρτία^{nnfsc} ἐγώ$^{rpg\text{-}s}$ κύριος^{nvmsc}. **v.5** ἄνευ^{pg} ἀνομία^{ngfsc} τρέχω$^{viaa1'sviaa3p}$ καί^{cc} κατευθύνω^{viaa3p} ἐξεγείρω^{vdap2s} εἰς^{pa} συνάντησις^{nafsc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} ὁράω^{vdaa2s}. **v.6** καί^{cc} σύ$^{rpn\text{-}s}$ κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} ὁ^{dnms} θεός^{nnmsc} Ισραηλ^{ngmsp} προσέχω^{vdaa2s} ὁ^{dgns} ἐπισκέπτομαι^{vnam} πᾶς^{aianpn} ὁ^{danp} ἔθνος^{nanpc} μή^{x} οἰκτίρω^{vsaa2s} πᾶς^{aiampn} ὁ^{damp} ἐργάζομαι^{vppmamp} ὁ^{dafs} ἀνομία^{nafsc} διάψαλμα^{nnnsc}. **v.7** ἐπιστρέφω^{vifa3p} εἰς^{pa} ἑσπέρα^{nafsc} καί^{cc} λιμώσσω^{vifa3p} ὡς^{cs} κύων^{nnmsc} καί^{cc} κυκλόω^{vifa3p} πόλις^{nafsc}. **v.8** ἰδού^{i} ἀποφθέγγομαι^{vifm3p} ἐν^{pd} ὁ^{ddns} στόμα^{ndnsc} αὐτός^{rpgmp} καί^{cc} ῥομφαία^{nnfsc} ἐν^{pd} ὁ^{ddnp} χεῖλος^{ndnpc} αὐτός^{rpgmp} ὅτι^{cs} τίς^{rqnms} ἀκούω^{viaa3s}. **v.9** καί^{cc} σύ$^{rpn\text{-}s}$ κύριος^{nvmsc} ἐκγελάω^{vifm2s} αὐτός^{rpamp} ἐξουδενόω^{vifa2s} πᾶς^{aianpn} ὁ^{danp} ἔθνος^{nanpc}. **v.10** ὁ^{dans} κράτος^{nansc} ἐγώ$^{rpg\text{-}s}$ πρός^{pa} σύ$^{rpa\text{-}s}$ φυλάσσω^{vifa1s} ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} ἀντιλήμπτωρ^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ εἰμί^{vipa2s}. **v.11** ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnms} ἔλεος^{nnnsc} αὐτός^{rpgms} προφθάνω^{vifa3s} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnms} θεός^{nnmsc} δείκνυμι^{vifa3s} ἐγώ$^{rpd\text{-}s}$ ἐν^{pd} ὁ^{ddmp} ἐχθρός^{andmpn} ἐγώ$^{rpg\text{-}s}$. **v.12** μή^{x} ἀποκτείνω^{vsaa2s} αὐτός^{rpamp} μήποτε^{cs} ἐπιλανθάνομαι^{vsam3p} ὁ^{dgms} λαός^{ngmsc} ἐγώ$^{rpg\text{-}s}$ διασκορπίζω^{vdaa2s} αὐτός^{rpamp} ἐν^{pd} ὁ^{ddfs} δύναμις^{ndfsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} κατάγω^{vdaa2s} αὐτός^{rpamp} ὁ^{dnms} ὑπερασπιστής^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ κύριος^{nvmsc}. **v.13** ἁμαρτία^{nafsc} στόμα^{ngnsc} αὐτός^{rpgmp} λόγος^{namsc} χεῖλος^{ngnpc} αὐτός^{rpgmp} καί^{cc} συλλαμβάνω^{vdap3p} ἐν^{pd} ὁ^{ddfs} ὑπερηφανία^{ndfsc} αὐτός^{rpgmp} καί^{cc} ἐκ^{pg} ἀρά^{ngfsc} καί^{cc} ψεῦδος^{ngnsc} διαγγέλλω^{vifp3p} συντέλεια^{nnfpc}. **v.14** ἐν^{pd} ὀργή^{ndfsc} συντέλεια^{ngfsc} καί^{cc} οὐ^{b} μή^{x} ὑπάρχω^{vsaa3p} καί^{cc} γινώσκω^{vifm3p} ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} δεσπόζω^{vipa3s} ὁ^{dgms} Ιακώβ^{ngmsp} ὁ^{dgnp} πέρας^{ngnpc} ὁ^{dgfs} γῆ^{ngfsc} διάψαλμα^{nnnsc}. **v.15** ἐπιστρέφω^{vifa3p} εἰς^{pa} ἑσπέρα^{nafsc} καί^{cc} λιμώσσω^{vifa3p} ὡς^{cs} κύων^{nnmsc} καί^{cc} κυκλόω^{vifa3p} πόλις^{nafsc}. **v.16** αὐτός^{rpnmp} διασκορπίζω^{vifp3p} ὁ^{dgns} ἐσθίω^{vnaa} ἐάν^{cs} δέ^{cc} μή^{x} χορτάζω^{vsap3p} καί^{cc} γογγύζω^{vifa3p}.

18 φυγὴ ἐν ἡμέρᾳ θλίψεώς μου. βοηθός μου σοὶ ψαλῶ ὅτι ὁ θεός
ἀντιλήμπτωρ μου εἶ ὁ θεός μου τὸ ἔλεός μου.
59 εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις ἔτι εἰς στηλογραφίαν τῷ
2 Δαυιδ εἰς διδαχήν. ὁπότε ἐνεπύρισεν τὴν Μεσοποταμίαν Συ-
ρίας καὶ τὴν Συρίαν Σωβα καὶ ἐπέστρεψεν Ιωαβ καὶ ἐπάταξεν τὴν
3 φάραγγα τῶν ἁλῶν δώδεκα χιλιάδας. ὁ θεός ἀπώσω ἡμᾶς καὶ
4 καθεῖλες ἡμᾶς ὠργίσθης καὶ οἰκτίρησας ἡμᾶς. συνέσεισας τὴν
γῆν καὶ συνετάραξας αὐτήν ἴασαι τὰ συντρίμματα αὐτῆς ὅτι ἐσα-
5 λεύθη. ἔδειξας τῷ λαῷ σου σκληρά ἐπότισας ἡμᾶς οἶνον κατα-
6 νύξεως. ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ
7 προσώπου τόξου διάψαλμα. ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου
8 σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου. ὁ θεὸς ἐλάλησεν ἐν τῷ
ἁγίῳ αὐτοῦ ἀγαλλιάσομαι καὶ διαμεριῶ Σικιμα καὶ τὴν κοιλάδα
9 τῶν σκηνῶν διαμετρήσω. ἐμός ἐστιν Γαλααδ καὶ ἐμός ἐστιν Μα-
νασση καὶ Εφραιμ κραταίωσις τῆς κεφαλῆς μου Ιουδας βασιλεύς
10 μου. Μωαβ λέβης τῆς ἐλπίδος μου ἐπὶ τὴν Ιδουμαίαν ἐκτενῶ
11 τὸ ὑπόδημά μου ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. τίς ἀπάξει με
12 εἰς πόλιν περιοχῆς τίς ὁδηγήσει με ἕως τῆς Ιδουμαίας. οὐχὶ
σύ ὁ θεός ὁ ἀπωσάμενος ἡμᾶς καὶ οὐκ ἐξελεύσῃ ὁ θεός ἐν ταῖς
13 δυνάμεσιν ἡμῶν. δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως καὶ ματαία σω-

---

v.17 ἐγώ$^{rpn\text{-}s}$ δέ^{cc} ᾄδω^{vifm1s} ὁ^{ddfs} δύναμις^{ndfsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} ἀγαλλιάω^{vifm1s} ὁ^{dans} πρωΐ^{b} ὁ^{dans} ἔλεος^{nansc} σύ$^{rpg\text{-}s}$ ὅτι^{cs} γίνομαι^{viap2s} ἀντιλήμπτωρ^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} καταφυγή^{nnfsc} ἐν^{pd} ἡμέρα^{ndfsc} θλῖψις^{ngfsc} ἐγώ$^{rpg\text{-}s}$. **v.18** βοηθός^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ σύ$^{rpd\text{-}s}$ ψάλλω^{vifa1s} ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} ἀντιλήμπτωρ^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ εἰμί^{vipa2s} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dnns} ἔλεος^{nnnsc} ἐγώ$^{rpg\text{-}s}$.
59. v.1 εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὁ^{ddnp} ἀλλοιόω^{vpfpdnp} ἔτι^{b} εἰς^{pa} στηλογραφία^{nafsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} εἰς^{pa} διδαχή^{nafsc}. **v.2** ὁπότε^{cs} ἐμπυρίζω^{viaa3s} ὁ^{dafs} Μεσοποταμία^{nafsp} Συρία^{ngfsp} καί^{cc} ὁ^{dafs} Συρία^{nafsp} Σωβα^{nafsp} καί^{cc} ἐπιστρέφω^{viaa3s} Ιωαβ^{nnmsp} καί^{cc} πατάσσω^{viaa3s} ὁ^{dafs} φάραγξ^{nafsc} ὁ^{dgmp} ἅλς^{ngmpc} δώδεκα$^{ac\text{—}n}$ χιλιάς^{nafpc}. **v.3** ὁ^{dnms} θεός^{nnmsc} ἀπωθέω^{viam2s} ἐγώ$^{rpa\text{-}p}$ καί^{cc} καθαιρέω^{viaa2s} ἐγώ$^{rpa\text{-}p}$ ὀργίζω^{viap2s} καί^{cc} οἰκτίρω^{viaa2s} ἐγώ$^{rpa\text{-}p}$. **v.4** συσσείω^{viaa2s} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} συνταράσσω^{viaa2s} αὐτός^{rpafs} ἰάομαι^{vdam2s} ὁ^{danp} σύντριμμα^{nanpc} αὐτός^{rpgfs} ὅτι^{cs} σαλεύω^{viap3s}. **v.5** δείκνυμι^{viaa2s} ὁ^{ddms} λαός^{ndmsc} σύ$^{rpg\text{-}s}$ σκληρός^{ananpn} ποτίζω^{viaa2s} ἐγώ$^{rpa\text{-}p}$ οἶνος^{namsc} κατάνυξις^{ngfsc}. **v.6** δίδωμι^{viaa2s} ὁ^{ddmp} φοβέω^{vppmdmp} σύ$^{rpa\text{-}s}$ σημείωσις^{nafsc} ὁ^{dgns} φεύγω^{vnaa} ἀπό^{pg} πρόσωπον^{ngnsc} τόξον^{ngnsc} διάψαλμα^{nnnsc}. **v.7** ὅπως^{cs} ἄν^{x} ῥύομαι^{vsap3p} ὁ^{dnmp} ἀγαπητός^{annmpn} σύ$^{rpg\text{-}s}$ σῴζω^{vdaa2s} ὁ^{ddfs} δεξιός^{andfsn} σύ$^{rpg\text{-}s}$ καί^{cc} ἐπακούω^{vdaa2s} ἐγώ$^{rpg\text{-}s}$. **v.8** ὁ^{dnms} θεός^{nnmsc} λαλέω^{viaa3s} ἐν^{pd} ὁ^{ddns} ἅγιος^{andnsn} αὐτός^{rpgms} ἀγαλλιάω^{vifm1s} καί^{cc} διαμερίζω^{vifa1s} Σικιμα^{nanpp} καί^{cc} ὁ^{dafs} κοιλάς^{nafsc} ὁ^{dgfp} σκηνή^{ngfpc} διαμετρέω^{vifa1s}. **v.9** ἐμός^{asnmsn} εἰμί^{vipa3s} Γαλαάδ^{nnmsp} καί^{cc} ἐμός^{asnmsn} εἰμί^{vipa3s} Μανασσῆ^{nnmsp} καί^{cc} Εφράιμ^{nnmsp} κραταίωσις^{nnfsc} ὁ^{dgfs} κεφαλή^{ngfsc} ἐγώ$^{rpg\text{-}s}$ Ἰούδας^{nnmsp} βασιλεύς^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$. **v.10** Μωαβ^{nnfsp} λέβης^{nnmsc} ὁ^{dgfs} ἐλπίς^{ngfsc} ἐγώ$^{rpg\text{-}s}$ ἐπί^{pa} ὁ^{dafs} Ἰδουμαία^{nafsp} ἐκτείνω^{vifa1s} ὁ^{dans} ὑπόδημα^{nansc} ἐγώ$^{rpg\text{-}s}$ ἐγώ$^{rpd\text{-}s}$ ἀλλόφυλος^{annmpn} ὑποτάσσω^{viap3p}. **v.11** τίς^{rqnms} ἀπάγω^{vifa3s} ἐγώ$^{rpa\text{-}s}$ εἰς^{pa} πόλις^{nafsc} περιοχή^{ngfsc} τίς^{rqnms} ὁδηγέω^{vifa3s} ἐγώ$^{rpa\text{-}s}$ ἕως^{pg} ὁ^{dgfs} Ἰδουμαία^{ngfsp}. **v.12** οὐχί^{b} σύ$^{rpn\text{-}s}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} ἀπωθέω^{vpamnms} ἐγώ$^{rpa\text{-}p}$ καί^{cc} οὐ^{b} ἐξέρχομαι^{vifm2s} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} ὁ^{ddfp} δύναμις^{ndfpc} ἐγώ$^{rpg\text{-}p}$.

τηρία ἀνθρώπου. ἐν δὲ τῷ θεῷ ποιήσομεν δύναμιν καὶ αὐτὸς 14
ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

εἰς τὸ τέλος ἐν ὕμνοις τῷ Δαυιδ. εἰσάκουσον ὁ θεός τῆς δε- **60**, 2
ήσεώς μου πρόσχες τῇ προσευχῇ μου. ἀπὸ τῶν περάτων τῆς 3
γῆς πρὸς σὲ ἐκέκραξα ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου ἐν πέ-
τρᾳ ὕψωσάς με. ὡδήγησάς με ὅτι ἐγενήθης ἐλπίς μου πύργος 4
ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. παροικήσω ἐν τῷ σκηνώματί 5
σου εἰς τοὺς αἰῶνας σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου
διάψαλμα. ὅτι σύ ὁ θεός εἰσήκουσας τῶν εὐχῶν μου ἔδωκας 6
κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου. ἡμέρας ἐφ' ἡ- 7
μέρας βασιλέως προσθήσεις ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ
γενεᾶς. διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ ἔλεος καὶ ἀ- 8
λήθειαν αὐτοῦ τίς ἐκζητήσει. οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς 9
τὸν αἰῶνα τοῦ αἰῶνος τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ
ἡμέρας.

εἰς τὸ τέλος ὑπὲρ Ιδιθουν ψαλμὸς τῷ Δαυιδ. οὐχὶ τῷ θεῷ ὑ- **61**, 2
ποταγήσεται ἡ ψυχή μου παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου. καὶ 3
γὰρ αὐτὸς θεός μου καὶ σωτήρ μου ἀντιλήμπτωρ μου οὐ μὴ σα-
λευθῶ ἐπὶ πλεῖον. ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον φονεύετε 4
πάντες ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὡσμένῳ. πλὴν τὴν τι- 5
μήν μου ἐβουλεύσαντο ἀπώσασθαι ἔδραμον ἐν ψεύδει τῷ στόματι

---

v.13 δίδωμι^{vdaa2s} ἐγώ$^{rpd-p}$ βοήθεια^{nafsc} ἐκ^{pg} θλῖψις^{ngfsc} καί^{cc} μάταιος^{annfsn} σωτηρία^{nnfsc} ἄνθρωπος^{ngmsc}. **v.14** ἐν^{pd} δέ^{cc} ὁ^{ddms} θεός^{ndmsc} ποιέω^{vifa1p} δύναμις^{nafsc} καί^{cc} αὐτός^{rpnms} ἐξουδενόω^{vifa3s} ὁ^{damp} θλίβω^{vppaamp} ἐγώ$^{rpa-p}$. **60. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ἐν^{pd} ὕμνος^{ndmpc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** εἰσακούω^{vdaa2s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfs} δέησις^{ngfsc} ἐγώ$^{rpg-s}$ προσέχω^{vdaa2s} ὁ^{ddfs} προσευχή^{ndfsc} ἐγώ$^{rpg-s}$. **v.3** ἀπό^{pg} ὁ^{dgnp} πέρας^{ngnpc} ὁ^{dgfs} γῆ^{ngfsc} πρός^{pa} σύ$^{rpa-s}$ κράζω^{viaa1s} ἐν^{pd} ὁ^{ddns} ἀκηδιάω^{vnaa} ὁ^{dafs} καρδία^{nafsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} πέτρα^{ndfsc} ὑψόω^{viaa2s} ἐγώ$^{rpa-s}$. **v.4** ὁδηγέω^{viaa2s} ἐγώ$^{rpa-s}$ ὅτι^{cs} γίνομαι^{viap2s} ἐλπίς^{nnfsc} ἐγώ$^{rpg-s}$ πύργος^{nnmsc} ἰσχύς^{ngfsc} ἀπό^{pg} πρόσωπον^{ngnsc} ἐχθρός^{angmsn}. **v.5** παροικέω^{vifa1s} ἐν^{pd} ὁ^{ddns} σκήνωμα^{ndnsc} σύ$^{rpg-s}$ εἰς^{pa} ὁ^{damp} αἰών^{nampc} σκεπάζω^{vifp1s} ἐν^{pd} σκέπη^{ndfsc} ὁ^{dgfp} πτέρυξ^{ngfpc} σύ$^{rpg-s}$ διάψαλμα^{nnnsc}. **v.6** ὅτι^{cs} σύ$^{rpn-s}$ ὁ^{dnms} θεός^{nnmsc} εἰσακούω^{viaa2s} ὁ^{dgfp} εὐχή^{ngfpc} ἐγώ$^{rpg-s}$ δίδωμι^{viaa2s} κληρονομία^{nafsc} ὁ^{ddmp} φοβέω^{vppmdmp} ὁ^{dans} ὄνομα^{nansc} σύ$^{rpg-s}$. **v.7** ἡμέρα^{nafpc} ἐπί^{pa} ἡμέρα^{nafpc} βασιλεύς^{ngmsc} προστίθημι^{vifa2s} ἔτος^{nnnpc} αὐτός^{rpgms} ἕως^{pg} ἡμέρα^{ngfsc} γενεά^{ngfsc} καί^{cc} γενεά^{ngfsc}. **v.8** διαμένω^{vifa3s} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ἐνώπιον^{pg} ὁ^{dgms} θεός^{ngmsc} ἔλεος^{nansc} καί^{cc} ἀλήθεια^{nafsc} αὐτός^{rpgms} τίς^{rqnms} ἐκζητέω^{vifa3s}. **v.9** οὕτως^{b} ψάλλω^{vifa1s} ὁ^{ddns} ὄνομα^{ndnsc} σύ$^{rpg-s}$ εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ὁ^{dgms} αἰών^{ngmsc} ὁ^{dgns} ἀποδίδωμι^{vnaa} ἐγώ$^{rpa-s}$ ὁ^{dafp} εὐχή^{nafpc} ἐγώ$^{rpg-s}$ ἡμέρα^{nafsc} ἐκ^{pg} ἡμέρα^{ngfsc}. **61. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pa} Ιδιθουν^{na-sp} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** οὐχί^{b} ὁ^{ddms} θεός^{ndmsc} ὑποτάσσω^{vifp3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ παρά^{pg} αὐτός^{rpgms} γάρ^{cc} ὁ^{dnns} σωτήριον^{nnnsc} ἐγώ$^{rpg-s}$. **v.3** καί^{cc} γάρ^{cc} αὐτός^{rpnms} θεός^{nnmsc} ἐγώ$^{rpg-s}$ καί^{cc} σωτήρ^{nnmsc} ἐγώ$^{rpg-s}$ ἀντιλήμπτωρ^{nnmsc} ἐγώ$^{rpg-s}$ οὐ^{b} μή^{x} σαλεύω^{vsap1s} ἐπί^{pa} πολύς^{ananc}. **v.4** ἕως^{bpp} πότε^{b} ἐπιτίθημι^{vipm2p} ἐπί^{pa} ἄνθρωπος^{namsc} φονεύω^{vipa2p} πᾶς^{ainmpn} ὡς^{cs} τοῖχος^{ndmsc} κλίνω^{vpxpdms} καί^{cc} φραγμός^{ndmsc} ὠθέω^{vpxpdms}.

αὐτῶν εὐλογοῦσαν καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο διάψαλμα.
6 πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή
7 μου. ὅτι αὐτὸς θεός μου καὶ σωτήρ μου ἀντιλήμπτωρ μου οὐ
8 μὴ μεταναστεύσω. ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου ὁ
9 θεὸς τῆς βοηθείας μου καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ. ἐλπίσατε ἐπ'
αὐτόν πᾶσα συναγωγὴ λαοῦ ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας
10 ὑμῶν ὁ θεὸς βοηθὸς ἡμῶν διάψαλμα. πλὴν μάταιοι οἱ υἱοὶ τῶν
ἀνθρώπων ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆ-
11 σαι αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν
καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε πλοῦτος ἐὰν ῥέῃ μὴ προσπίθε-
12, 13 σθε καρδίαν. ἅπαξ ἐλάλησεν ὁ θεός δύο ταῦτα ἤκουσα. ὅτι τὸ
κράτος τοῦ θεοῦ καὶ σοί κύριε τὸ ἔλεος ὅτι σὺ ἀποδώσεις ἑκάστῳ
κατὰ τὰ ἔργα αὐτοῦ.

62 ψαλμὸς τῷ Δαυιδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ιουδαίας.
2 ὁ θεὸς ὁ θεός μου πρὸς σὲ ὀρθρίζω ἐδίψησέν σοι ἡ ψυχή μου
ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
3 οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν
4 δόξαν σου. ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς τὰ χείλη μου ἐ-
5 παινέσουσίν σε. οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου ἐν τῷ ὀνόματί
6 σου ἀρῶ τὰς χεῖράς μου. ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη

---

v.5 πλήν^{b} ὁ^{dafs} τιμή^{nafsc} ἐγώ$^{rpg-s}$ βουλεύω^{viam3p} ἀπωθέω^{vnam} τρέχω^{viaa3p} ἐν^{pd} ψεῦδος^{ndnsc} ὁ^{ddns} στόμα^{ndnsc} αὐτός^{rpgmp} εὐλογέω^{viia3p} καί^{cc} ὁ^{ddfs} καρδία^{ndfsc} αὐτός^{rpgmp} καταράομαι^{viim3p} διάψαλμα^{nnnsc}. **v.6** πλήν^{b} ὁ^{ddms} θεός^{ndmsc} ὑποτάσσω^{vdap2s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ ὅτι^{cs} παρά^{pg} αὐτός^{rpgms} ὁ^{dnfs} ὑπομονή^{nnfsc} ἐγώ$^{rpg-s}$. **v.7** ὅτι^{cs} αὐτός^{rpnms} θεός^{nnmsc} ἐγώ$^{rpg-s}$ καί^{cc} σωτήρ^{nnmsc} ἐγώ$^{rpg-s}$ ἀντιλήμπτωρ^{nnmsc} ἐγώ$^{rpg-s}$ οὐ^{b} μή^{x} μεταναστεύω^{vifa1s}. **v.8** ἐπί^{pd} ὁ^{ddms} θεός^{ndmsc} ὁ^{dnns} σωτήριον^{nnnsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnfs} δόξα^{nnfsc} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfs} βοήθεια^{ngfsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnfs} ἐλπίς^{nnfsc} ἐγώ$^{rpg-s}$ ἐπί^{pd} ὁ^{ddms} θεός^{ndmsc}. **v.9** ἐλπίζω^{vdaa2p} ἐπί^{pa} αὐτός^{rpams} πᾶς^{ainfsn} συναγωγή^{nnfsc} λαός^{ngmsc} ἐκχέω^{vdpa2p} ἐνώπιον^{pg} αὐτός^{rpgms} ὁ^{dafp} καρδία^{nafpc} σύ$^{rpg-p}$ ὁ^{dnms} θεός^{nnmsc} βοηθός^{nnmsc} ἐγώ$^{rpg-p}$ διάψαλμα^{nnnsc}. **v.10** πλήν^{b} μάταιος^{annnmpn} ὁ^{dnmp} υἱός^{nnmpc} ὁ^{dgmp} ἄνθρωπος^{ngmpc} ψευδής^{annnmpn} ὁ^{dnmp} υἱός^{nnmpc} ὁ^{dgmp} ἄνθρωπος^{ngmpc} ἐν^{pd} ζυγός^{ndmpc} ὁ^{dgns} ἀδικέω^{vnaa} αὐτός^{rpnmp} ἐκ^{pg} ματαιότης^{ngfsc} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rtans}. **v.11** μή^{x} ἐλπίζω^{vipa2p} ἐπί^{pa} ἀδικία^{nafsc} καί^{cc} ἐπί^{pa} ἅρπαγμα^{nansc} μή^{x} ἐπιποθέω^{vipa2p} πλοῦτος^{nnmsc} ἐάν^{cs} ῥέω^{vspa3s} μή^{x} προστίθημι^{vdpm2p} καρδία^{nafsc}. **v.12** ἅπαξ^{b} λαλέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} δύο^{ac-n} οὗτος^{rdanp} ἀκούω^{viaa1s}. **v.13** ὅτι^{cs} ὁ^{dnns} κράτος^{nnnsc} ὁ^{dgms} θεός^{ngmsc} καί^{cc} σύ^{rpdms} κύριος^{nvmsc} ὁ^{dnns} ἔλεος^{nnnsc} ὅτι^{cs} σύ^{rpnms} ἀποδίδωμι^{vifa2s} ἕκαστος^{aidmsn} κατά^{pa} ὁ^{danp} ἔργον^{nanpc} αὐτός^{rpgms}. **62. v.1** ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} ἐν^{pd} ὁ^{ddns} εἰμί^{vnpa} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddfs} ἔρημος^{ndfsc} ὁ^{dgfs} Ἰουδαία^{ngfsp}. **v.2** ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-s}$ πρός^{pa} σύ^{rpams} ὀρθρίζω^{vipa1s} διψάω^{viaa3s} σύ^{rpdms} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ ποσαπλῶς^{b} σύ$^{rpd-s}$ ὁ^{dnfs} σάρξ^{nnfsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} γῆ^{ndfsc} ἔρημος^{andfsn} καί^{cc} ἄβατος^{andfsn} καί^{cc} ἄνυδρος^{andfsn}. **v.3** οὕτως^{b} ἐν^{pd} ὁ^{ddns} ἅγιος^{andnsn} ὁράω^{viap1s} σύ$^{rpd-s}$ ὁ^{dgns} ὁράω^{vnaa} ὁ^{dafs} δύναμις^{nafsc} σύ$^{rpg-s}$ καί^{cc} ὁ^{dafs} δόξα^{nafsc} σύ$^{rpg-s}$. **v.4** ὅτι^{cs} ἀγαθός^{annnsc} ὁ^{dnns} ἔλεος^{nnnsc} σύ$^{rpg-s}$ ὑπέρ^{pa} ζωή^{nafpc} ὁ^{dnnp} χεῖλος^{nnnpc} ἐγώ$^{rpg-s}$ ἐπαινέω^{vifa3p} σύ$^{rpa-s}$. **v.5** οὕτως^{b} εὐλογέω^{vifa1s} σύ^{rpams} ἐν^{pd} ὁ^{ddfs} ζωή^{ndfsc} ἐγώ^{rpgms} ἐν^{pd} ὁ^{ddns} ὄνομα^{ndnsc} σύ^{rpgms} αἴρω^{vifa1s} ὁ^{dafp} χείρ^{nafpc} ἐγώ^{rpgms}.

ἡ ψυχή μου καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. εἰ ἐ- 7
μνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου ἐν τοῖς ὄρθροις ἐμελέτων
εἰς σέ. ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων 8
σου ἀγαλλιάσομαι. ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου ἐμοῦ ἀν- 9
τελάβετο ἡ δεξιά σου. αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν 10
μου εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς. παραδοθήσονται 11
εἰς χεῖρας ῥομφαίας μερίδες ἀλωπέκων ἔσονται. ὁ δὲ βασιλεὺς 12
εὐφρανθήσεται ἐπὶ τῷ θεῷ ἐπαινεσθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ
ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυιδ. εἰσάκουσον ὁ θεός τῆς φω- **63**, 2
νῆς μου ἐν τῷ δέεσθαί με ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν
μου. ἐσκέπασάς με ἀπὸ συστροφῆς πονηρευομένων ἀπὸ πλή- 3
θους ἐργαζομένων τὴν ἀνομίαν. οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν 4
τὰς γλώσσας αὐτῶν ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρόν. τοῦ 5
κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον ἐξάπινα κατατοξεύσουσιν
αὐτὸν καὶ οὐ φοβηθήσονται. ἐκραταίωσαν ἑαυτοῖς λόγον πο- 6
νηρόν διηγήσαντο τοῦ κρύψαι παγίδας εἶπαν τίς ὄψεται αὐτούς.
ἐξηρεύνησαν ἀνομίας ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσει προσε- 7
λεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα. καὶ ὑψωθήσεται ὁ θεός 8
βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν. καὶ ἐξησθένησαν 9
ἐπ᾽ αὐτοὺς αἱ γλῶσσαι αὐτῶν ἐταράχθησαν πάντες οἱ θεωροῦντες

---

v.6 ὡσεί^{x} στέαρ^{ngnsc} καί^{cc} πιότης^{ngfsc} ἐμπίπλημι^{voap3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ καί^{cc} χεῖλος^{nnnpc} ἀγαλλίασις^{ngfsc} αἰνέω^{vifa3s} ὁ^{dnns} στόμα^{nnnsc} ἐγώ$^{rpg-s}$. **v.7** εἰ^{cs} μνημονεύω^{viia1s} σύ$^{rpg-s}$ ἐπί^{pg} ὁ^{dgfs} στρωμνή^{ngfsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddmp} ὄρθρος^{ndmpc} μελετάω^{viia1s} εἰς^{pa} σύ$^{rpa-s}$. **v.8** ὅτι^{cs} γίνομαι^{viap2s} βοηθός^{nnmsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddfs} σκέπη^{ndfsc} ὁ^{dgfp} πτέρυξ^{ngfpc} σύ$^{rpg-s}$ ἀγαλλιάω^{vifm1s}. **v.9** κολλάω^{viap3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ ὀπίσω^{pg} σύ$^{rpg-s}$ ἐγώ$^{rpg-s}$ ἀντιλαμβάνομαι^{viam3s} ὁ^{dnfs} δεξιός^{annfsn} σύ$^{rpg-s}$. **v.10** αὐτός^{rpnmp} δέ^{cc} εἰς^{pp} μάτην^{b} ζητέω^{viaa3p} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg-s}$ εἰσέρχομαι^{vifm3p} εἰς^{pa} ὁ^{danp} κατώτατος^{ananps} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.11** παραδίδωμι^{vifp3p} εἰς^{pa} χείρ^{nafpc} ῥομφαία^{ngfsc} μερίς^{nnfpc} ἀλώπηξ^{ngfpc} εἰμί^{vifm3p}. **v.12** ὁ^{dnms} δέ^{cc} βασιλεύς^{nnmsc} εὐφραίνω^{vifp3s} ἐπί^{pd} ὁ^{ddms} θεός^{ndmsc} ἐπαινέω^{vifp3s} πᾶς^{ainmsn} ὁ^{dnms} ὄμνυμι^{vppanms} ἐν^{pd} αὐτός^{rpdms} ὅτι^{cs} ἐμφράσσω^{viap3s} στόμα^{nnnsc} λαλέω^{vppagmp} ἄδικος^{ananpn}. **63. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp}. **v.2** εἰσακούω^{vdaa2s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfs} φωνή^{ngfsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddns} δέομαι^{vnpm} ἐγώ$^{rpa-s}$ ἀπό^{pg} φόβος^{ngmsc} ἐχθρός^{angmsn} ἐξαιρέω^{vdam2s} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg-s}$. **v.3** σκεπάζω^{viaa2s} ἐγώ$^{rpa-s}$ ἀπό^{pg} συστροφή^{ngfsc} πονηρεύομαι^{vppmgmp} ἀπό^{pg} πλῆθος^{ngnsc} ἐργάζομαι^{vppmgmp} ὁ^{dafs} ἀνομία^{nafsc}. **v.4** ὅστις^{rrnmp} ἀκονάω^{viaa3p} ὡς^{cs} ῥομφαία^{nafsc} ὁ^{dafp} γλῶσσα^{nafpc} αὐτός^{rpgmp} ἐντείνω^{viaa3p} τόξον^{nansc} αὐτός^{rpgmp} πρᾶγμα^{nansc} πικρός^{anansn}. **v.5** ὁ^{dgns} κατατοξεύω^{vnaa} ἐν^{pd} ἀπόκρυφος^{andnpn} ἄμωμος^{anamsn} ἐξάπινα^{b} κατατοξεύω^{vifa3p} αὐτός^{rpams} καί^{cc} οὐ^{b} φοβέω^{vifp3p}. **v.6** κραταιόω^{viaa3p} ἑαυτοῦ^{rxdmp} λόγος^{namsc} πονηρός^{anamsn} διηγέομαι^{viam3p} ὁ^{dgns} κρύπτω^{vnaa} παγίς^{nafpc} λέγω^{viaa3p} τίς^{rqnms} ὁράω^{vifm3s} αὐτός^{rpamp}. **v.7** ἐξερευνάω^{viaa3p} ἀνομία^{nafpc} ἐκλείπω^{viaa3p} ἐξερευνάω^{vppanmp} ἐξερεύνησις^{ndfsc} προσέρχομαι^{vifm3s} ἄνθρωπος^{nnmsc} καί^{cc} καρδία^{nnfsc} βαθύς^{annfsn}. **v.8** καί^{cc} ὑψόω^{vifp3s} ὁ^{dnms} θεός^{nnmsc} βέλος^{nnnsc} νήπιος^{angmpn} γίνομαι^{viap3p} ὁ^{dnfp} πληγή^{nnfpc} αὐτός^{rpgmp}.

10 αὐτούς. καὶ ἐφοβήθη πᾶς ἄνθρωπος καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ
11 θεοῦ καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν. εὐφρανθήσεται δίκαιος
ἐπὶ τῷ κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν καὶ ἐπαινεσθήσονται πάντες οἱ
εὐθεῖς τῇ καρδίᾳ.

64 εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυιδ ᾠδή Ιερεμιου καὶ Ιεζεκιηλ ἐκ
2 τοῦ λόγου τῆς παροικίας ὅτε ἔμελλον ἐκπορεύεσθαι. σοὶ πρέπει
ὕμνος ὁ θεός ἐν Σιων καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ιερουσαλημ.
3, 4 εἰσάκουσον προσευχῆς μου πρὸς σὲ πᾶσα σὰρξ ἥξει. λόγοι ἀ-
νομιῶν ὑπερεδυνάμωσαν ἡμᾶς καὶ τὰς ἀσεβείας ἡμῶν σὺ ἱλάσῃ.
5 μακάριος ὃν ἐξελέξω καὶ προσελάβου κατασκηνώσει ἐν ταῖς αὐ-
λαῖς σου πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου ἅγιος ὁ
6 ναός σου θαυμαστὸς ἐν δικαιοσύνῃ. ἐπάκουσον ἡμῶν ὁ θεὸς ὁ
σωτὴρ ἡμῶν ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ ἐν θαλάσσῃ
7 μακράν. ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι αὐτοῦ περιεζωσμένος ἐν δυ-
8 ναστείᾳ. ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης ἦχους κυμάτων
9 αὐτῆς ταραχθήσονται τὰ ἔθνη. καὶ φοβηθήσονται οἱ κατοικοῦν-
τες τὰ πέρατα ἀπὸ τῶν σημείων σου ἐξόδους πρωίας καὶ ἑσπέρας
10 τέρψεις. ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτὴν ἐπλήθυνας τοῦ
πλουτίσαι αὐτήν ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων ἡτοίμα-
11 σας τὴν τροφὴν αὐτῶν ὅτι οὕτως ἡ ἑτοιμασία σου. τοὺς αὐλακας
αὐτῆς μέθυσον πλήθυνον τὰ γενήματα αὐτῆς ἐν ταῖς σταγόσιν αὐ-

---

v.9 καί^{cc} ἐξασθενέω^{viaa3p} ἐπί^{pa} αὐτός^{rpamp} ὁ^{dnfp} γλῶσσα^{nnfpc} αὐτός^{rpgmp} ταράσσω^{viap3p} πᾶς^{ainmpn} ὁ^{dnmp} θεωρέω^{vppanmp} αὐτός^{rpamp}. **v.10** καί^{cc} φοβέω^{viap3s} πᾶς^{ainmsn} ἄνθρωπος^{nnmsc} καί^{cc} ἀναγγέλλω^{viaa3p} ὁ^{danp} ἔργον^{nanpc} ὁ^{dgms} θεός^{ngmsc} καί^{cc} ὁ^{danp} ποίημα^{nanpc} αὐτός^{rpgms} συνίημι^{viaa3p}. **v.11** εὐφραίνω^{vifp3s} δίκαιος^{annmsn} ἐπί^{pd} ὁ^{ddms} κύριος^{ndmsc} καί^{cc} ἐλπίζω^{vifa3s} ἐπί^{pa} αὐτός^{rpams} καί^{cc} ἐπαινέω^{vifp3p} πᾶς^{ainmpn} ὁ^{dnmp} εὐθύς^{annmpn} ὁ^{ddfs} καρδία^{ndfsc}. **64. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ψαλμός^{nnmsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} ᾠδή^{nnfsc} Ἰερεμίας^{ngmsp} καί^{cc} Ιεζεκιηλ^{ngmsp} ἐκ^{pg} ὁ^{dgms} λόγος^{ngmsc} ὁ^{dgfs} παροικία^{ngfsc} ὅτε^{cs} μέλλω^{viia3p} ἐκπορεύομαι^{vnpm}. **v.2** σύ^{rpdms} πρέπω^{vipa3s} ὕμνος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} Σιών^{ndfsp} καί^{cc} σύ^{rpdms} ἀποδίδωμι^{vifp3s} εὐχή^{nnfsc} ἐν^{pd} Ἰερουσαλήμ^{ndfsp}. **v.3** εἰσακούω^{vdaa2s} προσευχή^{ngfsc} ἐγώ$^{rpg-s}$ πρός^{pa} σύ$^{rpa-s}$ πᾶς^{ainfsn} σάρξ^{nnfsc} ἥκω^{vifa3s}. **v.4** λόγος^{nnmpc} ἀνομία^{ngfpc} ὑπερδυναμόω^{viaa3p} ἐγώ$^{rpa-p}$ καί^{cc} ὁ^{dafp} ἀσέβεια^{nafpc} ἐγώ$^{rpg-p}$ σύ$^{rpn-s}$ ἱλάσκομαι^{vifm2s}. **v.5** μακάριος^{annmsn} ὅς^{rrams} ἐκλέγω^{viam2s} καί^{cc} προσλαμβάνω^{viam2s} κατασκηνόω^{vifa3s} ἐν^{pd} ὁ^{ddfp} αὐλή^{ndfpc} σύ$^{rpg-s}$ πίμπλημι^{vifp1p} ἐν^{pd} ὁ^{ddnp} ἀγαθός^{andnpn} ὁ^{dgms} οἶκος^{ngmsc} σύ$^{rpg-s}$ ἅγιος^{annmsn} ὁ^{dnms} ναός^{nnmsc} σύ$^{rpg-s}$ θαυμαστός^{annmsn} ἐν^{pd} δικαιοσύνη^{ndfsc}. **v.6** ἐπακούω^{vdaa2s} ἐγώ$^{rpg-p}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} σωτήρ^{nnmsc} ἐγώ$^{rpg-p}$ ὁ^{dnfs} ἐλπίς^{nnfsc} πᾶς^{aignpn} ὁ^{dgnp} πέρας^{ngnpc} ὁ^{dgfs} γῆ^{ngfsc} καί^{cc} ἐν^{pd} θάλασσα^{ndfsc} μακράν^{b}. **v.7** ἑτοιμάζω^{vppanms} ὄρος^{nanpc} ἐν^{pd} ὁ^{ddfs} ἰσχύς^{ndfsc} αὐτός^{rpgms} περιζώννυμι^{vpxpnms} ἐν^{pd} δυναστεία^{ndfsc}. **v.8** ὁ^{dnms} συνταράσσω^{vppanms} ὁ^{dans} κύτος^{nansc} ὁ^{dgfs} θάλασσα^{ngfsc} ἦχος^{nampc} κῦμα^{ngnpc} αὐτός^{rpgfs} ταράσσω^{vifp3p} ὁ^{dnnp} ἔθνος^{nnnpc}. **v.9** καί^{cc} φοβέω^{vifp3p} ὁ^{dnmp} κατοικέω^{vppanmp} ὁ^{danp} πέρας^{nanpc} ἀπό^{pg} ὁ^{dgnp} σημεῖον^{ngnpc} σύ$^{rpg-s}$ ἔξοδος^{nafpc} πρωΐα^{ngfsc} καί^{cc} ἑσπέρα^{ngfsc} τέρπω^{vifa2s}. **v.10** ἐπισκέπτομαι^{viam2s} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} μεθύσκω^{viaa2s} αὐτός^{rpafs} πληθύνω^{viaa2s} ὁ^{dgns} πλουτίζω^{vnaa} αὐτός^{rpafs} ὁ^{dnms} ποταμός^{nnmsc} ὁ^{dgms} θεός^{ngmsc} πληρόω^{viap3s} ὕδωρ^{ngnpc} ἑτοιμάζω^{viaa2s} ὁ^{dafs} τροφή^{nafsc} αὐτός^{rpgmp} ὅτι^{cs} οὕτως^{b} ὁ^{dnfs} ἑτοιμασία^{nnfsc} σύ$^{rpg-s}$.

τῆς εὐφρανθήσεται ἀνατέλλουσα. εὐλογήσεις τὸν στέφανον τοῦ 12
ἐνιαυτοῦ τῆς χρηστότητός σου καὶ τὰ πεδία σου πλησθήσονται
πιότητος. πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου καὶ ἀγαλλίασιν οἱ 13
βουνοὶ περιζώσονται. ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων καὶ αἱ 14
κοιλάδες πληθυνοῦσι σῖτον κεκράξονται καὶ γὰρ ὑμνήσουσιν.

εἰς τὸ τέλος ᾠδὴ ψαλμοῦ ἀναστάσεως ἀλαλάξατε τῷ θεῷ πᾶσα **65**
ἡ γῆ. ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ δότε δόξαν αἰνέσει αὐτοῦ. 2
εἴπατε τῷ θεῷ ὡς φοβερὰ τὰ ἔργα σου ἐν τῷ πλήθει τῆς δυνάμεώς 3
σου ψεύσονταί σε οἱ ἐχθροί σου. πᾶσα ἡ γῆ προσκυνησάτωσάν 4
σοι καὶ ψαλάτωσάν σοι ψαλάτωσαν τῷ ὀνόματί σου διάψαλμα.
δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς 5
υἱοὺς τῶν ἀνθρώπων. ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν ἐν 6
ποταμῷ διελεύσονται ποδί ἐκεῖ εὐφρανθησόμεθα ἐπ᾽ αὐτῷ. τῷ 7
δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος οἱ ὀφθαλμοὶ αὐτοῦ
ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν
ἐν ἑαυτοῖς διάψαλμα. εὐλογεῖτε ἔθνη τὸν θεὸν ἡμῶν καὶ ἀκου- 8
τίσασθε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. τοῦ θεμένου τὴν ψυχήν 9
μου εἰς ζωὴν καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. ὅτι ἐδο- 10
κίμασας ἡμᾶς ὁ θεός ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον.
εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. 11

---

v.11 ὁ^{damp} αὖλαξ$^{namp c}$ αὐτός$^{rpg fs}$ μεθύσκω$^{vdaa 2s}$ πληθύνω$^{vdaa 2s}$ ὁ^{danp} γένημα$^{nanp c}$ αὐτός$^{rpg fs}$ ἐν^{pd} ὁ^{ddfp} σταγών$^{ndfp c}$ αὐτός$^{rpg fs}$ εὐφραίνω$^{vifp 3s}$ ἀνατέλλω$^{vppan fs}$. **v.12** εὐλογέω$^{vifa 2s}$ ὁ^{dams} στέφανος$^{nams c}$ ὁ^{dgms} ἐνιαυτός$^{ngms c}$ ὁ^{dgfs} χρηστότης$^{ngf sc}$ σύ$^{rpg-s}$ καί^{cc} ὁ^{dnnp} πεδίον$^{nnnp c}$ σύ$^{rpg-s}$ πίμπλημι$^{vifp 3p}$ πιότης$^{ngf sc}$. **v.13** πιαίνω$^{vifp 3p}$ ὁ^{danp} ὡραῖος$^{ananp n}$ ὁ^{dgfs} ἔρημος$^{ngf sc}$ καί^{cc} ἀγαλλίασις$^{naf sc}$ ὁ^{dnmp} βουνός$^{nnmp c}$ περιζώννυμι$^{vifm 3p}$. **v.14** ἐνδύω$^{viam 3p}$ ὁ^{dnmp} κριός$^{nnmp c}$ ὁ^{dgnp} πρόβατον$^{ngnp c}$ καί^{cc} ὁ^{dnfp} κοιλάς$^{nnfp c}$ πληθύνω$^{vifa 3p}$ σῖτος^{namsc} κράζω$^{vifm 3p}$ καί^{cc} γάρ^{cc} ὑμνέω$^{vifa 3p}$. **65. v.1** εἰς^{pa} ὁ^{dans} τέλος$^{nans c}$ ᾠδή$^{nnf sc}$ ψαλμός$^{ngms c}$ ἀνάστασις$^{ngf sc}$ ἀλαλάζω$^{vdaa 2p}$ ὁ^{ddms} θεός$^{ndms c}$ πᾶς$^{ainf sn}$ ὁ^{dnfs} γῆ$^{nnf sc}$. **v.2** ψάλλω$^{vdaa 2p}$ δή^{x} ὁ^{ddns} ὄνομα$^{ndns c}$ αὐτός$^{rpg ms}$ δίδωμι$^{vdaa 2p}$ δόξα$^{naf sc}$ αἴνεσις$^{ndf sc}$ αὐτός$^{rpg ms}$. **v.3** λέγω$^{vdaa 2p}$ ὁ^{ddms} θεός$^{ndms c}$ ὡς^{cs} φοβερός$^{annn pn}$ ὁ^{dnnp} ἔργον$^{nnnp c}$ σύ$^{rpg ms}$ ἐν^{pd} ὁ^{ddns} πλῆθος$^{ndns c}$ ὁ^{dgfs} δύναμις$^{ngf sc}$ σύ$^{rpg ms}$ ψεύδομαι$^{vifm 3p}$ σύ$^{rpa ms}$ ὁ^{dnmp} ἐχθρός$^{annm pn}$ σύ$^{rpg ms}$. **v.4** πᾶς$^{ainf sn}$ ὁ^{dnfs} γῆ$^{nnf sc}$ προσκυνέω$^{vdaa 3p}$ σύ$^{rpd-s}$ καί^{cc} ψάλλω$^{vdaa 3p}$ σύ$^{rpd-s}$ ψάλλω$^{vdaa 3p}$ ὁ^{ddns} ὄνομα$^{ndns c}$ σύ$^{rpg-s}$ διάψαλμα$^{nnns c}$. **v.5** δεῦτε^{b} καί^{cc} ὁράω$^{vdaa 2p}$ ὁ^{danp} ἔργον$^{nanp c}$ ὁ^{dgms} θεός$^{ngms c}$ φοβερός$^{annm sn}$ ἐν^{pd} βουλή$^{ndf pc}$ ὑπέρ^{pa} ὁ^{damp} υἱός$^{namp c}$ ὁ^{dgmp} ἄνθρωπος$^{ngmp c}$. **v.6** ὁ^{dnms} μεταστρέφω$^{vppan ms}$ ὁ^{dafs} θάλασσα$^{naf sc}$ εἰς^{pa} ξηρός$^{anaf sn}$ ἐν^{pd} ποταμός$^{ndms c}$ διέρχομαι$^{vifm 3p}$ πούς$^{ndms c}$ ἐκεῖ^{b} εὐφραίνω$^{vifp 1p}$ ἐπί^{pd} αὐτός$^{rpd ms}$. **v.7** ὁ^{ddms} δεσπόζω$^{vppa dms}$ ἐν^{pd} ὁ^{ddfs} δυναστεία$^{ndf sc}$ αὐτός$^{rpg ms}$ ὁ^{dgms} αἰών$^{ngms c}$ ὁ^{dnmp} ὀφθαλμός$^{nnmp c}$ αὐτός$^{rpg ms}$ ἐπί^{pa} ὁ^{danp} ἔθνος$^{nanp c}$ ἐπιβλέπω$^{vipa 3p}$ ὁ^{dnmp} παραπικραίνω$^{vppan mp}$ μή^{x} ὑψόω$^{vdpm 3p}$ ἐν^{pd} ἑαυτοῦ$^{rxd mp}$ διάψαλμα$^{nnns c}$. **v.8** εὐλογέω$^{vdpa 2p}$ ἔθνος$^{nnnp c}$ ὁ^{dams} θεός$^{nams c}$ ἐγώ$^{rpg-p}$ καί^{cc} ἀκουτίζω$^{vdam 2p}$ ὁ^{dafs} φωνή$^{naf sc}$ ὁ^{dgfs} αἴνεσις$^{ngf sc}$ αὐτός$^{rpg ms}$. **v.9** ὁ^{dgms} τίθημι$^{vpam gms}$ ὁ^{dafs} ψυχή$^{naf sc}$ ἐγώ$^{rpg-s}$ εἰς^{pa} ζωή$^{naf sc}$ καί^{cc} μή^{x} δίδωμι$^{vpaa gms}$ εἰς^{pa} σάλος$^{nams c}$ ὁ^{damp} πούς$^{namp c}$ ἐγώ$^{rpg-s}$. **v.10** ὅτι^{cs} δοκιμάζω$^{viaa 2s}$ ἐγώ$^{rpa-p}$ ὁ^{dnms} θεός$^{nnm sc}$ πυρόω$^{viaa 2s}$ ἐγώ$^{rpa-p}$ ὡς^{cs} πυρόω$^{vipp 3s}$ ὁ^{dnns} ἀργύριον$^{nnn sc}$. **v.11** εἰσάγω$^{viaa 2s}$ ἐγώ$^{rpa-p}$ εἰς^{pa} ὁ^{dafs} παγίς$^{naf sc}$ τίθημι$^{viam 2s}$ θλῖψις$^{naf pc}$ ἐπί^{pa} ὁ^{dams} νῶτος$^{nams c}$ ἐγώ$^{rpg-p}$.

12 ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν διήλθομεν διὰ πυ-
13 ρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. εἰσελεύσομαι
εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν ἀποδώσω σοι τὰς εὐχάς μου.
14 ἃς διέστειλεν τὰ χείλη μου καὶ ἐλάλησεν τὸ στόμα μου ἐν τῇ
15 θλίψει μου. ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυ-
μιάματος καὶ κριῶν ποιήσω σοι βόας μετὰ χιμάρων διάψαλμα.
16 δεῦτε ἀκούσατε καὶ διηγήσομαι πάντες οἱ φοβούμενοι τὸν θεόν
17 ὅσα ἐποίησεν τῇ ψυχῇ μου. πρὸς αὐτὸν τῷ στόματί μου ἐκέ-
18 κραξα καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. ἀδικίαν εἰ ἐθεώρουν
19 ἐν καρδίᾳ μου μὴ εἰσακουσάτω κύριος. διὰ τοῦτο εἰσήκουσέν
20 μου ὁ θεός προσέσχεν τῇ φωνῇ τῆς δεήσεώς μου. εὐλογητὸς ὁ
θεός ὃς οὐκ ἀπέστησεν τὴν προσευχήν μου καὶ τὸ ἔλεος αὐτοῦ
ἀπ᾽ ἐμοῦ.

66, 2 εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς ᾠδῆς. ὁ θεὸς οἰκτιρήσαι ἡμᾶς
καὶ εὐλογήσαι ἡμᾶς ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς διά-
3 ψαλμα. τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου ἐν πᾶσιν ἔθνεσιν τὸ
4 σωτήριόν σου. ἐξομολογησάσθωσάν σοι λαοί ὁ θεός ἐξομολογη-
5 σάσθωσάν σοι λαοὶ πάντες. εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν
ἔθνη ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις
6 διάψαλμα. ἐξομολογησάσθωσάν σοι λαοί ὁ θεός ἐξομολογησά-
7 σθωσάν σοι λαοὶ πάντες. γῆ ἔδωκεν τὸν καρπὸν αὐτῆς εὐλο-

---

v.12 ἐπιβιβάζω^{viaa2s} ἄνθρωπος^{nampc} ἐπί^{pa} ὁ^{dafp} κεφαλή^{nafpc} ἐγώ$^{rpg-p}$ διέρχομαι^{viaa1p} διά^{pg} πῦρ^{ngnsc} καί^{cc} ὕδωρ^{ngnsc} καί^{cc} ἐξάγω^{viaa2s} ἐγώ$^{rpa-p}$ εἰς^{pa} ἀναψυχή^{nafsc}. **v.13** εἰσέρχομαι^{vifm1s} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} σύ$^{rpg-s}$ ἐν^{pd} ὁλοκαύτωμα^{ndnpc} ἀποδίδωμι^{vifa1s} σύ$^{rpd-s}$ ὁ^{dafp} εὐχή^{nafpc} ἐγώ$^{rpg-s}$. **v.14** ὅς^{rrafp} διαστέλλω^{viaa3s} ὁ^{dnnp} χεῖλος^{nnnpc} ἐγώ$^{rpg-s}$ καί^{cc} λαλέω^{viaa3s} ὁ^{dnns} στόμα^{nnnsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddfs} θλῖψις^{ndfsc} ἐγώ$^{rpg-s}$. **v.15** ὁλοκαύτωμα^{nanpc} μυαλόομαι^{vpxpanp} ἀναφέρω^{vifa1s} σύ$^{rpd-s}$ μετά^{pg} θυμίαμα^{ngnsc} καί^{cc} κριός^{ngmpc} ποιέω^{vifa1s} σύ$^{rpd-s}$ βοῦς^{nampc} μετά^{pg} χίμαρος^{ngmpc} διάψαλμα^{nnnsc}. **v.16** δεῦτε^{b} ἀκούω^{vdaa2p} καί^{cc} διηγέομαι^{vifm1s} πᾶς^{ainmpn} ὁ^{dnmp} φοβέω^{vppmnnmp} ὁ^{dams} θεός^{namsc} ὅσος^{aranpn} ποιέω^{viaa3s} ὁ^{ddfs} ψυχή^{ndfsc} ἐγώ$^{rpg-s}$. **v.17** πρός^{pa} αὐτός^{rpams} ὁ^{ddns} στόμα^{ndnsc} ἐγώ$^{rpg-s}$ κράζω^{viaa1s} καί^{cc} ὑψόω^{viaa1s} ὑπό^{pa} ὁ^{dafs} γλῶσσα^{nafsc} ἐγώ$^{rpg-s}$. **v.18** ἀδικία^{nafsc} εἰ^{cs} θεωρέω^{viia3p} ἐν^{pd} καρδία^{ndfsc} ἐγώ$^{rpg-s}$ μή^{x} εἰσακούω^{vdaa3s} κύριος^{nnmsc}. **v.19** διά^{pa} οὗτος^{rdans} εἰσακούω^{viaa3s} ἐγώ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnmsc} προσέχω^{viaa3s} ὁ^{ddfs} φωνή^{ndfsc} ὁ^{dgfs} δέησις^{ngfsc} ἐγώ$^{rpg-s}$. **v.20** εὐλογητός^{annmsn} ὁ^{dnms} θεός^{nnmsc} ὅς^{rrnms} οὐ^{b} ἀφίστημι^{viaa3s} ὁ^{dafs} προσευχή^{nafsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dans} ἔλεος^{nansc} αὐτός^{rpgms} ἀπό^{pg} ἐγώ$^{rpg-s}$. **66. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ἐν^{pd} ὕμνος^{ndmpc} ψαλμός^{nnmsc} ᾠδή^{ngfsc}. **v.2** ὁ^{dnms} θεός^{nnmsc} οἰκτίρω^{voaa3s} ἐγώ$^{rpa-p}$ καί^{cc} εὐλογέω^{voaa3s} ἐγώ$^{rpa-p}$ ἐπιφαίνω^{voaa3s} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgms} ἐπί^{pa} ἐγώ$^{rpa-p}$ διάψαλμα^{nnnsc}. **v.3** ὁ^{dgns} γινώσκω^{vnaa} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} ὁ^{dafs} ὁδός^{nafsc} σύ$^{rpg-s}$ ἐν^{pd} πᾶς^{aidnpn} ἔθνος^{ndnpc} ὁ^{dans} σωτήριον^{nansc} σύ$^{rpg-s}$. **v.4** ἐξομολογέω^{vdam3p} σύ^{rpdms} λαός^{nnmpc} ὁ^{dnms} θεός^{nnmsc} ἐξομολογέω^{vdam3p} σύ^{rpdms} λαός^{nnmpc} πᾶς^{ainmpn}. **v.5** εὐφραίνω^{vdap3p} καί^{cc} ἀγαλλιάω^{vdpm3p} ἔθνος^{nnnpc} ὅτι^{cs} κρίνω^{vifa2s} λαός^{nampc} ἐν^{pd} εὐθύτης^{ndfsc} καί^{cc} ἔθνος^{nanpc} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} ὁδηγέω^{vifa2s} διάψαλμα^{nnnsc}. **v.6** ἐξομολογέω^{vdam3p} σύ^{rpdms} λαός^{nnmpc} ὁ^{dnms} θεός^{nnmsc} ἐξομολογέω^{vdam3p} σύ^{rpdms} λαός^{nnmpc} πᾶς^{ainmpn}.

γήσαι ἡμᾶς ὁ θεὸς ὁ θεὸς ἡμῶν. εὐλογήσαι ἡμᾶς ὁ θεός καὶ 8
φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

εἰς τὸ τέλος τῷ Δαυιδ ψαλμὸς ᾠδῆς. ἀναστήτω ὁ θεός καὶ **67**, 2
διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ καὶ φυγέτωσαν οἱ μισοῦντες
αὐτὸν ἀπὸ προσώπου αὐτοῦ. ὡς ἐκλείπει καπνός ἐκλιπέτωσαν 3
ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός οὕτως ἀπόλοιντο οἱ ἁ-
μαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ. καὶ οἱ δίκαιοι εὐφρανθή- 4
τωσαν ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ τερφθήτωσαν ἐν εὐφρο-
σύνῃ. ᾄσατε τῷ θεῷ ψάλατε τῷ ὀνόματι αὐτοῦ ὁδοποιήσατε τῷ 5
ἐπιβεβηκότι ἐπὶ δυσμῶν κύριος ὄνομα αὐτῷ καὶ ἀγαλλιᾶσθε ἐνώ-
πιον αὐτοῦ ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ. τοῦ πατρὸς 6
τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.
ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ ἐξάγων πεπεδημένους ἐν 7
ἀνδρείᾳ ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τά-
φοις. ὁ θεός ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου ἐν τῷ 8
διαβαίνειν σε ἐν τῇ ἐρήμῳ διάψαλμα. γῆ ἐσείσθη καὶ γὰρ οἱ οὐ- 9
ρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ θεοῦ τοῦτο Σινα ἀπὸ προσώπου
τοῦ θεοῦ Ισραηλ. βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ θεός τῇ κληρο- 10
νομίᾳ σου καὶ ἠσθένησεν σὺ δὲ κατηρτίσω αὐτήν. τὰ ζῷά σου 11
κατοικοῦσιν ἐν αὐτῇ ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ
θεός. κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. 12

---

v.7 γῆ^{nnfsc} δίδωμι^{viaa3s} ὁ^{dams} καρπός^{namsc} αὐτός^{rpgfs} εὐλογέω^{voaa3s} ἐγώ$^{rpa-p}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-p}$. **v.8** εὐλογέω^{voaa3s} ἐγώ$^{rpa-p}$ ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} φοβέω^{vdap3p} αὐτός^{rpams} πᾶς^{ainnpn} ὁ^{dnnp} πέρας^{nnnpc} ὁ^{dgfs} γῆ^{ngfsc}. **67. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὁ^{ddms} Δαυίδ^{ndmsp} ψαλμός^{nnmsc} ᾠδή^{ngfsc}. **v.2** ἀνίστημι^{vdaa3s} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} διασκορπίζω^{vdap3p} ὁ^{dnmp} ἐχθρός^{annmpn} αὐτός^{rpgms} καί^{cc} φεύγω^{vdaa3p} ὁ^{dnmp} μισέω^{vppanmp} αὐτός^{rpams} ἀπό^{pg} πρόσωπον^{ngnsc} αὐτός^{rpgms}. **v.3** ὡς^{cs} ἐκλείπω^{vipa3s} καπνός^{nnmsc} ἐκλείπω^{vdaa3p} ὡς^{cs} τήκω^{vipp3s} κηρός^{nnmsc} ἀπό^{pg} πρόσωπον^{ngnsc} πῦρ^{ngnsc} οὕτως^{b} ἀπόλλυμι^{voam3p} ὁ^{dnmp} ἁμαρτωλός^{annmpn} ἀπό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgms} θεός^{ngmsc}. **v.4** καί^{cc} ὁ^{dnmp} δίκαιος^{annmpn} εὐφραίνω^{vdap3p} ἀγαλλιάω^{vdpm3p} ἐνώπιον^{pg} ὁ^{dgms} θεός^{ngmsc} τέρπω^{vdap3p} ἐν^{pd} εὐφροσύνη^{ndfsc}. **v.5** ᾄδω^{vdaa2p} ὁ^{ddms} θεός^{ndmsc} ψάλλω^{vdaa2p} ὁ^{ddns} ὄνομα^{ndnsc} αὐτός^{rpgms} ὁδοποιέω^{vdaa2p} ὁ^{ddms} ἐπιβαίνω^{vpxadms} ἐπί^{pg} δυσμή^{ngfpc} κύριος^{nnmsc} ὄνομα^{nnnsc} αὐτός^{rpdms} καί^{cc} ἀγαλλιάω$^{vdpm2'pvdam2p}$ ἐνώπιον^{pg} αὐτός^{rpgms} ταράσσω^{vifp3p} ἀπό^{pg} πρόσωπον^{ngnsc} αὐτός^{rpgms}. **v.6** ὁ^{dgms} πατήρ^{ngmsc} ὁ^{dgmp} ὀρφανός^{angmpn} καί^{cc} κριτής^{ngmsc} ὁ^{dgfp} χήρα^{ngfpc} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} τόπος^{ndmsc} ἅγιος^{andmsn} αὐτός^{rpgms}. **v.7** ὁ^{dnms} θεός^{nnmsc} κατοικίζω^{vipa3s} μονότροπος^{anampn} ἐν^{pd} οἶκος^{ndmsc} ἐξάγω^{vppanms} πεδάω^{vpxpamp} ἐν^{pd} ἀνδρεία^{ndfsc} ὁμοίως^{b} ὁ^{damp} παραπικραίνω^{vppaamp} ὁ^{damp} κατοικέω^{vppaamp} ἐν^{pd} τάφος^{ndmpc}. **v.8** ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} ὁ^{ddns} ἐκπορεύομαι^{vnpm} σύ^{rpams} ἐνώπιον^{pg} ὁ^{dgms} λαός^{ngmsc} σύ^{rpgms} ἐν^{pd} ὁ^{ddns} διαβαίνω^{vnpa} σύ^{rpams} ἐν^{pd} ὁ^{ddfs} ἔρημος^{ndfsc} διάψαλμα^{nnnsc}. **v.9** γῆ^{nnfsc} σείω^{viap3s} καί^{cc} γάρ^{cc} ὁ^{dnmp} οὐρανός^{nnmpc} στάζω^{viaa3p} ἀπό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgms} θεός^{ngmsc} οὗτος^{rdnns} Σινᾶ^{nnnsp} ἀπό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgms} θεός^{ngmsc} Ἰσραήλ^{ngmsp}. **v.10** βροχή^{nafsc} ἑκούσιος^{anafsn} ἀφορίζω^{vifa2s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{ddfs} κληρονομία^{ndfsc} σύ^{rpgms} καί^{cc} ἀσθενέω^{viaa3s} σύ^{rpnms} δέ^{cc} καταρτίζω^{viam2s} αὐτός^{rpafs}. **v.11** ὁ^{dnnp} ζῷον^{nnnpc} σύ$^{rpg-s}$ κατοικέω^{vipa3p} ἐν^{pd} αὐτός^{rpdfs} ἑτοιμάζω^{viaa2s} ἐν^{pd} ὁ^{ddfs} χρηστότης^{ndfsc} σύ$^{rpg-s}$ ὁ^{ddms} πτωχός^{andmsn} ὁ^{dnms} θεός^{nnmsc}.

13 ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ καὶ ὡραιότητι τοῦ οἴκου
14 διελέσθαι σκῦλα. ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων πτέ-
ρυγες περιστερᾶς περιηργυρωμέναι καὶ τὰ μετάφρενα αὐτῆς ἐν
15 χλωρότητι χρυσίου διάψαλμα. ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον
16 βασιλεῖς ἐπ᾽ αὐτῆς χιονωθήσονται ἐν Σελμων. ὄρος τοῦ θεοῦ ὄ-
17 ρος πῖον ὄρος τετυρωμένον ὄρος πῖον. ἵνα τί ὑπολαμβάνετε ὄρη
τετυρωμένα τὸ ὄρος ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ καὶ
18 γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος. τὸ ἅρμα τοῦ θεοῦ μυ-
ριοπλάσιον χιλιάδες εὐθηνούντων ὁ κύριος ἐν αὐτοῖς ἐν Σινα ἐν
19 τῷ ἁγίῳ. ἀνέβης εἰς ὕψος ᾐχμαλώτευσας αἰχμαλωσίαν ἔλαβες
δόματα ἐν ἀνθρώπῳ καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι κύ-
20 ριος ὁ θεὸς εὐλογητός. εὐλογητὸς κύριος ἡμέραν καθ᾽ ἡμέραν
21 κατευοδώσει ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν διάψαλμα. ὁ θεὸς
ἡμῶν θεὸς τοῦ σῴζειν καὶ τοῦ κυρίου κυρίου αἱ διέξοδοι τοῦ θα-
22 νάτου. πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ κορυφὴν
23 τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. εἶπεν κύριος ἐκ
24 Βασαν ἐπιστρέψω ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης. ὅπως ἂν βα-
φῇ ὁ πούς σου ἐν αἵματι ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ᾽
25 αὐτοῦ. ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ θεός αἱ πορεῖαι τοῦ θεοῦ
26 μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. προέφθασαν ἄρχοντες ἐχόμε-

---

v.12 κύριος^{nnmsc} δίδωμι^{vifa3s} ῥῆμα^{nansc} ὁ^{ddmp} εὐαγγελίζω^{vppmdmp} δύναμις^{ndfsc} πολύς^{andfsn}. **v.13** ὁ^{dnms} βασιλεύς^{nnmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} ὁ^{dgms} ἀγαπητός^{angmsn} καί^{cc} ὡραιότης^{ndfsc} ὁ^{dgms} οἶκος^{ngmsc} διαιρέω^{vnam} σκῦλον^{nanpc}. **v.14** ἐάν^{cs} κοιμάομαι^{vsap2p} ἀνά^{pa} μέσος^{anansn} ὁ^{dgmp} κλῆρος^{ngmpc} πτέρυξ^{nnfpc} περιστερά^{ngfsc} περιαργυρόω^{vpxpnfp} καί^{cc} ὁ^{danp} μετάφρενον^{nanpc} αὐτός^{rpgfs} ἐν^{pd} χλωρότης^{ndfsc} χρυσίον^{ngnsc} διάψαλμα^{nnnsc}. **v.15** ἐν^{pd} ὁ^{ddns} διαστέλλω^{vnpa} ὁ^{dams} ἐπουράνιος^{anamsn} βασιλεύς^{nampc} ἐπί^{pg} αὐτός^{rpgfs} χιονόομαι^{vifp3p} ἐν^{pd} Σελμων$^{nd\text{-}sp}$. **v.16** ὄρος^{nnnsc} ὁ^{dgms} θεός^{ngmsc} ὄρος^{nnnsc} πίων^{annnsn} ὄρος^{nnnsc} τυρόω^{vpxpnns} ὄρος^{nnnsc} πίων^{annnsn}. **v.17** ἵνα^{cs} τίς^{rqnns} ὑπολαμβάνω^{vipa2p} ὄρος^{nnnpc} τυρόω^{vpxpnnp} ὁ^{dnns} ὄρος^{nnnsc} ὅς^{rrans} εὐδοκέω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} κατοικέω^{vnpa} ἐν^{pd} αὐτός^{rpdms} καί^{cc} γάρ^{cc} ὁ^{dnms} κύριος^{nnmsc} κατασκηνόω^{vifa3s} εἰς^{pa} τέλος^{nansc}. **v.18** ὁ^{dnns} ἅρμα^{nnnsc} ὁ^{dgms} θεός^{ngmsc} μυριοπλάσιος^{annnsn} χιλιάς^{nnfpc} εὐθηνέω^{vppagmp} ὁ^{dnms} κύριος^{nnmsc} ἐν^{pd} αὐτός^{rpdmp} ἐν^{pd} Σινᾶ^{ndnsp} ἐν^{pd} ὁ^{ddns} ἅγιος^{andnsn}. **v.19** ἀναβαίνω^{viaa2s} εἰς^{pa} ὕψος^{nansc} αἰχμαλωτεύω^{viaa2s} αἰχμαλωσία^{nafsc} λαμβάνω^{viaa2s} δόμα^{nanpc} ἐν^{pd} ἄνθρωπος^{ndmsc} καί^{cc} γάρ^{cc} ἀπειθέω^{vppanmp} ὁ^{dgns} κατασκηνόω^{vnaa} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} εὐλογητός^{annmsn}. **v.20** εὐλογητός^{annmsn} κύριος^{nnmsc} ἡμέρα^{nafsc} κατά^{pa} ἡμέρα^{nafsc} κατευοδόω^{vifa3s} ἐγώ$^{rpd\text{-}p}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgnp} σωτήριον^{ngnpc} ἐγώ$^{rpg\text{-}p}$ διάψαλμα^{nnnsc}. **v.21** ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg\text{-}p}$ θεός^{nnmsc} ὁ^{dgns} σῴζω^{vnpa} καί^{cc} ὁ^{dgms} κύριος^{ngmsc} κύριος^{ngmsc} ὁ^{dnfp} διέξοδος^{nnfpc} ὁ^{dgms} θάνατος^{ngmsc}. **v.22** πλήν^{b} ὁ^{dnms} θεός^{nnmsc} συνθλάω^{vifa3s} κεφαλή^{nafpc} ἐχθρός^{angmpn} αὐτός^{rpgms} κορυφή^{nafsc} θρίξ^{ngfsc} διαπορεύομαι^{vppmgmp} ἐν^{pd} πλημμέλεια^{ndfpc} αὐτός^{rpgmp}. **v.23** λέγω^{viaa3s} κύριος^{nnmsc} ἐκ^{pg} Βασαν$^{ng\text{-}sp}$ ἐπιστρέφω^{vifa1s} ἐπιστρέφω^{vifa1s} ἐν^{pd} βυθός^{ndmpc} θάλασσα^{ngfsc}. **v.24** ὅπως^{cs} ἄν^{x} βάπτω^{vsap3s} ὁ^{dnms} πούς^{nnmsc} σύ$^{rpg\text{-}s}$ ἐν^{pd} αἷμα^{ndnsc} ὁ^{dnfs} γλῶσσα^{nnfsc} ὁ^{dgmp} κύων^{ngmpc} σύ$^{rpg\text{-}s}$ ἐκ^{pg} ἐχθρός^{angmpn} παρά^{pg} αὐτός^{rpgms}. **v.25** θεωρέω^{viap3p} ὁ^{dnfp} πορεία^{nnfpc} σύ$^{rpg\text{-}s}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnfp} πορεία^{nnfpc} ὁ^{dgms} θεός^{ngmsc} ἐγώ$^{rpg\text{-}s}$ ὁ^{dgms} βασιλεύς^{ngmsc} ὁ^{dgms} ἐν^{pd} ὁ^{ddns} ἅγιος^{andnsn}.

νοι ψαλλόντων ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. ἐν ἐκκλησίαις 27
εὐλογεῖτε τὸν θεόν τὸν κύριον ἐκ πηγῶν Ισραηλ. ἐκεῖ Βενιαμιν 28
νεώτερος ἐν ἐκστάσει ἄρχοντες Ιουδα ἡγεμόνες αὐτῶν ἄρχοντες
Ζαβουλων ἄρχοντες Νεφθαλι. ἔντειλαι ὁ θεός τῇ δυνάμει σου 29
δυνάμωσον ὁ θεός τοῦτο ὃ κατειργάσω ἡμῖν. ἀπὸ τοῦ ναοῦ σου 30
ἐπὶ Ιερουσαλημ σοὶ οἴσουσιν βασιλεῖς δῶρα. ἐπιτίμησον τοῖς 31
θηρίοις τοῦ καλάμου ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσιν
τῶν λαῶν τοῦ μὴ ἀποκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀρ-
γυρίῳ διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα. ἥξουσιν 32
πρέσβεις ἐξ Αἰγύπτου Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ.
αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ θεῷ ψάλατε τῷ κυρίῳ διάψαλμα. 33
ψάλατε τῷ θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ 34
ἀνατολάς ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως. δότε 35
δόξαν τῷ θεῷ ἐπὶ τὸν Ισραηλ ἡ μεγαλοπρέπεια αὐτοῦ καὶ ἡ δύ-
ναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις 36
αὐτοῦ ὁ θεὸς Ισραηλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ
αὐτοῦ εὐλογητὸς ὁ θεός.

εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τῷ Δαυιδ. σῶσόν με **68**, 2
ὁ θεός ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. ἐνεπάγην εἰς ἰλὺν 3
βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης

---

21 ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωυσῆ καὶ Ααρων.

77 συνέσεως τῷ Ασαφ προσέχετε λαός μου τὸν νόμον μου κλίνατε
2 τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. ἀνοίξω ἐν πα-
3 ραβολαῖς τὸ στόμα μου φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς. ὅσα
ἠκούσαμεν καὶ ἔγνωμεν αὐτὰ καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο
4 ἡμῖν. οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν ἀ-
παγγέλλοντες τὰς αἰνέσεις τοῦ κυρίου καὶ τὰς δυναστείας αὐτοῦ
5 καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησεν. καὶ ἀνέστησεν μαρτύριον
ἐν Ιακωβ καὶ νόμον ἔθετο ἐν Ισραηλ ὅσα ἐνετείλατο τοῖς πατράσιν

---

v.12 μιμνήσκομαι^{viap1s} ὁ^{dgnp} ἔργον^{ngnpc} κύριος^{ngmsc} ὅτι^{cs} μιμνήσκομαι^{vifp1s} ἀπό^{pg} ὁ^{dgfs} ἀρχή^{ngfsc} ὁ^{dgnp} θαυμάσιος^{angnpn} σύ^{rpgms}. **v.13** καί^{cc} μελετάω^{vifa1s} ἐν^{pd} πᾶς^{aidnpn} ὁ^{ddnp} ἔργον^{ndnpc} σύ^{rpgms} καί^{cc} ἐν^{pd} ὁ^{ddnp} ἐπιτήδευμα^{ndnpc} σύ^{rpgms} ἀδολεσχέω^{vifa1s}. **v.14** ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} ὁ^{ddns} ἅγιος^{andnsn} ὁ^{dnfs} ὁδός^{nnfsc} σύ^{rpgms} τίς^{aqnmsn} θεός^{nnmsc} μέγας^{annmsn} ὡς^{cs} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-p}$. **v.15** σύ^{rpnms} εἰμί^{vipa2s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} ποιέω^{vppanms} θαυμάσιος^{ananpn} γνωρίζω^{viaa2s} ἐν^{pd} ὁ^{ddmp} λαός^{ndmpc} ὁ^{dafs} δύναμις^{nafsc} σύ^{rpgms}. **v.16** λυτρόω^{viam2s} ἐν^{pd} ὁ^{ddms} βραχίων^{ndmsc} σύ^{rpgms} ὁ^{damsc} λαός^{namsc} σύ^{rpgms} ὁ^{damp} υἱός^{nampc} Ἰακώβ^{ngmsp} καί^{cc} Ἰωσήφ^{ngmsp} διάψαλμα^{nnnsc}. **v.17** ὁράω^{viaa3p} σύ^{rpams} ὕδωρ^{nnnpc} ὁ^{dnms} θεός^{nnmsc} ὁράω^{viaa3p} σύ^{rpams} ὕδωρ^{nnnpc} καί^{cc} φοβέω^{viap3p} καί^{cc} ταράσσω^{viap3p} ἄβυσσος^{nnfpc} πλῆθος^{nnnsc} ἦχος^{ngnsc} ὕδωρ^{ngnpc}. **v.18** φωνή^{nafsc} δίδωμι^{viaa3p} ὁ^{dnfp} νεφέλη^{nnfpc} καί^{cc} γάρ^{cc} ὁ^{dnnp} βέλος^{nnnpc} σύ^{rpgms} διαπορεύομαι^{vipm3p}. **v.19** φωνή^{nnfsc} ὁ^{dgfs} βροντή^{ngfsc} σύ^{rpgms} ἐν^{pd} ὁ^{ddms} τροχός^{ndmsc} φαίνω^{viaa3p} ὁ^{dnfp} ἀστραπή^{nnfpc} σύ^{rpgms} ὁ^{ddfs} οἰκουμένη^{ndfsc} σαλεύω^{viap3s} καί^{cc} ἔντρομος^{annfsn} γίνομαι^{viap3s} ὁ^{dnfs} γῆ^{nnfsc}. **v.20** ἐν^{pd} ὁ^{ddfs} θάλασσα^{ndfsc} ὁ^{dnfs} ὁδός^{nnfsc} σύ^{rpgms} καί^{cc} ὁ^{dnfp} τρίβος^{nnfpc} σύ^{rpgms} ἐν^{pd} ὕδωρ^{ndnpc} πολύς^{andnpn} καί^{cc} ὁ^{dnnp} ἴχνος^{nnnpc} σύ^{rpgms} οὐ^{b} γινώσκω^{vifp3p}. **v.21** ὁδηγέω^{viaa2s} ὡς^{cs} πρόβατον^{nanpc} ὁ^{damsc} λαός^{namsc} σύ^{rpgms} ἐν^{pd} χείρ^{ndfsc} Μωυσῆ^{ngmsp} καί^{cc} Ἀαρών^{ngmsp}. **77. v.1** σύνεσις^{ngfsc} ὁ^{ddms} Ἀσάφ^{ndmsp} προσέχω^{vdpa2p} λαός^{nnmsc} ἐγώ^{rpgms} ὁ^{damsc} νόμος^{namsc} ἐγώ^{rpgms} κλίνω^{vdaa2p} ὁ^{dans} οὖς^{nansc} σύ$^{rpg-p}$ εἰς^{pa} ὁ^{danp} ῥῆμα^{nanpc} ὁ^{dgns} στόμα^{ngnsc} ἐγώ^{rpgms}. **v.2** ἀνοίγω^{vifa1s} ἐν^{pd} παραβολή^{ndfpc} ὁ^{dans} στόμα^{nansc} ἐγώ^{rpgms} φθέγγομαι^{vifm1s} πρόβλημα^{nanpc} ἀπό^{pg} ἀρχή^{ngfsc}. **v.3** ὅσος^{aranpn} ἀκούω^{viaa1p} καί^{cc} γινώσκω^{viaa1p} αὐτός^{rpanp} καί^{b} ὁ^{dnmp} πατήρ^{nnmpc} ἐγώ$^{rpg-p}$ διηγέομαι^{viam3p} ἐγώ$^{rpd-p}$. **v.4** οὐ^{b} κρύπτω^{viap3s} ἀπό^{pg} ὁ^{dgnp} τέκνον^{ngnpc} αὐτός^{rpgmp} εἰς^{pa} γενεά^{nafsc} ἕτερος^{aiafsn} ἀπαγγέλλω^{vppanmp} ὁ^{dafp} αἴνεσις^{nafpc} ὁ^{dgms} κύριος^{ngmsc} καί^{cc} ὁ^{dafp} δυναστεία^{nafpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} θαυμάσιος^{ananpn} αὐτός^{rpgms} ὅς^{rranp} ποιέω^{viaa3s}.

ἡμῶν τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν. ὅπως ἂν γνῷ γενεὰ 6
ἑτέρα υἱοὶ οἱ τεχθησόμενοι καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν
αὐτὰ τοῖς υἱοῖς αὐτῶν. ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν 7
καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ
ἐκζητήσουσιν. ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν γενεὰ σκο- 8
λιὰ καὶ παραπικραίνουσα γενεά ἥτις οὐ κατηύθυνεν τὴν καρδίαν
αὐτῆς καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς. υἱοὶ 9
Εφραιμ ἐντείνοντες καὶ βάλλοντες τόξοις ἐστράφησαν ἐν ἡμέρᾳ
πολέμου. οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ θεοῦ καὶ ἐν τῷ νόμῳ 10
αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι. καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν 11
αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ ὧν ἔδειξεν αὐτοῖς. ἐναντίον 12
τῶν πατέρων αὐτῶν ἃ ἐποίησεν θαυμάσια ἐν γῇ Αἰγύπτῳ ἐν πε-
δίῳ Τάνεως. διέρρηξεν θάλασσαν καὶ διήγαγεν αὐτούς ἔστησεν 13
ὕδατα ὡσεὶ ἀσκόν. καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας καὶ 14
ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός. διέρρηξεν πέτραν ἐν ἐρήμῳ 15
καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ. καὶ ἐξήγαγεν ὕδωρ 16
ἐκ πέτρας καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. καὶ προσέθεντο 17
ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ.
καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν τοῦ αἰτῆσαι βρώ- 18
ματα ταῖς ψυχαῖς αὐτῶν. καὶ κατελάλησαν τοῦ θεοῦ καὶ εἶπαν 19

---

v.5 καί[cc] ἀνίστημι[viaa3s] μαρτύριον[nansc] ἐν[pd] Ἰακώβ[ndmsp] καί[cc] νόμος[namsc] τίθημι[viam3s] ἐν[pd] Ἰσραήλ[ndmsp] ὅσος[aranpn] ἐντέλλομαι[viam3s] ὁ[ddmp] πατήρ[ndmpc] ἐγώ[rpg-p] ὁ[dgns] γνωρίζω[vnaa] αὐτός[rpanp] ὁ[ddmp] υἱός[ndmpc] αὐτός[rpgmp]. **v.6** ὅπως[cs] ἄν[x] γινώσκω[vsaa3s] γενεά[nnfsc] ἕτερος[ainfsn] υἱός[nnmpc] ὁ[dnmp] τίκτω[vpfpnmp] καί[cc] ἀνίστημι[vifm3p] καί[cc] ἀπαγγέλλω[vifa3p] αὐτός[rpanp] ὁ[ddmp] υἱός[ndmpc] αὐτός[rpgmp]. **v.7** ἵνα[cs] τίθημι[vsam3p] ἐπί[pa] ὁ[dams] θεός[namsc] ὁ[dafs] ἐλπίς[nafsc] αὐτός[rpgmp] καί[cc] μή[x] ἐπιλανθάνομαι[vsam3p] ὁ[dgnp] ἔργον[ngnpc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ὁ[dafp] ἐντολή[nafpc] αὐτός[rpgms] ἐκζητέω[vifa3p]. **v.8** ἵνα[cs] μή[x] γίνομαι[vsam3p] ὡς[cs] ὁ[dnmp] πατήρ[nnmpc] αὐτός[rpgmp] γενεά[nnfsc] σκολιός[annfsn] καί[cc] παραπικραίνω[vppanfs] γενεά[nnfsc] ὅστις[rrnfs] οὐ[b] κατευθύνω[viaa3s] ὁ[dafs] καρδία[nafsc] αὐτός[rpgfs] καί[cc] οὐ[b] πιστόω[viap3s] μετά[pg] ὁ[dgms] θεός[ngmsc] ὁ[dnns] πνεῦμα[nnnsc] αὐτός[rpgfs]. **v.9** υἱός[nnmpc] Εφράιμ[ngmsp] ἐντείνω[vppanmp] καί[cc] βάλλω[vppanmp] τόξον[ndnpc] στρέφω[viap3p] ἐν[pd] ἡμέρα[ndfsc] πόλεμος[ngmsc]. **v.10** οὐ[b] φυλάσσω[viaa3p] ὁ[dafs] διαθήκη[nafsc] ὁ[dgms] θεός[ngmsc] καί[cc] ἐν[pd] ὁ[ddms] νόμος[ndmsc] αὐτός[rpgms] οὐ[b] θέλω[viia3p] πορεύομαι[vnpm]. **v.11** καί[cc] ἐπιλανθάνομαι[viam3p] ὁ[dgfp] εὐεργεσία[ngfpc] αὐτός[rpgms] καί[cc] ὁ[dgnp] θαυμάσιος[angnpn] αὐτός[rpgms] ὅς[rrgnp] δείκνυμι[viaa3s] αὐτός[rpdmp]. **v.12** ἐναντίον[pg] ὁ[dgmp] πατήρ[ngmpc] αὐτός[rpgmp] ὅς[rranp] ποιέω[viaa3s] θαυμάσιος[ananpn] ἐν[pd] γῆ[ndfsc] Αἴγυπτος[ndfsp] ἐν[pd] πεδίον[ndnsc] Τάνις[ngfsp]. **v.13** διαρρήγνυμι[viaa3s] θάλασσα[nafsc] καί[cc] διάγω[viaa3s] αὐτός[rpamp] ἵστημι[viaa3s] ὕδωρ[nanpc] ὡσεί[x] ἀσκός[namsc]. **v.14** καί[cc] ὁδηγέω[viaa3s] αὐτός[rpamp] ἐν[pd] νεφέλη[ndfsc] ἡμέρα[ngfsc] καί[cc] ὅλος[anafsn] ὁ[dafs] νύξ[nafsc] ἐν[pd] φωτισμός[ndmsc] πῦρ[ngnsc]. **v.15** διαρρήγνυμι[viaa3s] πέτρα[nafsc] ἐν[pd] ἔρημος[ndfsc] καί[cc] ποτίζω[viaa3s] αὐτός[rpamp] ὡς[cs] ἐν[pd] ἄβυσσος[ndfsc] πολύς[andfsn]. **v.16** καί[cc] ἐξάγω[viaa3s] ὕδωρ[nansc] ἐκ[pg] πέτρα[ngfsc] καί[cc] κατάγω[viaa3s] ὡς[cs] ποταμός[nampc] ὕδωρ[nanpc]. **v.17** καί[cc] προστίθημι[viam3p] ἔτι[b] ὁ[dgns] ἁμαρτάνω[vnpa] αὐτός[rpdms] παραπικραίνω[viaa3p] ὁ[dams] ὕψιστος[anamsn] ἐν[pd] ἄνυδρος[andfsn]. **v.18** καί[cc] ἐκπειράζω[viaa3p] ὁ[dams] θεός[namsc] ἐν[pd] ὁ[ddfp] καρδία[ndfpc] αὐτός[rpgmp] ὁ[dgns] αἰτέω[vnaa] βρῶμα[nanpc] ὁ[ddfp] ψυχή[ndfpc] αὐτός[rpgmp].

20 μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ. ἐπεὶ ἐπά-
ταξεν πέτραν καὶ ἐρρύησαν ὕδατα καὶ χείμαρροι κατεκλύσθησαν
μὴ καὶ ἄρτον δύναται δοῦναι ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐ-
21 τοῦ. διὰ τοῦτο ἤκουσεν κύριος καὶ ἀνεβάλετο καὶ πῦρ ἀνήφθη
22 ἐν Ιακωβ καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ισραηλ. ὅτι οὐκ ἐπίστευσαν
23 ἐν τῷ θεῷ οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. καὶ ἐνετείλατο
24 νεφέλαις ὑπεράνωθεν καὶ θύρας οὐρανοῦ ἀνέῳξεν. καὶ ἔβρεξεν
25 αὐτοῖς μαννα φαγεῖν καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. ἄρ-
τον ἀγγέλων ἔφαγεν ἄνθρωπος ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς
26 πλησμονήν. ἀπῆρεν νότον ἐξ οὐρανοῦ καὶ ἐπήγαγεν ἐν τῇ δυνα-
27 στείᾳ αὐτοῦ λίβα. καὶ ἔβρεξεν ἐπ᾽ αὐτοὺς ὡσεὶ χοῦν σάρκας καὶ
28 ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά. καὶ ἐπέπεσον εἰς μέ-
29 σον τῆς παρεμβολῆς αὐτῶν κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. καὶ
ἐφάγοσαν καὶ ἐνεπλήσθησαν σφόδρα καὶ τὴν ἐπιθυμίαν αὐτῶν
30 ἤνεγκεν αὐτοῖς. οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν ἔτι
31 τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ στόματι αὐτῶν. καὶ ὀργὴ τοῦ θε-
οῦ ἀνέβη ἐπ᾽ αὐτοὺς καὶ ἀπέκτεινεν ἐν τοῖς πίοσιν αὐτῶν καὶ τοὺς
32 ἐκλεκτοὺς τοῦ Ισραηλ συνεπόδισεν. ἐν πᾶσιν τούτοις ἥμαρτον
33 ἔτι καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ. καὶ ἐξέλιπον
ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.
34 ὅταν ἀπέκτεννεν αὐτούς ἐξεζήτουν αὐτὸν καὶ ἐπέστρεφον καὶ ὤρ-

---

v.19 καί[cc] καταλαλέω[viaa3p] ὁ[dgms] θεός[ngmsc] καί[cc] λέγω[viaa3p] μή[x] δύναμαι[vifm3s] ὁ[dnms] θεός[nnmsc] ἑτοιμάζω[vnaa] τράπεζα[nafsc] ἐν[pd] ἔρημος[ndfsc]. **v.20** ἐπεί[cs] πατάσσω[viaa3s] πέτρα[nafsc] καί[cc] ῥέω[viaa3p] ὕδωρ[nnnpc] καί[cc] χείμαρρος[nnmpc] κατακλύζω[viap3p] μή[x] καί[cc] ἄρτος[namsc] δύναμαι[vipm3s] δίδωμι[vnaa] ἤ[cc] ἑτοιμάζω[vnaa] τράπεζα[nafsc] ὁ[ddms] λαός[ndmsc] αὐτός[rpgms]. **v.21** διά[pa] οὗτος[rdans] ἀκούω[viaa3s] κύριος[nnmsc] καί[cc] ἀναβάλλω[viam3s] καί[cc] πῦρ[nnnsc] ἀνάπτω[viap3s] ἐν[pd] Ἰακώβ[ndmsp] καί[cc] ὀργή[nnfsc] ἀναβαίνω[viaa3s] ἐπί[pa] ὁ[dams] Ἰσραήλ[namsp]. **v.22** ὅτι[cs] οὐ[b] πιστεύω[viaa3p] ἐν[pd] ὁ[ddms] θεός[ndmsc] οὐδέ[cc] ἐλπίζω[viaa3p] ἐπί[pa] ὁ[dans] σωτήριον[nansc] αὐτός[rpgms]. **v.23** καί[cc] ἐντέλλομαι[viam3s] νεφέλη[ndfpc] ὑπεράνωθεν[b] καί[cc] θύρα[nafpc] οὐρανός[ngmsc] ἀνοίγω[viaa3s]. **v.24** καί[cc] βρέχω[viaa3s] αὐτός[rpdmp] μάννα[nansc] ἐσθίω[vnaa] καί[cc] ἄρτος[namsc] οὐρανός[ngmsc] δίδωμι[viaa3s] αὐτός[rpdmp]. **v.25** ἄρτος[namsc] ἄγγελος[ngmpc] ἐσθίω[viaa3s] ἄνθρωπος[nnmsc] ἐπισιτισμός[namsc] ἀποστέλλω[viaa3s] αὐτός[rpdmp] εἰς[pa] πλησμονή[nafsc]. **v.26** ἀπαίρω[viaa3s] νότος[namsc] ἐκ[pg] οὐρανός[ngmsc] καί[cc] ἐπάγω[viaa3s] ἐν[pd] ὁ[ddfs] δυναστεία[ndfsc] αὐτός[rpgms] λίψ[namsc]. **v.27** καί[cc] βρέχω[viaa3s] ἐπί[pa] αὐτός[rpamp] ὡσεί[x] χοῦς[namsc] σάρξ[nafpc] καί[cc] ὡσεί[x] ἄμμος[nafsc] θάλασσα[ngfpc] πετεινός[nanpc] πτερωτός[ananpn]. **v.28** καί[cc] ἐπιπίπτω[viaa3p] εἰς[pa] μέσος[anansn] ὁ[dgfs] παρεμβολή[ngfsc] αὐτός[rpgmp] κύκλος[pg] ὁ[dgnp] σκήνωμα[ngnpc] αὐτός[rpgmp]. **v.29** καί[cc] ἐσθίω[viaa3p] καί[cc] ἐμπίπλημι[viap3p] σφόδρα[b] καί[cc] ὁ[dafs] ἐπιθυμία[nafsc] αὐτός[rpgmp] φέρω[viaa3s] αὐτός[rpdmp]. **v.30** οὐ[b] στερέω[viap3p] ἀπό[pg] ὁ[dgfs] ἐπιθυμία[ngfsc] αὐτός[rpgmp] ἔτι[b] ὁ[dgfs] βρῶσις[ngfsc] αὐτός[rpgmp] εἰμί[vppagfs] ἐν[pd] ὁ[ddns] στόμα[ndnsc] αὐτός[rpgmp]. **v.31** καί[cc] ὀργή[nnfsc] ὁ[dgms] θεός[ngmsc] ἀναβαίνω[viaa3s] ἐπί[pa] αὐτός[rpamp] καί[cc] ἀποκτείνω[viaa3s] ἐν[pd] ὁ[ddmp] πίων[andmpn] αὐτός[rpgmp] καί[cc] ὁ[damp] ἐκλεκτός[anampn] ὁ[dgms] Ἰσραήλ[ngmsp] συμποδίζω[viaa3s]. **v.32** ἐν[pd] πᾶς[aidnpn] οὗτος[rddnp] ἁμαρτάνω[viaa3p] ἔτι[b] καί[cc] οὐ[b] πιστεύω[viaa3p] ἐν[pd] ὁ[ddnp] θαυμάσιος[andnpn] αὐτός[rpgms]. **v.33** καί[cc] ἐκλείπω[viaa3p] ἐν[pd] ματαιότης[ndfsc] ὁ[dnfp] ἡμέρα[nnfpc] αὐτός[rpgmp] καί[cc] ὁ[dnnp] ἔτος[nnnpc] αὐτός[rpgmp] μετά[pg] σπουδή[ngfsc].

θριζον πρὸς τὸν θεὸν. καὶ ἐμνήσθησαν ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν 35
ἐστιν καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστιν. καὶ ἠπάτησαν 36
αὐτὸν ἐν τῷ στόματι αὐτῶν καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.
ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ᾽ αὐτοῦ οὐδὲ ἐπιστώθησαν ἐν 37
τῇ διαθήκῃ αὐτοῦ. αὐτὸς δέ ἐστιν οἰκτίρμων καὶ ἱλάσεται ταῖς 38
ἁμαρτίαις αὐτῶν καὶ οὐ διαφθερεῖ καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι
τὸν θυμὸν αὐτοῦ καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. καὶ 39
ἐμνήσθη ὅτι σάρξ εἰσιν πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.
ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ παρώργισαν αὐτὸν ἐν 40
γῇ ἀνύδρῳ. καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν θεὸν καὶ τὸν ἅ- 41
γιον τοῦ Ισραηλ παρώξυναν. οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ 42
ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. ὡς ἔθετο ἐν 43
Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.
καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν καὶ τὰ ὀμβρήματα 44
αὐτῶν ὅπως μὴ πίωσιν. ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν καὶ 45
κατέφαγεν αὐτούς καὶ βάτραχον καὶ διέφθειρεν αὐτούς. καὶ ἔ- 46
δωκεν τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν καὶ τοὺς πόνους αὐτῶν τῇ
ἀκρίδι. ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν καὶ τὰς συκα- 47
μίνους αὐτῶν ἐν τῇ πάχνῃ. καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη 48
αὐτῶν καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. ἐξαπέστειλεν εἰς αὐτοὺς 49

---

v.34 ὅταν^{cs} ἀποκτείνω^{viaa3s} αὐτός^{rpamp} ἐκζητέω^{viia3p} αὐτός^{rpams} καί^{cc} ἐπιστρέφω^{viia3p} καί^{cc} ὀρθρίζω^{viia3p} πρός^{pa} ὁ^{dams} θεός^{namsc}. **v.35** καί^{cc} μιμνήσκομαι^{viap3p} ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} βοηθός^{nnmsc} αὐτός^{rpgmp} εἰμί^{vipa3s} καί^{cc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} ὕψιστος^{annmsn} λυτρωτής^{nnmsc} αὐτός^{rpgmp} εἰμί^{vipa3s}. **v.36** καί^{cc} ἀπατάω^{viaa3p} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddns} στόμα^{ndnsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{ddfs} γλῶσσα^{ndfsc} αὐτός^{rpgmp} ψεύδομαι^{viam3p} αὐτός^{rpdms}. **v.37** ὁ^{dnfs} δέ^{cc} καρδία^{nnfsc} αὐτός^{rpgmp} οὐ^{b} εὐθύς^{annfsn} μετά^{pg} αὐτός^{rpgms} οὐδέ^{cc} πιστόω^{viap3p} ἐν^{pd} ὁ^{ddfs} διαθήκη^{ndfsc} αὐτός^{rpgms}. **v.38** αὐτός^{rpnms} δέ^{cc} εἰμί^{vipa3s} οἰκτίρμων^{annmsn} καί^{cc} ἱλάσκομαι^{vifm3s} ὁ^{ddfp} ἁμαρτία^{ndfpc} αὐτός^{rpgmp} καί^{cc} οὐ^{b} διαφθείρω^{vifa3s} καί^{cc} πληθύνω^{vifa3s} ὁ^{dgns} ἀποστρέφω^{vnaa} ὁ^{dams} θυμός^{namsc} αὐτός^{rpgms} καί^{cc} οὐχί^{b} ἐκκαίω^{vifa3s} πᾶς^{aiafsn} ὁ^{dafs} ὀργή^{nafsc} αὐτός^{rpgms}. **v.39** καί^{cc} μιμνήσκομαι^{viap3s} ὅτι^{cs} σάρξ^{nnfsc} εἰμί^{vipa3p} πνεῦμα^{nnnsc} πορεύομαι^{vppmnns} καί^{cc} οὐ^{b} ἐπιστρέφω^{vppanns}. **v.40** ποσάκις^{b} παραπικραίνω^{viaa3p} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddfs} ἔρημος^{ndfsc} παροργίζω^{viaa3p} αὐτός^{rpams} ἐν^{pd} γῆ^{ndfsc} ἄνυδρος^{andfsn}. **v.41** καί^{cc} ἐπιστρέφω^{viaa3p} καί^{cc} πειράζω^{viaa3p} ὁ^{dams} θεός^{namsc} καί^{cc} ὁ^{dams} ἅγιος^{anamsn} ὁ^{dgms} Ἰσραήλ^{ngmsp} παροξύνω^{viaa3p}. **v.42** οὐ^{b} μιμνήσκομαι^{viap3p} ὁ^{dgfs} χείρ^{ngfsc} αὐτός^{rpgms} ἡμέρα^{ngfsc} ὅς^{rrgfs} λυτρόω^{viam3s} αὐτός^{rpamp} ἐκ^{pg} χείρ^{ngfsc} θλίβω^{vppagms}. **v.43** ὡς^{cs} τίθημι^{viam3s} ἐν^{pd} Αἴγυπτος^{ndfsp} ὁ^{danp} σημεῖον^{nanpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} τέρας^{nanpc} αὐτός^{rpgms} ἐν^{pd} πεδίον^{ndnsc} Τάνις^{ngfsp}. **v.44** καί^{cc} μεταστρέφω^{viaa3s} εἰς^{pa} αἷμα^{nansc} ὁ^{damp} ποταμός^{nampc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{danp} ὄμβρημα^{nanpc} αὐτός^{rpgmp} ὅπως^{cs} μή^{x} πίνω^{vsaa3p}. **v.45** ἐξαποστέλλω^{viaa3s} εἰς^{pa} αὐτός^{rpamp} κυνόμυια^{nafsc} καί^{cc} κατεσθίω^{viaa3s} αὐτός^{rpamp} καί^{cc} βάτραχος^{namsc} καί^{cc} διαφθείρω^{viaa3s} αὐτός^{rpamp}. **v.46** καί^{cc} δίδωμι^{viaa3s} ὁ^{ddfs} ἐρυσίβη^{ndfsc} ὁ^{dams} καρπός^{namsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{damp} πόνος^{nampc} αὐτός^{rpgmp} ὁ^{ddfs} ἀκρίς^{ndfsc}. **v.47** ἀποκτείνω^{viaa3s} ἐν^{pd} χάλαζα^{ndfsc} ὁ^{dafs} ἄμπελος^{nafsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dafp} συκάμινος^{nafpc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddfs} πάχνη^{ndfsc}. **v.48** καί^{cc} παραδίδωμι^{viaa3s} εἰς^{pa} χάλαζα^{nafsc} ὁ^{danp} κτῆνος^{nanpc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dafs} ὕπαρξις^{nafsc} αὐτός^{rpgmp} ὁ^{ddns} πῦρ^{ndnsc}.

ὀργὴν θυμοῦ αὐτοῦ θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστολὴν δι'
50 ἀγγέλων πονηρῶν. ὡδοποίησεν τρίβον τῇ ὀργῇ αὐτοῦ οὐκ ἐ-
φείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν καὶ τὰ κτήνη αὐτῶν εἰς
51 θάνατον συνέκλεισεν. καὶ ἐπάταξεν πᾶν πρωτότοκον ἐν Αἰγύπτῳ
52 ἀπαρχὴν τῶν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χαμ. καὶ ἀπῆρεν
ὡς πρόβατα τὸν λαὸν αὐτοῦ καὶ ἀνήγαγεν αὐτοὺς ὡς ποίμνιον
53 ἐν ἐρήμῳ. καὶ ὡδήγησεν αὐτοὺς ἐν ἐλπίδι καὶ οὐκ ἐδειλίασαν
54 καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψεν θάλασσα. καὶ εἰσήγαγεν αὐ-
τοὺς εἰς ὅριον ἁγιάσματος αὐτοῦ ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ
55 αὐτοῦ. καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη καὶ ἐκληροδό-
τησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας καὶ κατεσκήνωσεν ἐν τοῖς
56 σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ισραηλ. καὶ ἐπείρασαν καὶ
παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ
57 ἐφυλάξαντο. καὶ ἀπέστρεψαν καὶ ἠσυνθέτησαν καθὼς καὶ οἱ
58 πατέρες αὐτῶν καὶ μετεστράφησαν εἰς τόξον στρεβλόν. καὶ πα-
ρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν
59 παρεζήλωσαν αὐτόν. ἤκουσεν ὁ θεὸς καὶ ὑπερεῖδεν καὶ ἐξου-
60 δένωσεν σφόδρα τὸν Ισραηλ. καὶ ἀπώσατο τὴν σκηνὴν Σηλωμ
61 σκήνωμα αὐτοῦ οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις. καὶ παρέδωκεν
εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖ-
62 ρας ἐχθροῦ. καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ καὶ

---

v.49 ἐξαποστέλλω^{viaa3s} εἰς^{pa} αὐτός^{rpamp} ὀργή^{nafsc} θυμός^{ngmsc} αὐτός^{rpgms} θυμός^{namsc} καί^{cc} ὀργή^{nafsc} καί^{cc} θλῖψις^{nafsc} ἀποστολή^{nafsc} διά^{pg} ἄγγελος^{ngmpc} πονηρός^{angmpn}. **v.50** ὁδοποιέω^{viaa3s} τρίβος^{nafsc} ὁ^{ddfs} ὀργή^{ndfsc} αὐτός^{rpgms} οὐ^{b} φείδομαι^{viam3s} ἀπό^{pg} θάνατος^{ngmsc} ὁ^{dgfp} ψυχή^{ngfpc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{danp} κτῆνος^{nanpc} αὐτός^{rpgmp} εἰς^{pa} θάνατος^{namsc} συγκλείω^{viaa3s}. **v.51** καί^{cc} πατάσσω^{viaa3s} πᾶς^{aiansn} πρωτότοκος^{anansn} ἐν^{pd} Αἴγυπτος^{ndfsp} ἀπαρχή^{nafsc} ὁ^{dgmp} πόνος^{ngmpc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddnp} σκήνωμα^{ndnpc} Χαμ^{ngmsp}. **v.52** καί^{cc} ἀπαίρω^{viaa3s} ὡς^{cs} πρόβατον^{nanpc} ὁ^{dams} λαός^{namsc} αὐτός^{rpgms} καί^{cc} ἀνάγω^{viaa3s} αὐτός^{rpamp} ὡς^{cs} ποίμνιον^{nansc} ἐν^{pd} ἔρημος^{ndfsc}. **v.53** καί^{cc} ὁδηγέω^{viaa3s} αὐτός^{rpamp} ἐν^{pd} ἐλπίς^{ndfsc} καί^{cc} οὐ^{b} δειλιάω^{viaa3p} καί^{cc} ὁ^{damp} ἐχθρός^{anampn} αὐτός^{rpgmp} καλύπτω^{viaa3s} θάλασσα^{nnfsc}. **v.54** καί^{cc} εἰσάγω^{viaa3s} αὐτός^{rpamp} εἰς^{pa} ὅριον^{nansc} ἁγίασμα^{ngnsc} αὐτός^{rpgms} ὄρος^{nansc} οὗτος^{rdans} ὅς^{rrans} κτάομαι^{viam3s} ὁ^{dnfs} δεξιός^{annfsn} αὐτός^{rpgms}. **v.55** καί^{cc} ἐκβάλλω^{viaa3s} ἀπό^{pg} πρόσωπον^{ngnsc} αὐτός^{rpgmp} ἔθνος^{nanpc} καί^{cc} κληροδοτέω^{viaa3s} αὐτός^{rpamp} ἐν^{pd} σχοινίον^{ndnsc} κληροδοσία^{ngfsc} καί^{cc} κατασκηνόω^{viaa3s} ἐν^{pd} ὁ^{ddnp} σκήνωμα^{ndnpc} αὐτός^{rpgmp} ὁ^{dafp} φυλή^{nafpc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp}. **v.56** καί^{cc} πειράζω^{viaa3p} καί^{cc} παραπικραίνω^{viaa3p} ὁ^{dams} θεός^{namsc} ὁ^{dams} ὕψιστος^{anamsn} καί^{cc} ὁ^{danp} μαρτύριον^{nanpc} αὐτός^{rpgms} οὐ^{b} φυλάσσω^{viam3p}. **v.57** καί^{cc} ἀποστρέφω^{viaa3p} καί^{cc} ἀσυνθετέω^{viaa3p} καθώς^{cs} καί^{cc} ὁ^{dnmp} πατήρ^{nnmpc} αὐτός^{rpgmp} καί^{cc} μεταστρέφω^{viap3p} εἰς^{pa} τόξον^{nansc} στρεβλός^{anansn}. **v.58** καί^{cc} παροργίζω^{viaa3p} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddmp} βουνός^{ndmpc} αὐτός^{rpgmp} καί^{cc} ἐν^{pd} ὁ^{ddnp} γλυπτός^{andnpn} αὐτός^{rpgmp} παραζηλόω^{viaa3p} αὐτός^{rpams}. **v.59** ἀκούω^{viaa3s} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} ὑπεροράω^{viaa3s} καί^{cc} ἐξουδενόω^{viaa3s} σφόδρα^{b} ὁ^{dams} Ἰσραήλ^{namsp}. **v.60** καί^{cc} ἀπωθέω^{viam3s} ὁ^{dafs} σκηνή^{nafsc} Σηλωμ^{ngfsp} σκήνωμα^{nansc} αὐτός^{rpgms} ὅς^{b} κατασκηνόω^{viaa3s} ἐν^{pd} ἄνθρωπος^{ndmpc}. **v.61** καί^{cc} παραδίδωμι^{viaa3s} εἰς^{pa} αἰχμαλωσία^{nafsc} ὁ^{dafs} ἰσχύς^{nafsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dafs} καλλονή^{nafsc} αὐτός^{rpgmp} εἰς^{pa} χείρ^{nafpc} ἐχθρός^{angmsn}.

τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν. τοὺς νεανίσκους αὐτῶν κα- 63
τέφαγεν πῦρ καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν. οἱ ἱερεῖς 64
αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.
καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ 65
οἴνου. καὶ ἐπάταξεν τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω ὄνειδος 66
αἰώνιον ἔδωκεν αὐτοῖς. καὶ ἀπώσατο τὸ σκήνωμα Ιωσηφ καὶ τὴν 67
φυλὴν Εφραιμ οὐκ ἐξελέξατο. καὶ ἐξελέξατο τὴν φυλὴν Ιουδα τὸ
ὄρος τὸ Σιων ὃ ἠγάπησεν. καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ 69
ἁγίασμα αὐτοῦ ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. καὶ 70
ἐξελέξατο Δαυιδ τὸν δοῦλον αὐτοῦ καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποι-
μνίων τῶν προβάτων. ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν 71
ποιμαίνειν Ιακωβ τὸν λαὸν αὐτοῦ καὶ Ισραηλ τὴν κληρονομίαν
αὐτοῦ. καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ 72
καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

ψαλμὸς τῷ Ασαφ ὁ θεός ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν **78**
σου ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου ἔθεντο Ιερουσαλημ εἰς ὀ-
πωροφυλάκιον. ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα 2
τοῖς πετεινοῖς τοῦ οὐρανοῦ τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρί-
οις τῆς γῆς. ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ κύκλῳ Ιερουσαλημ 3
καὶ οὐκ ἦν ὁ θάπτων. ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν 4

---

v.62 καί^{cc} συγκλείω^{viaa3s} εἰς^{pa} ῥομφαία^{nafsc} ὁ^{dams} λαός^{namsc} αὐτός^{rpgms} καί^{cc} ὁ^{dafs} κληρονομία^{nafsc} αὐτός^{rpgms} ὑπεροράω^{viaa3s}. **v.63** ὁ^{damp} νεανίσκος^{nampc} αὐτός^{rpgmp} κατεσθίω^{viaa3s} πῦρ^{nnnsc} καί^{cc} ὁ^{dnfp} παρθένος^{nnfpc} αὐτός^{rpgmp} οὐ^{b} πενθέω^{viap3p}. **v.64** ὁ^{dnmp} ἱερεύς^{nnmpc} αὐτός^{rpgmp} ἐν^{pd} ῥομφαία^{ndfsc} πίπτω^{viaa3p} καί^{cc} ὁ^{dnfp} χήρα^{nnfpc} αὐτός^{rpgmp} οὐ^{b} κλαίω^{vifp3p}. **v.65** καί^{cc} ἐξεγείρω^{viap3s} ὡς^{cs} ὁ^{dnms} ὑπνόω^{vppanms} κύριος^{nnmsc} ὡς^{cs} δυνατός^{annmsn} κραιπαλάω^{vpxanms} ἐκ^{pg} οἶνος^{ngmsc}. **v.66** καί^{cc} πατάσσω^{viaa3s} ὁ^{damp} ἐχθρός^{anampn} αὐτός^{rpgms} εἰς^{pa} ὁ^{danp} ὀπίσω^{b} ὄνειδος^{nansc} αἰώνιος^{anansn} δίδωμι^{viaa3s} αὐτός^{rpdmp}. **v.67** καί^{cc} ἀπωθέω^{viam3s} ὁ^{dans} σκήνωμα^{nansc} Ἰωσήφ^{ngmsp} καί^{cc} ὁ^{dafs} φυλή^{nafsc} Εφράιμ^{ngmsp} οὐ^{b} ἐκλέγω^{viam3s}. **v.68** καί^{cc} ἐκλέγω^{viam3s} ὁ^{dafs} φυλή^{nafsc} Ἰούδας^{ngmsp} ὁ^{dans} ὄρος^{nansc} ὁ^{dans} Σιών^{ngfsp} ὅς^{rrans} ἀγαπάω^{viaa3s}. **v.69** καί^{cc} οἰκοδομέω^{viaa3s} ὡς^{cs} μονόκερως^{ngmpc} ὁ^{dans} ἁγίασμα^{nansc} αὐτός^{rpgms} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} θεμελιόω^{viaa3s} αὐτός^{rpafs} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.70** καί^{cc} ἐκλέγω^{viam3s} Δαυίδ^{namsp} ὁ^{dams} δοῦλος^{namsc} αὐτός^{rpgms} καί^{cc} ἀναλαμβάνω^{viaa3s} αὐτός^{rpams} ἐκ^{pg} ὁ^{dgnp} ποίμνιον^{ngnpc} ὁ^{dgnp} πρόβατον^{ngnpc}. **v.71** ἐξόπισθεν^{pg} ὁ^{dgnp} λοχεύω^{vppmgnp} λαμβάνω^{viaa3s} αὐτός^{rpams} ποιμαίνω^{vnpa} Ἰακώβ^{namsp} ὁ^{dams} λαός^{namsc} αὐτός^{rpgms} καί^{cc} Ἰσραήλ^{namsp} ὁ^{dafs} κληρονομία^{nafsc} αὐτός^{rpgms}. **v.72** καί^{cc} ποιμαίνω^{viaa3s} αὐτός^{rpamp} ἐν^{pd} ὁ^{ddfs} ἀκακία^{ndfsc} ὁ^{dgfs} καρδία^{ngfsc} αὐτός^{rpgms} καί^{cc} ἐν^{pd} ὁ^{ddfp} σύνεσις^{ndfpc} ὁ^{dgfp} χείρ^{ngfpc} αὐτός^{rpgms} ὁδηγέω^{viaa3s} αὐτός^{rpamp}. **78. v.1** ψαλμός^{nnmsc} ὁ^{ddms} Ἀσάφ^{ndmsp} ὁ^{dnms} θεός^{nnmsc} ἔρχομαι^{viaa3p} ἔθνος^{nnnpc} εἰς^{pa} ὁ^{dafs} κληρονομία^{nafsc} σύ^{rpgms} μιαίνω^{viaa3p} ὁ^{dams} ναός^{namsc} ὁ^{dams} ἅγιος^{anamsn} σύ^{rpgms} τίθημι^{viam3p} Ἰερουσαλήμ^{nafsp} εἰς^{pa} ὀπωροφυλάκιον^{nansc}. **v.2** τίθημι^{viam3p} ὁ^{danp} θνησιμαῖος^{ananpn} ὁ^{dgmp} δοῦλος^{ngmpc} σύ^{rpgms} βρῶμα^{nanpc} ὁ^{ddnp} πετεινός^{ndnpc} ὁ^{dgms} οὐρανός^{ngmsc} ὁ^{dafp} σάρξ^{nafpc} ὁ^{dgmp} ὅσιος^{angmpn} σύ^{rpgms} ὁ^{ddnp} θηρίον^{ndnpc} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.3** ἐκχέω^{viaa3p} ὁ^{dans} αἷμα^{nansc} αὐτός^{rpgmp} ὡς^{cs} ὕδωρ^{nansc} κύκλος^{pg} Ἰερουσαλήμ^{ngfsp} καί^{cc} οὐ^{b} εἰμί^{viia3s} ὁ^{dnms} θάπτω^{vppanms}.

μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. ἕως πότε κύριε
ὀργισθήσῃ εἰς τέλος ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου. ἔκχεον
τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ γινώσκοντά σε καὶ ἐπὶ βασιλείας
αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. ὅτι κατέφαγον τὸν Ιακωβ
καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν. μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρ-
χαίων ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου ὅτι ἐπτω-
χεύσαμεν σφόδρα. βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν ἕνεκα
τῆς δόξης τοῦ ὀνόματός σου κύριε ῥῦσαι ἡμᾶς καὶ ἱλάσθητι ταῖς
ἁμαρτίαις ἡμῶν ἕνεκα τοῦ ὀνόματός σου. μήποτε εἴπωσιν τὰ
ἔθνη ποῦ ἐστιν ὁ θεὸς αὐτῶν καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώ-
πιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων
σου τοῦ ἐκκεχυμένου. εἰσελθάτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν
πεπεδημένων κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποί-
ησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. ἀπόδος τοῖς γείτοσιν ἡμῶν
ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠ-
νείδισάν σε κύριε. ἡμεῖς δὲ λαός σου καὶ πρόβατα τῆς νομῆς
σου ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα εἰς γενεὰν καὶ γενεὰν
ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

79 εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων μαρτύριον τῷ Ασαφ
ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου. ὁ ποιμαίνων τὸν Ισραηλ πρόσχες
ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ιωσηφ ὁ καθήμενος ἐπὶ τῶν χερουβιν

---

v.4 γίνομαι^{viap1p} ὄνειδος^{nnnsc} ὁ^{ddmp} γείτων^{ndmpc} ἐγώ$^{rpg-p}$ μυκτηρισμός^{nnmsc} καί^{cc} χλευασμός^{nnmsc} ὁ^{ddmp} κύκλος^{pg} ἐγώ$^{rpg-p}$. **v.5** ἕως^{bpp} πότε^{b} κύριος^{nvmsc} ὀργίζω^{vifp2s} εἰς^{pa} τέλος^{nansc} ἐκκαίω^{vifp3s} ὡς^{cs} πῦρ^{nnnsc} ὁ^{dnms} ζῆλος^{nnmsc} σύ^{rpgms}. **v.6** ἐκχέω^{vdaa2s} ὁ^{dafs} ὀργή^{nafsc} σύ^{rpgms} ἐπί^{pa} ἔθνος^{nanpc} ὁ^{danp} μή^{x} γινώσκω^{vppaanp} σύ^{rpams} καί^{cc} ἐπί^{pa} βασιλεία^{nafpc} ὅς^{rrnfp} ὁ^{dans} ὄνομα^{nansc} σύ^{rpgms} οὐ^{b} ἐπικαλέω^{viam3p}. **v.7** ὅτι^{cs} κατεσθίω^{viaa3p} ὁ^{dams} Ἰακώβ^{namsp} καί^{cc} ὁ^{dams} τόπος^{namsc} αὐτός^{rpgms} ἐρημόω^{viaa3p}. **v.8** μή^{x} μιμνήσκομαι^{vsap2s} ἐγώ$^{rpg-p}$ ἀνομία^{ngfpc} ἀρχαῖος^{angfpn} ταχύς^{b} προκαταλαμβάνω^{vdaa3p} ἐγώ$^{rpa-p}$ ὁ^{dnmp} οἰκτιρμός^{nnmpc} σύ^{rpgms} ὅτι^{cs} πτωχεύω^{viaa1p} σφόδρα^{b}. **v.9** βοηθέω^{vdaa2s} ἐγώ$^{rpd-p}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} σωτήρ^{nnmsc} ἐγώ$^{rpg-p}$ ἕνεκα^{pg} ὁ^{dgfs} δόξα^{ngfsc} ὁ^{dgns} ὄνομα^{ngnsc} σύ^{rpgms} κύριος^{nvmsc} ῥύομαι^{vdam2s} ἐγώ$^{rpa-p}$ καί^{cc} ἱλάσκομαι^{vdap2s} ὁ^{ddfp} ἁμαρτία^{ndfpc} ἐγώ$^{rpg-p}$ ἕνεκα^{pg} ὁ^{dgns} ὄνομα^{ngnsc} σύ^{rpgms}. **v.10** μήποτε^{cs} λέγω^{vsaa3p} ὁ^{dnnp} ἔθνος^{nnnpc} ποῦ^{b} εἰμί^{vipa3s} ὁ^{dnms} θεός^{nnmsc} αὐτός^{rpgmp} καί^{cc} γινώσκω^{vdap3s} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc} ἐνώπιον^{pg} ὁ^{dgmp} ὀφθαλμός^{ngmpc} ἐγώ$^{rpg-p}$ ὁ^{dnfs} ἐκδίκησις^{nnfsc} ὁ^{dgns} αἷμα^{ngnsc} ὁ^{dgmp} δοῦλος^{ngmpc} σύ^{rpgms} ὁ^{dgms} ἐκχέω^{vpxpgns}. **v.11** εἰσέρχομαι^{vdaa3s} ἐνώπιον^{pg} σύ^{rpgms} ὁ^{dnms} στεναγμός^{nnmsc} ὁ^{dgmp} πεδάω^{vpxpgmp} κατά^{pa} ὁ^{dafs} μεγαλωσύνη^{nafsc} ὁ^{dgms} βραχίων^{ngmsc} σύ^{rpgms} περιποιέω^{vdam2s} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgmp} θανατόω^{vpxpgmp}. **v.12** ἀποδίδωμι^{vdaa2s} ὁ^{ddmp} γείτων^{ndmpc} ἐγώ$^{rpg-p}$ ἑπταπλασίων^{ananpn} εἰς^{pa} ὁ^{dams} κόλπος^{namsc} αὐτός^{rpgmp} ὁ^{dams} ὀνειδισμός^{namsc} αὐτός^{rpgmp} ὅς^{rrams} ὀνειδίζω^{viaa3p} σύ^{rpams} κύριος^{nvmsc}. **v.13** ἐγώ$^{rpn-p}$ δέ^{cc} λαός^{nnmsc} σύ^{rpgms} καί^{cc} πρόβατον^{nnnpc} ὁ^{dgfs} νομή^{ngfsc} σύ^{rpgms} ἀνθομολογέομαι^{vifm1p} σύ^{rpdms} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} εἰς^{pa} γενεά^{nafsc} καί^{cc} γενεά^{nafsc} ἐξαγγέλλω^{vifa1p} ὁ^{dafs} αἴνεσις^{nafsc} σύ^{rpgms}. **79. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pg} ὁ^{dgnp} ἀλλοιόω^{vpfpgnp} μαρτύριον^{nnnsc} ὁ^{ddms} Ἀσάφ^{ndmsp} ψαλμός^{nnmsc} ὑπέρ^{pg} ὁ^{dgms} Ἀσσύριος^{ngmsp}.

ἐμφάνηθι. ἐναντίον Εφραιμ καὶ Βενιαμιν καὶ Μανασση ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. 3
ὁ θεός ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα. 4
κύριε ὁ θεὸς τῶν δυνάμεων ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν 5
τοῦ δούλου σου. ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων καὶ ποτιεῖς ἡμᾶς 6
ἐν δάκρυσιν ἐν μέτρῳ. ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν 7
ἡμῶν καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. κύριε ὁ θεὸς τῶν 8
δυνάμεων ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ
σωθησόμεθα διάψαλμα. ἄμπελον ἐξ Αἰγύπτου μετῆρας ἐξέβαλες 9
ἔθνη καὶ κατεφύτευσας αὐτήν. ὡδοποίησας ἔμπροσθεν αὐτῆς 10
καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς καὶ ἐπλήσθη ἡ γῆ. ἐκάλυψεν 11
ὄρη ἡ σκιὰ αὐτῆς καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ
θεοῦ. ἐξέτεινεν τὰ κλήματα αὐτῆς ἕως θαλάσσης καὶ ἕως ποτα- 12
μοῦ τὰς παραφυάδας αὐτῆς. ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς 13
καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. ἐλυ- 14
μήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ καὶ μονιὸς ἄγριος κατενεμήσατο
αὐτήν. ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή ἐπίβλεψον ἐξ οὐρα- 15
νοῦ καὶ ἴδὲ καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην. καὶ κατάρτισαι 16
αὐτήν ἣν ἐφύτευσεν ἡ δεξιά σου καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκρα-
ταίωσας σεαυτῷ. ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη ἀπὸ 17

---

v.2 ὁ^{dnms} ποιμαίνω^{vppanms} ὁ^{dams} Ἰσραήλ^{namsp} προσέχω^{vdaa2s} ὁ^{dnms} ὁδηγέω^{vppanms} ὡσεί^{x} πρόβατον^{nanpc} ὁ^{dams} Ἰωσήφ^{namsp} ὁ^{dnms} κάθημαι^{vppmnms} ἐπί^{pg} ὁ^{dgnp} χερούβ^{ngnpc} ἐμφαίνω^{vdaa2s}.
v.3 ἐναντίον^{pg} Εφράιμ^{ngmsp} καί^{cc} Βενιαμίν^{ngmsp} καί^{cc} Μανασσῆ^{ngmsp} ἐξεγείρω^{vdaa2s} ὁ^{dafs} δυναστεία^{nafsc} σύ^{rpgms} καί^{cc} ἔρχομαι^{vdaa2s} εἰς^{pa} ὁ^{dans} σῴζω^{vnaa} ἐγώ$^{rpa-p}$. **v.4** ὁ^{dnms} θεός^{nnmsc} ἐπιστρέφω^{vdaa2s} ἐγώ$^{rpa-p}$ καί^{cc} ἐπιφαίνω^{vdaa2s} ὁ^{dans} πρόσωπον^{nansc} σύ^{rpgms} καί^{cc} σῴζω^{vifp1p}.
v.5 κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} ἕως^{bpp} πότε^{b} ὀργίζω^{vspp2s} ἐπί^{pa} ὁ^{dafs} προσευχή^{nafsc} ὁ^{dgms} δοῦλος^{ngmsc} σύ^{rpgms}. **v.6** ψωμίζω^{vifa2s} ἐγώ$^{rpa-p}$ ἄρτος^{namsc} δάκρυ^{ngnpc} καί^{cc} ποτίζω^{vifa2s} ἐγώ$^{rpa-p}$ ἐν^{pd} δάκρυ^{ndnpc} ἐν^{pd} μέτρον^{ndnsc}. **v.7** τίθημι^{viam2s} ἐγώ$^{rpa-p}$ εἰς^{pa} ἀντιλογία^{nafsc} ὁ^{ddmp} γείτων^{ndmpc} ἐγώ$^{rpg-p}$ καί^{cc} ὁ^{dnmp} ἐχθρός^{annmpn} ἐγώ$^{rpg-p}$ μυκτηρίζω^{viaa3p} ἐγώ$^{rpa-p}$. **v.8** κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} ἐπιστρέφω^{vdaa2s} ἐγώ$^{rpa-p}$ καί^{cc} ἐπιφαίνω^{vdaa2s} ὁ^{dans} πρόσωπον^{nansc} σύ^{rpgms} καί^{cc} σῴζω^{vifp1p} διάψαλμα^{nnnsc}. **v.9** ἄμπελος^{nafsc} ἐκ^{pg} Αἴγυπτος^{ngfsp} μεταίρω^{viaa2s} ἐκβάλλω^{viaa2s} ἔθνος^{nanpc} καί^{cc} καταφυτεύω^{viaa2s} αὐτός^{rpafs}.
v.10 ὁδοποιέω^{viaa2s} ἔμπροσθεν^{pg} αὐτός^{rpgfs} καί^{cc} καταφυτεύω^{viaa2s} ὁ^{dafp} ῥίζα^{nafpc} αὐτός^{rpgfs} καί^{cc} πίμπλημι^{viap3s} ὁ^{dnfs} γῆ^{nnfsc}. **v.11** καλύπτω^{viaa3s} ὄρος^{nanpc} ὁ^{dnfs} σκιά^{nnfsc} αὐτός^{rpgfs} καί^{cc} ὁ^{dnfp} ἀναδενδράς^{nnfpc} αὐτός^{rpgfs} ὁ^{dafp} κέδρος^{nafpc} ὁ^{dgms} θεός^{ngmsc}. **v.12** ἐκτείνω^{viaa3s} ὁ^{danp} κλῆμα^{nanpc} αὐτός^{rpgfs} ἕως^{pg} θάλασσα^{ngfsc} καί^{cc} ἕως^{pg} ποταμός^{ngmsc} ὁ^{dafp} παραφυάς^{nafpc} αὐτός^{rpgfs}. **v.13** ἵνα^{cs} τίς^{rqnns} καθαιρέω^{viaa2s} ὁ^{dams} φραγμός^{namsc} αὐτός^{rpgfs} καί^{cc} τρυγάω^{vipa3p} αὐτός^{rpafs} πᾶς^{ainmpn} ὁ^{dnmp} παραπορεύομαι^{vppmnmp} ὁ^{dafs} ὁδός^{nafsc}. **v.14** λυμαίνω^{viam3s} αὐτός^{rpafs} σῦς^{nnmsc} ἐκ^{pg} δρυμός^{ngmsc} καί^{cc} μονιός^{annmsn} ἄγριος^{annmsn} κατανέμω^{viam3s} αὐτός^{rpafs}. **v.15** ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} ἐπιστρέφω^{vdaa2s} δή^{x} ἐπιβλέπω^{vdaa2s} ἐκ^{pg} οὐρανός^{ngmsc} καί^{cc} ὁράω^{vdaa2s} καί^{cc} ἐπισκέπτομαι^{vdam2s} ὁ^{dafs} ἄμπελος^{nafsc} οὗτος^{rdafs}.
v.16 καί^{cc} καταρτίζω^{vdam2s} αὐτός^{rpafs} ὅς^{rrafs} φυτεύω^{viaa3s} ὁ^{dnfs} δεξιός^{annfsn} σύ^{rpgms} καί^{cc} ἐπί^{pa} υἱός^{namsc} ἄνθρωπος^{ngmsc} ὅς^{rrams} κραταιόω^{viaa2s} σεαυτοῦ^{rxdms}.

18 ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται. γενηθήτω ἡ χείρ
σου ἐπ᾽ ἄνδρα δεξιᾶς σου καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας
19 σεαυτῷ. καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ ζωώσεις ἡμᾶς καὶ τὸ ὄνο-
20 μά σου ἐπικαλεσόμεθα. κύριε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον
ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα.

80, 2 εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τῷ Ασαφ ψαλμός. ἀγαλλιᾶσθε
3 τῷ θεῷ τῷ βοηθῷ ἡμῶν ἀλαλάξατε τῷ θεῷ Ιακωβ. λάβετε ψαλμὸν
4 καὶ δότε τύμπανον ψαλτήριον τερπνὸν μετὰ κιθάρας. σαλπί-
5 σατε ἐν νεομηνίᾳ σάλπιγγι ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν. ὅτι
6 πρόσταγμα τῷ Ισραηλ ἐστὶν καὶ κρίμα τῷ θεῷ Ιακωβ. μαρτύριον
ἐν τῷ Ιωσηφ ἔθετο αὐτὸν ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου
7 γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν. ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶ-
8 τον αὐτοῦ αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν. ἐν θλίψει
ἐπεκαλέσω με καὶ ἐρρυσάμην σε ἐπήκουσά σου ἐν ἀποκρύφῳ
9 καταιγίδος ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας διάψαλμα. ἄ-
κουσον λαός μου καὶ διαμαρτύρομαί σοι Ισραηλ ἐὰν ἀκούσῃς
10 μου. οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος οὐδὲ προσκυνήσεις θεῷ
11 ἀλλοτρίῳ. ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου ὁ ἀναγαγών σε ἐκ γῆς
12 Αἰγύπτου πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό. καὶ οὐκ
ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου καὶ Ισραηλ οὐ προσέσχεν

---

v.17 ἐμπυρίζω^{vpxpnfs} πῦρ^{ndnsc} καί^{cc} ἀνασκάπτω^{vpxpnfs} ἀπό^{pg} ἐπιτίμησις^{ngfsc} ὁ^{dgns} πρόσωπον^{ngnsc} σύ^{rpgms} ἀπόλλυμι^{vifm3p}. **v.18** γίνομαι^{vdap3s} ὁ^{dnfs} χείρ^{nnfsc} σύ^{rpgms} ἐπί^{pa} ἀνήρ^{namsc} δεξιός^{angfsn} σύ^{rpgms} καί^{cc} ἐπί^{pa} υἱός^{namsc} ἄνθρωπος^{ngmsc} ὅς^{rrams} κραταιόω^{viaa2s} σεαυτοῦ^{rxdms}. **v.19** καί^{cc} οὐ^{b} μή^{x} ἀφίστημι^{vsaa1p} ἀπό^{pg} σύ^{rpgms} ζωόω^{vifa2s} ἐγώ$^{rpa-p}$ καί^{cc} ὁ^{dans} ὄνομα^{nansc} σύ^{rpgms} ἐπικαλέω^{vifm1p}. **v.20** κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} ἐπιστρέφω^{vdaa2s} ἐγώ$^{rpa-p}$ καί^{cc} ἐπιφαίνω^{vdaa2s} ὁ^{dans} πρόσωπον^{nansc} σύ^{rpgms} καί^{cc} σῴζω^{vifp1p}. **80. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pg} ὁ^{dgfp} ληνός^{ngfpc} ὁ^{ddms} Ἀσάφ^{ndmsp} ψαλμός^{nnmsc}. **v.2** ἀγαλλιάω$^{vdpm2'pvdam2p}$ ὁ^{ddms} θεός^{ndmsc} ὁ^{ddms} βοηθός^{ndmsc} ἐγώ$^{rpg-p}$ ἀλαλάζω^{vdaa2p} ὁ^{ddms} θεός^{ndmsc} Ἰακώβ^{ngmsp}. **v.3** λαμβάνω^{vdaa2p} ψαλμός^{namsc} καί^{cc} δίδωμι^{vdaa2p} τύμπανον^{nansc} ψαλτήριον^{nansc} τερπνός^{anansn} μετά^{pg} κιθάρα^{ngfsc}. **v.4** σαλπίζω^{vdaa2p} ἐν^{pd} νεομηνία^{ndfsc} σάλπιγξ^{ndfsc} ἐν^{pd} εὔσημος^{andfsn} ἡμέρα^{ndfsc} ἑορτή^{ngfsc} ἐγώ$^{rpg-p}$. **v.5** ὅτι^{cs} πρόσταγμα^{nnnsc} ὁ^{ddms} Ἰσραήλ^{ndmsp} εἰμί^{vipa3s} καί^{cc} κρίμα^{nnnsc} ὁ^{ddms} θεός^{ndmsc} Ἰακώβ^{ndmsp}. **v.6** μαρτύριον^{nansc} ἐν^{pd} ὁ^{ddms} Ἰωσήφ^{ndmsp} τίθημι^{viam3s} αὐτός^{rpams} ἐν^{pd} ὁ^{ddns} ἐξέρχομαι^{vnaa} αὐτός^{rpams} ἐκ^{pg} γῆ^{ngfsc} Αἴγυπτος^{ngfsp} γλῶσσα^{nafsc} ὅς^{rrafs} οὐ^{b} γινώσκω^{viaa3s} ἀκούω^{viaa3s}. **v.7** ἀφίστημι^{viaa3s} ἀπό^{pg} ἄρσις^{ngfpc} ὁ^{dams} νῶτος^{namsc} αὐτός^{rpgms} ὁ^{dnfp} χείρ^{nnfpc} αὐτός^{rpgms} ἐν^{pd} ὁ^{ddms} κόφινος^{ndmsc} δουλεύω^{viaa3p}. **v.8** ἐν^{pd} θλῖψις^{ndfsc} ἐπικαλέω^{viam2s} ἐγώ^{rpams} καί^{cc} ῥύομαι^{viam1s} σύ$^{rpa-s}$ ἐπακούω^{viaa1s} σύ$^{rpg-s}$ ἐν^{pd} ἀπόκρυφος^{andnsn} καταιγίς^{ngfsc} δοκιμάζω^{viaa1s} σύ$^{rpa-s}$ ἐπί^{pg} ὕδωρ^{ngnsc} ἀντιλογία^{ngfsc} διάψαλμα^{nnnsc}. **v.9** ἀκούω^{vdaa2s} λαός^{nnmsc} ἐγώ^{rpgms} καί^{cc} διαμαρτύρομαι^{vipm1s} σύ$^{rpd-s}$ Ἰσραήλ^{nvmsp} ἐάν^{cs} ἀκούω^{vsaa2s} ἐγώ^{rpgms}. **v.10** οὐ^{b} εἰμί^{vifm3s} ἐν^{pd} σύ$^{rpd-s}$ θεός^{nnmsc} πρόσφατος^{annmsn} οὐδέ^{cc} προσκυνέω^{vifa2s} θεός^{ndmsc} ἀλλότριος^{andmsn}. **v.11** ἐγώ^{rpnms} γάρ^{cc} εἰμί^{vipa1s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg-s}$ ὁ^{dnms} ἀνάγω^{vpaanms} σύ$^{rpa-s}$ ἐκ^{pg} γῆ^{ngfsc} Αἴγυπτος^{ngfsp} πλατύνω^{vdaa2s} ὁ^{dans} στόμα^{nansc} σύ$^{rpg-s}$ καί^{cc} πληρόω^{vifa1s} αὐτός^{rpans}.

μοι. καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν 13
αὐτῶν πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. εἰ ὁ λαός μου 14
ἤκουσέν μου Ισραηλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη. ἐν τῷ μηδενὶ 15
ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς
ἐπέβαλον τὴν χεῖρά μου. οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτῷ καὶ 16
ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. καὶ ἐψώμισεν αὐτοὺς ἐκ 17
στέατος πυροῦ καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

ψαλμὸς τῷ Ασαφ ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν ἐν μέσῳ δὲ **81**
θεοὺς διακρίνει. ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρ- 2
τωλῶν λαμβάνετε διάψαλμα. κρίνατε ὀρφανὸν καὶ πτωχόν τα- 3
πεινὸν καὶ πένητα δικαιώσατε. ἐξέλεσθε πένητα καὶ πτωχόν ἐκ 4
χειρὸς ἁμαρτωλοῦ ῥύσασθε. οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν ἐν σκό- 5
τει διαπορεύονται σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς. ἐγὼ 6
εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. ὑμεῖς δὲ ὡς ἄνθρωποι 7
ἀποθνῄσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. ἀνάστα ὁ θεός 8
κρῖνον τὴν γῆν ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσιν τοῖς ἔθνεσιν.

ᾠδὴ ψαλμοῦ τῷ Ασαφ. ὁ θεός τίς ὁμοιωθήσεταί σοι μὴ σιγή- **82**, 2
σῃς μηδὲ καταπραΰνῃς ὁ θεός. ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν 3
καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. ἐπὶ τὸν λαόν σου κατε- 4
πανουργεύσαντο γνώμην καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

---

v.12 καί^{cc} οὐ^{b} ἀκούω^{viaa3s} ὁ^{dnms} λαός^{nnmsc} ἐγώ^{rpgms} ὁ^{dgfs} φωνή^{ngfsc} ἐγώ^{rpgms} καί^{cc} Ἰσραήλ^{nnmsp} οὐ^{b} προσέχω^{viaa3s} ἐγώ^{rpdms}. **v.13** καί^{cc} ἐξαποστέλλω^{viaa1s} αὐτός^{rpamp} κατά^{pa} ὁ^{danp} ἐπιτήδευμα^{nanpc} ὁ^{dgfp} καρδία^{ngfpc} αὐτός^{rpgmp} πορεύομαι^{vifm3p} ἐν^{pd} ὁ^{ddnp} ἐπιτήδευμα^{ndnpc} αὐτός^{rpgmp}. **v.14** εἰ^{cs} ὁ^{dnms} λαός^{nnmsc} ἐγώ^{rpgms} ἀκούω^{viaa3s} ἐγώ^{rpgms} Ἰσραήλ^{nnmsp} ὁ^{ddfp} ὁδός^{ndfpc} ἐγώ^{rpgms} εἰ^{cs} πορεύομαι^{viap3s}. **v.15** ἐν^{pd} ὁ^{ddms} μηδείς^{ridns} ἄν^{x} ὁ^{damp} ἐχθρός^{anampn} αὐτός^{rpgmp} ταπεινόω^{viaa1s} καί^{cc} ἐπί^{pa} ὁ^{damp} θλίβω^{vppaamp} αὐτός^{rpamp} ἐπιβάλλω^{viaa3p} ὁ^{dafs} χείρ^{nafsc} ἐγώ^{rpgms}. **v.16** ὁ^{dnmp} ἐχθρός^{annmpn} κύριος^{ngmsc} ψεύδομαι^{viam3p} αὐτός^{rpdms} καί^{cc} εἰμί^{vifm3s} ὁ^{dnms} καιρός^{nnmsc} αὐτός^{rpgmp} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.17** καί^{cc} ψωμίζω^{viaa3s} αὐτός^{rpamp} ἐκ^{pg} στέαρ^{ngnsc} πυρός^{ngmsc} καί^{cc} ἐκ^{pg} πέτρα^{ngfsc} μέλι^{nafsc} χορτάζω^{viaa3s} αὐτός^{rpamp}. **81. v.1** ψαλμός^{nnmsc} ὁ^{ddms} Ἀσάφ^{ndmsp} ὁ^{dnms} θεός^{nnmsc} ἵστημι^{viaa3s} ἐν^{pd} συναγωγή^{ndfsc} θεός^{ngmpc} ἐν^{pd} μέσος^{andnsn} δέ^{cc} θεός^{nampc} διακρίνω^{vipa3s}. **v.2** ἕως^{bpp} πότε^{b} κρίνω^{vipa2p} ἀδικία^{nafsc} καί^{cc} πρόσωπον^{nanpc} ἁμαρτωλός^{angmpn} λαμβάνω^{vipa2p} διάψαλμα^{nnnsc}. **v.3** κρίνω^{vdaa2p} ὀρφανός^{anamsn} καί^{cc} πτωχός^{anamsn} ταπεινός^{anamsn} καί^{cc} πένης^{namsc} δικαιόω^{vdaa2p}. **v.4** ἐξαιρέω^{vdam2p} πένης^{namsc} καί^{cc} πτωχός^{anamsn} ἐκ^{pg} χείρ^{ngfsc} ἁμαρτωλός^{angmsn} ῥύομαι^{vdam2p}. **v.5** οὐ^{b} γινώσκω^{viaa3p} οὐδέ^{cc} συνίημι^{viaa3p} ἐν^{pd} σκότος^{ndnsc} διαπορεύομαι^{vipm3p} σαλεύω^{vifp3p} πᾶς^{ainnpn} ὁ^{dnnp} θεμέλιον^{nnnpc} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.6** ἐγώ^{rpnms} λέγω^{viaa1s} θεός^{nnmpc} εἰμί^{vipa2p} καί^{cc} υἱός^{nnmpc} ὕψιστος^{angmsn} πᾶς^{ainmpn}. **v.7** σύ$^{rpn-p}$ δέ^{cc} ὡς^{cs} ἄνθρωπος^{nnmpc} ἀποθνῄσκω^{vipa2p} καί^{cc} ὡς^{cs} εἷς^{acnmsn} ὁ^{dgmp} ἄρχων^{ngmpc} πίπτω^{vipa2p}. **v.8** ἀνίστημι^{vdaa2s} ὁ^{dnms} θεός^{nnmsc} κρίνω^{vdaa2s} ὁ^{dafs} γῆ^{nafsc} ὅτι^{cs} σύ^{rpnms} κατακληρονομέω^{vifa2s} ἐν^{pd} πᾶς^{aidnpn} ὁ^{ddnp} ἔθνος^{ndnpc}. **82. v.1** ᾠδή^{nnfsc} ψαλμός^{ngmsc} ὁ^{ddms} Ἀσάφ^{ndmsp}. **v.2** ὁ^{dnms} θεός^{nnmsc} τίς^{rqnms} ὁμοιόω^{vifp3s} σύ^{rpdms} μή^{x} σιγάω^{vsaa2s} μηδέ^{x} καταπραΰνω^{vsaa2s} ὁ^{dnms} θεός^{nnmsc}. **v.3** ὅτι^{cs} ἰδού^{i} ὁ^{dnmp} ἐχθρός^{annmpn} σύ^{rpgms} ἠχέω^{viaa3p} καί^{cc} ὁ^{dnmp} μισέω^{vppanmp} σύ^{rpams} αἴρω^{viaa3p} κεφαλή^{nafsc}. **v.4** ἐπί^{pa} ὁ^{dams} λαός^{namsc} σύ^{rpgms} καταπανουργεύομαι^{viam3p} γνώμη^{nafsc} καί^{cc} βουλεύω^{viam3p} κατά^{pg} ὁ^{dgmp} ἅγιος^{angmpn} σύ^{rpgms}.

εἶπαν δεῦτε καὶ ἐξολεθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ισραηλ ἔτι. ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό κατὰ σοῦ διαθήκην διέθεντο. τὰ σκηνώματα τῶν Ιδουμαίων καὶ οἱ Ισμαηλῖται Μωαβ καὶ οἱ Αγαρηνοί. Γεβαλ καὶ Αμμων καὶ Αμαληκ καὶ ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον. καὶ γὰρ καὶ Ασσουρ συμπαρεγένετο μετ᾽ αὐτῶν ἐγενήθησαν εἰς ἀντίλημψιν τοῖς υἱοῖς Λωτ διάψαλμα. ποίησον αὐτοῖς ὡς τῇ Μαδιαμ καὶ τῷ Σισαρα ὡς ὁ Ιαβιν ἐν τῷ χειμάρρῳ Κισων. ἐξωλεθρεύθησαν ἐν Αενδωρ ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ωρηβ καὶ Ζηβ καὶ Ζεβεε καὶ Σαλμανα πάντας τοὺς ἄρχοντας αὐτῶν. οἵτινες εἶπαν κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ θεοῦ. ὁ θεός μου θοῦ αὐτοὺς ὡς τροχόν ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν ὡς εἰ φλὸξ κατακαύσαι ὄρη. οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου καὶ ἐν τῇ ὀργῇ σου ταράξεις αὐτούς. πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας καὶ ζητήσουσιν τὸ ὄνομά σου κύριε. αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν. καὶ γνώτωσαν ὅτι ὄνομά σοι κύριος σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

83. 2 εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορε ψαλμός. ὡς ἀ-
3 γαπητὰ τὰ σκηνώματά σου κύριε τῶν δυνάμεων. ἐπιποθεῖ καὶ

---

v.5 λέγω^{viaa3p} δεῦτε^{b} καί^{cc} ἐξολεθρεύω^{vsaa1p} αὐτός^{rpamp} ἐκ^{pg} ἔθνος^{ngnsc} καί^{cc} οὐ^{b} μή^{x} μιμνῄσκομαι^{vsap3s} ὁ^{dnns} ὄνομα^{nnnsc} Ἰσραήλ^{ngmsp} ἔτι^{b}. **v.6** ὅτι^{cs} βουλεύω^{viam3p} ἐν^{pd} ὁμόνοια^{ndfsc} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rpans} κατά^{pg} σύ^{rpgms} διαθήκη^{nafsc} διατίθημι^{viam3p}. **v.7** ὁ^{dnnp} σκήνωμα^{nnnpc} ὁ^{dgmp} Ιδουμαίος^{ngmpp} καί^{cc} ὁ^{dnmp} Ισμαηλίτης^{nnmpp} Μωαβ^{nnfsp} καί^{cc} ὁ^{dnmp} Αγαρηνός^{nnmpp}. **v.8** Γεβαλ^{nnmsp} καί^{cc} Αμμων^{nnmsp} καί^{cc} Αμαληκ^{nnmsp} καί^{cc} ἀλλόφυλος^{annmpn} μετά^{pg} ὁ^{dgmp} κατοικέω^{vppagmp} Τύρος^{nafsp}. **v.9** καί^{cc} γάρ^{cc} καί^{b} Ασσουρ^{nnmsp} συμπαραγίνομαι^{viam3s} μετά^{pg} αὐτός^{rpgmp} γίνομαι^{viap3p} εἰς^{pa} ἀντίλημψις^{nafsc} ὁ^{ddmp} υἱός^{ndmpc} Λώτ^{ngmsp} διάψαλμα^{nnnsc}. **v.10** ποιέω^{vdaa2s} αὐτός^{rpdmp} ὡς^{cs} ὁ^{ddfs} Μαδιάμ^{ndfsp} καί^{cc} ὁ^{ddms} Σισαρα^{ndmsp} ὡς^{cs} ὁ^{dnms} Ιαβιν^{nnmsp} ἐν^{pd} ὁ^{ddms} χείμαρρος^{ndmsc} Κισων^{ngfsp}. **v.11** ἐξολεθρεύω^{viap3p} ἐν^{pd} Αενδωρ^{nd-p} γίνομαι^{viap3p} ὡσεί^{x} κόπρος^{nnfsc} ὁ^{ddfs} γῆ^{ndfsc}. **v.12** τίθημι^{vdam2s} ὁ^{damp} ἄρχων^{nampc} αὐτός^{rpgmp} ὡς^{cs} ὁ^{dams} Ωρηβ^{namsp} καί^{cc} Ζηβ^{namsp} καί^{cc} Ζεβεε^{namsp} καί^{cc} Σαλμανα^{namsp} πᾶς^{aiampn} ὁ^{damp} ἄρχων^{nampc} αὐτός^{rpgmp}. **v.13** ὅστις^{rrnmp} λέγω^{viaa3p} κληρονομέω^{vsaa1p} ἑαυτοῦ^{rxdmp} ὁ^{dans} ἁγιαστήριον^{nansc} ὁ^{dgms} θεός^{ngmsc}. **v.14** ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-s}$ τίθημι^{vdam2s} αὐτός^{rpamp} ὡς^{cs} τροχός^{namsc} ὡς^{cs} καλάμη^{nafsc} κατά^{pa} πρόσωπον^{nansc} ἄνεμος^{ngmsc}. **v.15** ὡσεί^{x} πῦρ^{nnnsc} ὅς^{rrnns} διαφλέγω^{vifa3s} δρυμός^{namsc} ὡς^{cs} εἰ^{cs} φλόξ^{nnfsc} κατακαίω^{voaa3s} ὄρος^{nanpc}. **v.16** οὕτως^{b} καταδιώκω^{vifa2s} αὐτός^{rpamp} ἐν^{pd} ὁ^{ddfs} καταιγίς^{ndfsc} σύ^{rpgms} καί^{cc} ἐν^{pd} ὁ^{ddfs} ὀργή^{ndfsc} σύ^{rpgms} ταράσσω^{vifa2s} αὐτός^{rpamp}. **v.17** πληρόω^{vdaa2s} ὁ^{danp} πρόσωπον^{nanpc} αὐτός^{rpgmp} ἀτιμία^{ngfsc} καί^{cc} ζητέω^{vifa3p} ὁ^{dans} ὄνομα^{nansc} σύ^{rpgms} κύριος^{nvmsc}. **v.18** αἰσχύνω^{vdap3p} καί^{cc} ταράσσω^{vdap3p} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ὁ^{dgms} αἰών^{ngmsc} καί^{cc} ἐντρέπω^{vdap3p} καί^{cc} ἀπόλλυμι^{vdam3p}. **v.19** καί^{cc} γινώσκω^{vdaa3p} ὅτι^{cs} ὄνομα^{nnnsc} σύ^{rpdms} κύριος^{nnmsc} σύ^{rpnms} μόνος^{annmsn} ὕψιστος^{annmsn} ἐπί^{pa} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc}. **83. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὑπέρ^{pg} ὁ^{dgfp} ληνός^{ngfpc} ὁ^{ddmp} υἱός^{ndmpc} Κόρε^{ngmsp} ψαλμός^{nnmsc}. **v.2** ὡς^{cs} ἀγαπητός^{annnpn} ὁ^{dnnp} σκήνωμα^{nnnpc} σύ^{rpgms} κύριος^{nvmsc} ὁ^{dgfp} δύναμις^{ngfpc}.

ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου ἡ καρδία μου καὶ
ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα. καὶ γὰρ στρουθίον 4
εὗρεν ἑαυτῷ οἰκίαν καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ οὗ θήσει τὰ νοσσία
αὐτῆς τὰ θυσιαστήριά σου κύριε τῶν δυνάμεων ὁ βασιλεύς μου
καὶ ὁ θεός μου. μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου εἰς 5
τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσίν σε διάψαλμα. μακάριος ἀ- 6
νήρ οὗ ἐστιν ἡ ἀντίλημψις αὐτοῦ παρὰ σοῦ κύριε ἀναβάσεις ἐν τῇ
καρδίᾳ αὐτοῦ διέθετο. ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος εἰς τόπον 7
ὃν ἔθετο καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν. πορεύσονται ἐκ 8
δυνάμεως εἰς δύναμιν ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν Σιων. κύριε 9
ὁ θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι ὁ
θεὸς Ιακωβ διάψαλμα. ὑπερασπιστὰ ἡμῶν ἰδέ ὁ θεός καὶ ἐπίβλε- 10
ψον ἐπὶ τὸ πρόσωπον τοῦ χριστοῦ σου. ὅτι κρείσσων ἡμέρα μία 11
ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας ἐξελεξάμην παραρριπτεῖσθαι
ἐν τῷ οἴκῳ τοῦ θεοῦ μᾶλλον ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν.
ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ κύριος ὁ θεός χάριν καὶ δόξαν δώ- 12
σει κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοὺς πορευομένους ἐν ἀκακίᾳ.
κύριε τῶν δυνάμεων μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. 13

εἰς τὸ τέλος τοῖς υἱοῖς Κορε ψαλμός. εὐδόκησας κύριε τὴν **84**, 2
γῆν σου ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ιακωβ. ἀφῆκας τὰς ἀνο- 3

---

v.3 ἐπιποθέω^{vipa3s} καί^{cc} ἐκλείπω^{vipa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ εἰς^{pa} ὁ^{dafp} αὐλή^{nafpc} ὁ^{dgms} κύριος^{ngmsc} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnfs} σάρξ^{nnfsc} ἐγώ$^{rpg-s}$ ἀγαλλιάω^{viam3p} ἐπί^{pa} θεός^{namsc} ζάω^{vppaams}. **v.4** καί^{cc} γάρ^{cc} στρουθίον^{nnnsc} εὑρίσκω^{viaa3s} ἑαυτοῦ^{rxdms} οἰκία^{nafsc} καί^{cc} τρυγών^{nnfsc} νοσσία^{nafsc} ἑαυτοῦ^{rxdfs} ὅς^{b} τίθημι^{vifa3s} ὁ^{danp} νοσσίον^{nanpc} αὐτός^{rpgfs} ὁ^{danp} θυσιαστήριον^{nanpc} σύ^{rpgms} κύριος^{nvmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} ὁ^{dnms} βασιλεύς^{nnmsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-s}$. **v.5** μακάριος^{annmpn} ὁ^{dnmp} κατοικέω^{vppanmp} ἐν^{pd} ὁ^{ddms} οἶκος^{ndmsc} σύ^{rpgms} εἰς^{pa} ὁ^{damp} αἰών^{nampc} ὁ^{dgmp} αἰών^{ngmpc} αἰνέω^{vifa3p} σύ^{rpams} διάψαλμα^{nnnsc}. **v.6** μακάριος^{annmsn} ἀνήρ^{nnmsc} ὅς^{rrgnms} εἰμί^{vipa3s} ὁ^{dnfs} ἀντίλημψις^{nnfsc} αὐτός^{rpgms} παρά^{pg} σύ^{rpgms} κύριος^{nvmsc} ἀνάβασις^{nafpc} ἐν^{pd} ὁ^{ddfs} καρδία^{ndfsc} αὐτός^{rpgms} διατίθημι^{viam3s}. **v.7** ἐν^{pd} ὁ^{ddfs} κοιλάς^{ndfsc} ὁ^{dgms} κλαυθμών^{ngmsc} εἰς^{pa} τόπος^{namsc} ὅς^{rrams} τίθημι^{viam3s} καί^{cc} γάρ^{cc} εὐλογία^{nafpc} δίδωμι^{vifa3s} ὁ^{dnms} νομοθετέω^{vppanms}. **v.8** πορεύομαι^{vifm3p} ἐκ^{pg} δύναμις^{ngfsc} εἰς^{pa} δύναμις^{nafsc} ὁράω^{vifp3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgmp} θεός^{ngmpc} ἐν^{pd} Σιών^{ndfsp}. **v.9** κύριος^{nvmsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} εἰσακούω^{vdaa2s} ὁ^{dgfs} προσευχή^{ngfsc} ἐγώ$^{rpg-s}$ ἐνωτίζομαι^{vdam2s} ὁ^{dnms} θεός^{nnmsc} Ἰακώβ^{ngmsp} διάψαλμα^{nnnsc}. **v.10** ὑπερασπιστής^{nvmsc} ἐγώ$^{rpg-p}$ ὁράω^{vdaa2s} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} ἐπιβλέπω^{vdaa2s} ἐπί^{pa} ὁ^{dans} πρόσωπον^{nansc} ὁ^{dgms} χριστός^{angmsn} σύ^{rpgms}. **v.11** ὅτι^{cs} ἀγαθός^{annfsc} ἡμέρα^{nnfsc} εἷς^{acnfsn} ἐν^{pd} ὁ^{ddfp} αὐλή^{ndfpc} σύ^{rpgms} ὑπέρ^{pa} χιλιάς^{nafpc} ἐκλέγω^{viam1s} παραρρίπτω^{vnpp} ἐν^{pd} ὁ^{ddms} οἶκος^{ndmsc} ὁ^{dgms} θεός^{ngmsc} μᾶλλον^{b} ἤ^{cc} οἰκέω^{vnpa} ἐν^{pd} σκήνωμα^{ndnpc} ἁμαρτωλός^{angmpn}. **v.12** ὅτι^{cs} ἔλεος^{namsc} καί^{cc} ἀλήθεια^{nafsc} ἀγαπάω^{vipa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} χάρις^{nafsc} καί^{cc} δόξα^{nafsc} δίδωμι^{vifa3s} κύριος^{nnmsc} οὐ^{b} στερέω^{vifa3s} ὁ^{danp} ἀγαθός^{ananpn} ὁ^{damp} πορεύομαι^{vppmamp} ἐν^{pd} ἀκακία^{ndfsc}. **v.13** κύριος^{nvmsc} ὁ^{dgfp} δύναμις^{ngfpc} μακάριος^{annmsn} ἄνθρωπος^{nnmsc} ὁ^{dnms} ἐλπίζω^{vppanms} ἐπί^{pa} σύ^{rpams}. **84. v.1** εἰς^{pa} ὁ^{dans} τέλος^{nansc} ὁ^{ddmp} υἱός^{ndmpc} Κόρε^{ngmsp} ψαλμός^{nnmsc}. **v.2** εὐδοκέω^{viaa2s} κύριος^{nvmsc} ὁ^{dafs} γῆ^{nafsc} σύ^{rpgms} ἀποστρέφω^{viaa2s} ὁ^{dafs} αἰχμαλωσία^{nafsc} Ἰακώβ^{ngmsp}.

μίας τῷ λαῷ σου ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν διάψαλμα.
4 κατέπαυσας πᾶσαν τὴν ὀργήν σου ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ
5 σου. ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν καὶ ἀπόστρε-
6 ψον τὸν θυμόν σου ἀφ' ἡμῶν. μὴ εἰς τὸν αἰῶνα ὀργισθήσῃ ἡμῖν
7 ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν. ὁ θεός σὺ
ἐπιστρέψας ζωώσεις ἡμᾶς καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.
8 δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.
9 ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός ὅτι λαλήσει εἰρή-
νην ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς
10 ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν. πλὴν ἐγγὺς τῶν φοβουμέ-
νων αὐτὸν τὸ σωτήριον αὐτοῦ τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ
11 ἡμῶν. ἔλεος καὶ ἀλήθεια συνήντησαν δικαιοσύνη καὶ εἰρήνη
12 κατεφίλησαν. ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν καὶ δικαιοσύνη ἐκ
13 τοῦ οὐρανοῦ διέκυψεν. καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα καὶ
14 ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. δικαιοσύνη ἐναντίον αὐτοῦ
προπορεύσεται καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

85 προσευχὴ τῷ Δαυιδ κλῖνον κύριε τὸ οὖς σου καὶ ἐπάκουσόν
2 μου ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. φύλαξον τὴν ψυχήν μου ὅτι
ὅσιός εἰμι σῶσον τὸν δοῦλόν σου ὁ θεός μου τὸν ἐλπίζοντα ἐπὶ
3 σέ. ἐλέησόν με κύριε ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.
4 εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου ὅτι πρὸς σέ κύριε ἦρα τὴν

---

v.3 ἀφίημι^{viaa2s} ὁ^{dafp} ἀνομία^{nafpc} ὁ^{ddms} λαός^{ndmsc} σύ^{rpgms} καλύπτω^{viaa2s} πᾶς^{aiafpn} ὁ^{dafp} ἁμαρτία^{nafpc} αὐτός^{rpgmp} διάψαλμα^{nnnsc}. **v.4** καταπαύω^{viaa2s} πᾶς^{aiafsn} ὁ^{dafs} ὀργή^{nafsc} σύ^{rpgms} ἀποστρέφω^{viaa2s} ἀπό^{pg} ὀργή^{ngfsc} θυμός^{ngmsc} σύ^{rpgms}. **v.5** ἐπιστρέφω^{vdaa2s} ἐγώ$^{rpa-p}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgnp} σωτήριον^{ngnpc} ἐγώ$^{rpg-p}$ καί^{cc} ἀποστρέφω^{vdaa2s} ὁ^{dams} θυμός^{namsc} σύ^{rpgms} ἀπό^{pg} ἐγώ$^{rpg-p}$. **v.6** μή^{x} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ὀργίζω^{vifp2s} ἐγώ$^{rpd-p}$ ἤ^{cc} διατείνω^{vifa2s} ὁ^{dafs} ὀργή^{nafsc} σύ^{rpgms} ἀπό^{pg} γενεά^{ngfsc} εἰς^{pa} γενεά^{nafsc}. **v.7** ὁ^{dnms} θεός^{nnmsc} σύ^{rpnms} ἐπιστρέφω^{vpaanms} ζωόω^{vifa2s} ἐγώ$^{rpa-p}$ καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} σύ^{rpgms} εὐφραίνω^{vifp3s} ἐπί^{pd} σύ^{rpdms}. **v.8** δείκνυμι^{vdaa2s} ἐγώ$^{rpd-p}$ κύριος^{nvmsc} ὁ^{dans} ἔλεος^{nansc} σύ^{rpgms} καί^{cc} ὁ^{dans} σωτήριον^{nansc} σύ^{rpgms} δίδωμι^{voaa2s} ἐγώ$^{rpd-p}$. **v.9** ἀκούω^{vifm1s} τίς^{rqans} λαλέω^{vifa3s} ἐν^{pd} ἐγώ$^{rpd-s}$ κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ὅτι^{cs} λαλέω^{vifa3s} εἰρήνη^{nafsc} ἐπί^{pa} ὁ^{dams} λαός^{namsc} αὐτός^{rpgms} καί^{cc} ἐπί^{pa} ὁ^{damp} ὅσιος^{anampn} αὐτός^{rpgms} καί^{cc} ἐπί^{pa} ὁ^{damp} ἐπιστρέφω^{vppaamp} πρός^{pa} αὐτός^{rpams} καρδία^{nafsc}. **v.10** πλήν^{b} ἐγγύς^{pg} ὁ^{dgmp} φοβέω^{vppmgmp} αὐτός^{rpams} ὁ^{dnns} σωτήριον^{nnnsc} αὐτός^{rpgms} ὁ^{dgns} κατασκηνόω^{vnaa} δόξα^{nafsc} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} ἐγώ$^{rpg-p}$. **v.11** ἔλεος^{nnnsc} καί^{cc} ἀλήθεια^{nnfsc} συναντάω^{viaa3p} δικαιοσύνη^{nnfsc} καί^{cc} εἰρήνη^{nnfsc} καταφιλέω^{viaa3p}. **v.12** ἀλήθεια^{nnfsc} ἐκ^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ἀνατέλλω^{viaa3s} καί^{cc} δικαιοσύνη^{nnfsc} ἐκ^{pg} ὁ^{dgms} οὐρανός^{ngmsc} διακύπτω^{viaa3s}. **v.13** καί^{cc} γάρ^{cc} ὁ^{dnms} κύριος^{nnmsc} δίδωμι^{vifa3s} χρηστότης^{nafsc} καί^{cc} ὁ^{dnfs} γῆ^{nnfsc} ἐγώ$^{rpg-p}$ δίδωμι^{vifa3s} ὁ^{dams} καρπός^{namsc} αὐτός^{rpgfs}. **v.14** δικαιοσύνη^{nnfsc} ἐναντίον^{pg} αὐτός^{rpgms} προπορεύομαι^{vifm3s} καί^{cc} τίθημι^{vifa3s} εἰς^{pa} ὁδός^{nafsc} ὁ^{danp} διάβημα^{nanpc} αὐτός^{rpgms}. **85. v.1** προσευχή^{nnfsc} ὁ^{ddms} Δαυίδ^{ndmsp} κλίνω^{vdaa2s} κύριος^{nvmsc} ὁ^{dans} οὖς^{nansc} σύ^{rpgms} καί^{cc} ἐπακούω^{vdaa2s} ἐγώ$^{rpg-s}$ ὅτι^{cs} πτωχός^{annmsn} καί^{cc} πένης^{nnmsc} εἰμί^{vipa1s} ἐγώ$^{rpn-s}$. **v.2** φυλάσσω^{vdaa2s} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg-s}$ ὅτι^{cs} ὅσιος^{annmsn} εἰμί^{vipa1s} σῴζω^{vdaa2s} ὁ^{dams} δοῦλος^{namsc} σύ^{rpgms} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ$^{rpg-s}$ ὁ^{dams} ἐλπίζω^{vppaams} ἐπί^{pa} σύ^{rpams}. **v.3** ἐλεέω^{vdaa2s} ἐγώ$^{rpa-s}$ κύριος^{nvmsc} ὅτι^{cs} πρός^{pa} σύ^{rpams} κράζω^{vifm1s} ὅλος^{anafsn} ὁ^{dafs} ἡμέρα^{nafsc}.

ψυχήν μου. ὅτι σύ κύριε χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος 5
πᾶσι τοῖς ἐπικαλουμένοις σε. ἐνώτισαι κύριε τὴν προσευχήν 6
μου καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. ἐν ἡμέρᾳ θλίψεώς 7
ἐμαυτὸν γῆν καὶ σποδόν. ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν κύριον 7
πάντα τὰ ῥήματα ταῦτα τῷ Ιωβ εἶπεν ὁ κύριος Ελιφας τῷ Θαιμα-
νίτῃ ἥμαρτες σὺ καὶ οἱ δύο φίλοι σου οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν
μου ἀληθὲς οὐδὲν ὥσπερ ὁ θεράπων μου Ιωβ. νῦν δὲ λάβετε ἑπτὰ 8
μόσχους καὶ ἑπτὰ κριοὺς καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου
Ιωβ καὶ ποιήσει κάρπωσιν περὶ ὑμῶν Ιωβ δὲ ὁ θεράπων μου εὔξε-
ται περὶ ὑμῶν ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήμψομαι εἰ μὴ γὰρ δι᾽
αὐτόν ἀπώλεσα ἂν ὑμᾶς οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θερά-
ποντός μου Ιωβ. ἐπορεύθη δὲ Ελιφας ὁ Θαιμανίτης καὶ Βαλδαδ 9
ὁ Σαυχίτης καὶ Σωφαρ ὁ Μιναῖος καὶ ἐποίησαν καθὼς συνέταξεν

---

v.24 ὁ^dams δέ^cc τάρταρος^namsc ὁ^dgfs ἄβυσσος^ngfsc ὥσπερ^cs αἰχμάλωτος^anamsn λογίζομαι^viam3s ἄβυσσος^nafsc εἰς^pa περίπατος^namsc. **v.25** οὐ^b εἰμί^vipa3s οὐδείς^ainnsn ἐπί^pg ὁ^dgfs γῆ^ngfsc ὅμοιος^annnsn αὐτός^rpdms ποιέω^vpxpnns ἐγκαταπαίζω^vnpp ὑπό^pg ὁ^dgmp ἄγγελος^ngmpc ἐγώ^rpg-s. **v.26** πᾶς^aiansn ὑψηλός^anansn ὁράω^vipa3s αὐτός^rpnms δέ^cc βασιλεύς^nnmsc πᾶς^aigmpn ὁ^dgmp ἐν^pd ὁ^ddnp ὕδωρ^ndnpc. **42. v.1** ὑπολαμβάνω^vpaanms δέ^cc Ἰώβ^nnmsp λέγω^vipa3s ὁ^ddms κύριος^ndmsc. **v.2** οἶδα^vixa1s ὅτι^cs πᾶς^aianpn δύναμαι^vipm2s ἀδυνατέω^vipa3s δέ^cc σύ^rpd-s οὐθείς^rinns. **v.3** τίς^rqnms γάρ^cc εἰμί^vipa3s ὁ^dnms κρύπτω^vppanms σύ^rpa-s βουλή^nafsc φείδομαι^vppmnms δέ^cc ῥῆμα^ngnpc καί^cc σύ^rpa-s οἴομαι^vipm3s κρύπτω^vnpa τίς^rqnms δέ^cc ἀναγγέλλω^vifa3s ἐγώ^rpd-s ὅς^rranp οὐ^b οἶδα^viya1s μέγας^ananpn καί^cc θαυμαστός^ananpn ὅς^rranp οὐ^b ἐπίσταμαι^viim1s. **v.4** ἀκούω^vdaa2s δέ^cc ἐγώ^rpg-s κύριος^nvmsc ἵνα^cs καί&ἐγώ^b&rpn-s λαλέω^vsaa1s ἐρωτάω^vifa1s δέ^cc σύ^rpa-s σύ^rpn-s δέ^cc ἐγώ^rpa-s διδάσκω^vdaa2s. **v.5** ἀκοή^nafsc μέν^x οὖς^ngnsc ἀκούω^viia1s σύ^rpg-s ὁ^dans πρότερος^anansn νυνί^b δέ^cc ὁ^dnms ὀφθαλμός^nnmsc ἐγώ^rpg-s ὁράω^vixa3s σύ^rpa-s. **v.6** διό^cc φαυλίζω^viaa1s ἐμαυτοῦ^rxams καί^cc τήκω^viap1s ἡγέομαι^vixm1s δέ^cc ἐμαυτοῦ^rxams γῆ^nafsc καί^cc σποδός^nafsc. **v.7** γίνομαι^viam3s δέ^cc μετά^pa ὁ^dans λαλέω^vnaa ὁ^dams κύριος^namsc πᾶς^aianpn ὁ^danp ῥῆμα^nanpc οὗτος^rdanp ὁ^ddms Ἰώβ^ndmsp λέγω^viaa3s ὁ^dnms κύριος^nnmsc Ελιφας^ndmsp ὁ^ddms Θαιμανίτης^ndmsp ἁμαρτάνω^viaa2s σύ^rpn-s καί^cc ὁ^dnmp δύο^ac—n φίλος^annmpn σύ^rpg-s οὐ^b γάρ^cc λαλέω^viaa2p ἐνώπιον^pg ἐγώ^rpg-s ἀληθής^anansn οὐδείς^rians ὥσπερ^cs ὁ^dnms θεράπων^nnmsc ἐγώ^rpg-s Ἰώβ^nnmsp. **v.8** νῦν^b δέ^cc λαμβάνω^vdaa2p ἑπτά^ac—n μόσχος^nampc καί^cc ἑπτά^ac—n κριός^nampc καί^cc πορεύομαι^vdap2p πρός^pa ὁ^dams θεράπων^namsc ἐγώ^rpg-s Ἰώβ^namsp καί^cc ποιέω^vifa3s κάρπωσις^nafsc περί^pg σύ^rpg-p Ἰώβ^nnmsp δέ^cc ὁ^dnms θεράπων^nnmsc ἐγώ^rpg-s εὔχομαι^vifm3s περί^pg σύ^rpg-p ὅτι^cs εἰ^cs μή^x πρόσωπον^nansc αὐτός^rpgms λαμβάνω^vifm1s εἰ^cs μή^x γάρ^cc διά^pa αὐτός^rpams ἀπόλλυμι^viaa1s ἄν^x σύ^rpa-p οὐ^b γάρ^cc λαλέω^viaa2p ἀληθής^anansn κατά^pg ὁ^dgms θεράπων^ngmsc ἐγώ^rpg-s Ἰώβ^ngmsp.

10 αὐτοῖς ὁ κύριος καὶ ἔλυσεν τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ιωβ. ὁ δὲ
κύριος ηὔξησεν τὸν Ιωβ εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων
αὐτοῦ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν ἔδωκεν δὲ ὁ κύριος διπλᾶ
11 ὅσα ἦν ἔμπροσθεν Ιωβ εἰς διπλασιασμόν. ἦκουσαν δὲ πάντες
οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ πάντα τὰ συμβεβηκότα
αὐτῷ καὶ ἦλθον πρὸς αὐτὸν καὶ πάντες ὅσοι ᾔδεισαν αὐτὸν ἐκ
πρώτου φαγόντες δὲ καὶ πιόντες παρ᾽ αὐτῷ παρεκάλεσαν αὐτόν
καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν οἷς ἐπήγαγεν αὐτῷ ὁ κύριος ἔδωκεν δὲ
αὐτῷ ἕκαστος ἀμνάδα μίαν καὶ τετράδραχμον χρυσοῦν ἄσημον.
12 ὁ δὲ κύριος εὐλόγησεν τὰ ἔσχατα Ιωβ ἢ τὰ ἔμπροσθεν ἦν δὲ τὰ
κτήνη αὐτοῦ πρόβατα μύρια τετρακισχίλια κάμηλοι ἑξακισχίλιαι
13 ζεύγη βοῶν χίλια ὄνοι θήλειαι νομάδες χίλιαι. γεννῶνται δὲ αὐ-
14 τῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς. καὶ ἐκάλεσεν τὴν μὲν πρώτην
Ἡμέραν τὴν δὲ δευτέραν Κασίαν τὴν δὲ τρίτην Ἀμαλθείας κέρας.
15 καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ιωβ βελτίους αὐτῶν ἐν τῇ
ὑπ᾽ οὐρανόν ἔδωκεν δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελ-
16 φοῖς. ἔζησεν δὲ Ιωβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα τὰ
δὲ πάντα ἔζησεν ἔτη διακόσια τεσσαράκοντα ὀκτώ καὶ εἶδεν Ιωβ
τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ τετάρτην γενεάν.
17 καὶ ἐτελεύτησεν Ιωβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν [1] γέγρα-

---

v.9 πορεύομαι^{viap3s} δέ^{cc} Ελιφας^{nnmsp} ὁ^{dnms} Θαιμανίτης^{nnmsp} καί^{cc} Βαλδαδ^{nnmsp} ὁ^{dnms} Σαυχίτης^{nnmsp} καί^{cc} Σωφαρ^{nnmsp} ὁ^{dnms} Μιναῖος^{nnmsp} καί^{cc} ποιέω^{viaa3p} καθώς^{cs} συντάσσω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} κύριος^{nnmsc} καί^{cc} λύω^{viaa3s} ὁ^{dafs} ἁμαρτία^{nafsc} αὐτός^{rpdmp} διά^{pa} Ἰώβ^{namsp}. **v.10** ὁ^{dnms} δέ^{cc} κύριος^{nnmsc} αὐξάνω^{viaa3s} ὁ^{dams} Ἰώβ^{namsp} εὔχομαι^{vpamgms} δέ^{cc} αὐτός^{rpgms} καί^{cc} περί^{pg} ὁ^{dgmp} φίλος^{angmpn} αὐτός^{rpgms} ἀφίημι^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dafs} ἁμαρτία^{nafsc} δίδωμι^{viaa3s} δέ^{cc} ὁ^{dnms} κύριος^{nnmsc} διπλοῦς^{ananpn} ὅσος^{arnnpn} εἰμί^{viia3s} ἔμπροσθεν^{b} Ἰώβ^{ndmsp} εἰς^{pa} διπλασιασμός^{namsc}. **v.11** ἀκούω^{viaa3p} δέ^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} ἀδελφός^{nnmpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{dnfp} ἀδελφή^{nnfpc} αὐτός^{rpgms} πᾶς^{aianpn} ὁ^{danp} συμβαίνω^{vpxaanp} αὐτός^{rpdms} καί^{cc} ἔρχομαι^{viaa3p} πρός^{pa} αὐτός^{rpams} καί^{cc} πᾶς^{ainmpn} ὅσος^{rrnmpn} οἶδα^{viya3p} αὐτός^{rpams} ἐκ^{pg} πρῶτος^{aognsn} ἐσθίω^{vpaanmp} δέ^{cc} καί^{cc} πίνω^{vpaanmp} παρά^{pd} αὐτός^{rpdms} παρακαλέω^{viaa3p} αὐτός^{rpams} καί^{cc} θαυμάζω^{viaa3p} ἐπί^{pd} πᾶς^{aidnpn} ὅς^{rrdnp} ἐπάγω^{viaa3s} αὐτός^{rpdms} ὁ^{dnms} κύριος^{nnmsc} δίδωμι^{viaa3s} δέ^{cc} αὐτός^{rpdms} ἕκαστος^{ainmsn} ἀμνάς^{nafsc} εἷς^{acafsn} καί^{cc} τετράδραχμον^{nansc} χρυσοῦς^{anansn} ἄσημος^{ananSn}. **v.12** ὁ^{dnms} δέ^{cc} κύριος^{nnmsc} εὐλογέω^{viaa3s} ὁ^{danp} ἔσχατος^{ananpn} Ἰώβ^{ngmsp} ἤ^{cc} ὁ^{danp} ἔμπροσθεν^{b} εἰμί^{viia3s} δέ^{cc} ὁ^{dnnp} κτῆνος^{nnnpc} αὐτός^{rpgms} πρόβατον^{nnnpc} μύριοι^{acnnpn} τετρακισχίλιοι^{acnnpn} κάμηλος^{nnfpc} ἑξακισχίλιοι^{acnfpn} ζεῦγος^{nnnpc} βοῦς^{ngfpc} χίλιοι^{acnnpn} ὄνος^{nnfpc} θῆλυς^{annfpn} νομάς^{nnfpc} χίλιοι^{acnfpn}. **v.13** γεννάω^{vipp3p} δέ^{cc} αὐτός^{rpdms} υἱός^{nnmpc} ἑπτά$^{ac—n}$ καί^{cc} θυγάτηρ^{nnfpc} τρεῖς^{acnfpn}. **v.14** καί^{cc} καλέω^{viaa3s} ὁ^{dafs} μέν^{x} πρῶτος^{aoafsn} ἡμέρα$^{nafs'pnafsc}$ ὁ^{dafs} δέ^{cc} δεύτερος^{aoafsn} Κασία^{nafsp} ὁ^{dafs} δέ^{cc} τρίτος^{aoafsn} Ἀμάλθεια^{ngfsp} κέρας^{nansc}. **v.15** καί^{cc} οὐ^{b} εὑρίσκω^{viap3p} κατά^{pa} ὁ^{dafp} θυγάτηρ^{nafpc} Ἰώβ^{ngmsp} ἀγαθός^{annmpc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddfs} ὑπό^{pa} οὐρανός^{namsc} δίδωμι^{viaa3s} δέ^{cc} αὐτός^{rpdfp} ὁ^{dnms} πατήρ^{nnmsc} κληρονομία^{nafsc} ἐν^{pd} ὁ^{ddmp} ἀδελφός^{ndmpc}. **v.16** ζάω^{viaa3s} δέ^{cc} Ἰώβ^{nnmsp} μετά^{pa} ὁ^{dafs} πληγή^{nafsc} ἔτος^{nanpc} ἑκατόν$^{ac—n}$ ἑβδομήκοντα$^{ac—n}$ ὁ^{dnnp} δέ^{cc} πᾶς^{ainnpn} ζάω^{viaa3s} ἔτος^{nnnpc} διακόσιοι^{acnnpn} τεσσαράκοντα$^{ac—n}$ ὀκτώ$^{ac—n}$ καί^{cc} ὁράω^{viaa3s} Ἰώβ^{nnmsp} ὁ^{damp} υἱός^{nampc} αὐτός^{rpgms} καί^{cc} ὁ^{damp} υἱός^{nampc} ὁ^{dgmp} υἱός^{ngmpc} αὐτός^{rpgms} τέταρτος^{aoafsn} γενεά^{nafsc}.

πται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ κύριος ἀνίστησιν [2] οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου ἐν μὲν γῇ κατοικῶν τῇ Αυσίτιδι ἐπὶ τοῖς ὁρίοις τῆς Ιδουμαίας καὶ Ἀραβίας προϋπῆρχεν δὲ αὐτῷ ὄνομα Ιωβαβ [3] λαβὼν δὲ γυναῖκα Ἀράβισσαν γεννᾷ υἱόν ᾧ ὄνομα Εννων ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρε τῶν Ησαυ υἱῶν υἱός μητρὸς δὲ Βοσορρας ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Αβρααμ [4] καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Εδωμ ἧς καὶ αὐτὸς ἦρξεν χώρας πρῶτος Βαλακ ὁ τοῦ Βεωρ καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβα μετὰ δὲ Βαλακ Ιωβαβ ὁ καλούμενος Ιωβ μετὰ δὲ τοῦτον Ασομ ὁ ὑπάρχων ἡγεμὼν ἐκ τῆς Θαιμανίτιδος χώρας μετὰ δὲ τοῦτον Αδαδ υἱὸς Βαραδ ὁ ἐκκόψας Μαδιαμ ἐν τῷ πεδίῳ Μωαβ καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθθαιμ [5] οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι Ελιφας τῶν Ησαυ υἱῶν Θαιμανων βασιλεύς Βαλδαδ ὁ Σαυχαίων τύραννος Σωφαρ ὁ Μιναίων βασιλεύς.

---

v.17 καί[cc] τελευτάω[viaa3s] Ἰώβ[nnmsp] πρεσβύτερος[annmsc] καί[cc] πλήρης[annmsn] ἡμέρα[ngfpc] [1][1] γράφω[vixp3s] δέ[cc] αὐτός[rpams] πάλιν[b] ἀνίστημι[vnfm] μετά[pg] ὅς[rrgmp] ὁ[dnms] κύριος[nnmsc] ἀνίστημι[vipa3s] [2][2] οὗτος[rdnms] ἑρμηνεύω[vipp3s] ἐκ[pg] ὁ[dgfs] Συριακή[ngfsp] βίβλος[ngfsc] ἐν[pd] μέν[x] γῆ[ndfsc] κατοικέω[vppanms] ὁ[ddfs] Αυσίτις[ndfsp] ἐπί[pd] ὁ[ddnp] ὅριον[ndnpc] ὁ[dgfs] Ἰδουμαία[ngfsp] καί[cc] Ἀραβία[ngfsp] προϋπάρχω[viia3s] δέ[cc] αὐτός[rpdms] ὄνομα[nnnsc] Ιωβαβ[nnmsp] [3][3] λαμβάνω[vpaanms] δέ[cc] γυνή[nafsc] Ἀράβισσα[nafsp] γεννάω[vipa3s] υἱός[namsc] ὅς[rrdms] ὄνομα[nnnsc] Εννων[nnmsp] εἰμί[viia3s] δέ[cc] αὐτός[rpnms] πατήρ[ngmsc] μέν[x] Ζαρε[ngmsp] ὁ[dgmp] Ἡσαῦ[ngmsp] υἱός[ngmpc] υἱός[nnmsc] μήτηρ[ngfsc] δέ[cc] Βοσορρα[ngfsp] ὥστε[cs] εἰμί[vnpa] αὐτός[rpams] πέμπτος[aoamsn] ἀπό[pg] Ἀβραάμ[ngmsp] [4][4] καί[cc] οὗτος[rdnmp] ὁ[dnmp] βασιλεύς[nnmpc] ὁ[dnmp] βασιλεύω[vpaanmp] ἐν[pd] Εδωμ[ndmsp] ὅς[rrgfs] καί[b] αὐτός[rpnms] ἄρχω[viaa3s] χώρα[ngfsc] πρῶτος[aonmsn] Βαλάκ[nnmsp] ὁ[dnms] ὁ[dgms] Βεωρ[ngmsp] καί[cc] ὄνομα[nnnsc] ὁ[ddfs] πόλις[ndfsc] αὐτός[rpgms] Δενναβα[nnfsp] μετά[pa] δέ[cc] Βαλάκ[namsp] Ιωβαβ[nnmsp] ὁ[dnms] καλέω[vpppnms] Ἰώβ[nnmsp] μετά[pa] δέ[cc] οὗτος[rdams] Ασομ[nnmsp] ὁ[dnms] ὑπάρχω[vppanms] ἡγεμών[nnmsc] ἐκ[pg] ὁ[dgfs] Θαιμανίτις[ngfsp] χώρα[ngfsc] μετά[pa] δέ[cc] οὗτος[rdams] Αδαδ[nnmsp] υἱός[nnmsc] Βαραδ[ngmsp] ὁ[dnms] ἐκκόπτω[vpaanms] Μαδιάμ[nafsp] ἐν[pd] ὁ[ddns] πεδίον[ndnsc] Μωαβ[ngfsp] καί[cc] ὄνομα[nnnsc] ὁ[ddfs] πόλις[ndfsc] αὐτός[rpgms] Γεθχαιμ[nn-sp] [5][5] ὁ[dnmp] δέ[cc] ἔρχομαι[vpaanmp] πρός[pa] αὐτός[rpams] φίλος[annmpn] Ελιφας[nnmsp] ὁ[dgmp] Ἡσαῦ[ngmsp] υἱός[ngmpc] Θαιμανων[ngmpp] βασιλεύς[nnmsc] Βαλδαδ[nnmsp] ὁ[dnms] Σαυχαῖος[ngmpp] τύραννος[nnmsc] Σωφαρ[nnmsp] ὁ[dnms] Μιναῖος[ngmpp] βασιλεύς[nnmsc].

ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ

1 Ἀγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν φρονήσατε περὶ
τοῦ κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐ-
2 τόν. ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν ἐμφανίζεται δὲ
3 τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ
4 θεοῦ δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας. ὅτι εἰς
κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία οὐδὲ κατοικήσει ἐν
5 σώματι κατάχρεῳ ἁμαρτίας. ἅγιον γὰρ πνεῦμα παιδείας φεύξε-
ται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγ-
6 χθήσεται ἐπελθούσης ἀδικίας. φιλάνθρωπον γὰρ πνεῦμα σοφία
καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ ὅτι τῶν νεφρῶν
αὐτοῦ μάρτυς ὁ θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς
7 καὶ τῆς γλώσσης ἀκουστής. ὅτι πνεῦμα κυρίου πεπλήρωκεν τὴν
8 οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. διὰ
τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ οὐδὲ μὴ παροδεύσῃ
9 αὐτὸν ἐλέγχουσα ἡ δίκη. ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις
ἔσται λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς κύριον ἥξει εἰς ἔλεγχον ἀνομη-
10 μάτων αὐτοῦ. ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς
11 γογγυσμῶν οὐκ ἀποκρύπτεται. φυλάξασθε τοίνυν γογγυσμὸν

---

1. v.1 ἀγαπάω^{vdaa2p} δικαιοσύνη^{nafsc} ὁ^{dnmp} κρίνω^{vppanmp} ὁ^{dafs} γῆ^{nafsc} φρονέω^{vdaa2p} περί^{pg} ὁ^{dgms} κύριος^{ngmsc} ἐν^{pd} ἀγαθότης^{ndfsc} καί^{cc} ἐν^{pd} ἁπλότης^{ndfsc} καρδία^{ngfsc} ζητέω^{vdaa2p} αὐτός^{rpams}. **v.2** ὅτι^{cs} εὑρίσκω^{vipp3s} ὁ^{ddmp} μή^{x} πειράζω^{vppadmp} αὐτός^{rpams} ἐμφανίζω^{vipp3s} δέ^{cc} ὁ^{ddmp} μή^{x} ἀπιστέω^{vppadmp} αὐτός^{rpdms}. **v.3** σκολιός^{annmpn} γάρ^{cc} λογισμός^{nnmpc} χωρίζω^{vipa3p} ἀπό^{pg} θεός^{ngmsc} δοκιμάζω^{vpppnfs} τέ^{cc} ὁ^{dnfs} δύναμις^{nnfsc} ἐλέγχω^{vipa3s} ὁ^{damp} ἄφρων^{anampn}. **v.4** ὅτι^{cs} εἰς^{pa} κακότεχνος^{anafsn} ψυχή^{nafsc} οὐ^{b} εἰσέρχομαι^{vifm3s} σοφία^{nnfsc} οὐδέ^{cc} κατοικέω^{vifa3s} ἐν^{pd} σῶμα^{ndnsc} κατάχρεος^{andnsn} ἁμαρτία^{ngfsc}. **v.5** ἅγιος^{annnsn} γάρ^{cc} πνεῦμα^{nnnsc} παιδεία^{ngfsc} φεύγω^{vifm3s} δόλος^{namsc} καί^{cc} ἀπανίστημι^{vifm3s} ἀπό^{pg} λογισμός^{ngmpc} ἀσύνετος^{angmpn} καί^{cc} ἐλέγχω^{vifp3s} ἐπέρχομαι^{vpaagfs} ἀδικία^{ngfsc}. **v.6** φιλάνθρωπος^{annnsn} γάρ^{cc} πνεῦμα^{nnnsc} σοφία^{nnfsc} καί^{cc} οὐ^{b} ἀθῳόω^{vifa3s} βλάσφημος^{anamsn} ἀπό^{pg} χεῖλος^{ngnpc} αὐτός^{rpgms} ὅτι^{cs} ὁ^{dgmp} νεφρός^{ngmpc} αὐτός^{rpgms} μάρτυς^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} καί^{cc} ὁ^{dgfs} καρδία^{ngfsc} αὐτός^{rpgms} ἐπίσκοπος^{nnmsc} ἀληθής^{annmsn} καί^{cc} ὁ^{dgfs} γλῶσσα^{ngfsc} ἀκουστής^{nnmsc}. **v.7** ὅτι^{cs} πνεῦμα^{nnnsc} κύριος^{ngmsc} πληρόω^{vixa3s} ὁ^{dafs} οἰκουμένη^{nafsc} καί^{cc} ὁ^{dnns} συνέχω^{vppanns} ὁ^{danp} πᾶς^{aianpn} γνῶσις^{nafsc} ἔχω^{vipa3s} φωνή^{ngfsc}. **v.8** διά^{pa} οὗτος^{rdans} φθέγγομαι^{vppmnms} ἄδικος^{ananpn} οὐδείς^{rinms} μή^{x} λανθάνω^{vsaa3s} οὐδέ^{cc} μή^{x} παροδεύω^{vsaa3s} αὐτός^{rpams} ἐλέγχω^{vppanfs} ὁ^{dnfs} δίκη^{nnfsc}. **v.9** ἐν^{pd} γάρ^{cc} διαβούλιον^{ndnpc} ἀσεβής^{angmsn} ἐξέτασις^{nnfsc} εἰμί^{vifm3s} λόγος^{ngmpc} δέ^{cc} αὐτός^{rpgms} ἀκοή^{nnfsc} πρός^{pa} κύριος^{namsc} ἥκω^{vifa3s} εἰς^{pa} ἔλεγχος^{namsc} ἀνόμημα^{ngnpc} αὐτός^{rpgms}. **v.10** ὅτι^{cs} οὖς^{nnnsc} ζήλωσις^{ngfsc} ἀκροάομαι^{vipm3s} ὁ^{danp} πᾶς^{aianpn} καί^{cc} θροῦς^{nnmsc} γογγυσμός^{ngmpc} οὐ^{b} ἀποκρύπτω^{vipp3s}.

ἀνωφελῆ καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης ὅτι φθέγμα λα-
θραῖον κενὸν οὐ πορεύσεται στόμα δὲ καταψευδόμενον ἀναιρεῖ
ψυχήν. μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν μηδὲ ἐπισπᾶ- 12
σθε ὄλεθρον ἐν ἔργοις χειρῶν ὑμῶν. ὅτι ὁ θεὸς θάνατον οὐκ 13
ἐποίησεν οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων. ἔκτισεν γὰρ εἰς τὸ 14
εἶναι τὰ πάντα καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου καὶ οὐκ ἔ-
στιν ἐν αὐταῖς φάρμακον ὀλέθρου οὔτε ᾅδου βασίλειον ἐπὶ γῆς.
δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν. ἀσεβεῖς δὲ ταῖς χερσὶν καὶ τοῖς 15, 16
λόγοις προσεκαλέσαντο αὐτόν φίλον ἡγησάμενοι αὐτὸν ἐτάκη-
σαν καὶ συνθήκην ἔθεντο πρὸς αὐτόν ὅτι ἄξιοί εἰσιν τῆς ἐκείνου
μερίδος εἶναι.

εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς ὀλίγος ἐστὶν καὶ **2**
λυπηρὸς ὁ βίος ἡμῶν καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπου
καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδου. ὅτι αὐτοσχεδίως ἐγενή- 2
θημεν καὶ μετὰ τοῦτο ἐσόμεθα ὡς οὐχ ὑπάρξαντες ὅτι καπνὸς
ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας
ἡμῶν. οὗ σβεσθέντος τέφρα ἀποβήσεται τὸ σῶμα καὶ τὸ πνεῦμα 3
διαχυθήσεται ὡς χαῦνος ἀήρ. καὶ τὸ ὄνομα ἡμῶν ἐπιλησθήσεται 4
ἐν χρόνῳ καὶ οὐθεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν καὶ παρελεύ-
σεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης καὶ ὡς ὁμίχλη διασκεδασθή-
σεται διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίου καὶ ὑπὸ θερμότητος αὐτοῦ

---

v.11 φυλάσσω^{vdam2p} τοίνυν^{cc} γογγυσμός^{namsc} ἀνωφελής^{anamsn} καί^{cc} ἀπό^{pg} καταλαλιά^{ngfsc} φείδομαι^{vdam2p} γλῶσσα^{ngfsc} ὅτι^{cs} φθέγμα^{nnnsc} λαθραῖος^{annnsn} κενός^{annnsn} οὐ^{b} πορεύομαι^{vifm3s} στόμα^{nnnsc} δέ^{cc} καταψεύδομαι^{vppmnns} ἀναιρέω^{vipa3s} ψυχή^{nafsc}. **v.12** μή^{x} ζηλόω^{vdpa2p} θάνατος^{namsc} ἐν^{pd} πλάνη^{ndfsc} ζωή^{ngfsc} σύ$^{rpg-p}$ μηδέ^{x} ἐπισπάομαι^{vdpm2p} ὄλεθρος^{namsc} ἐν^{pd} ἔργον^{ndnpc} χείρ^{ngfpc} σύ$^{rpg-p}$. **v.13** ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} θάνατος^{namsc} οὐ^{b} ποιέω^{viaa3s} οὐδέ^{cc} τέρπω^{vipm3s} ἐπί^{pd} ἀπώλεια^{ndfsc} ζάω^{vppagmp}. **v.14** κτίζω^{viaa3s} γάρ^{cc} εἰς^{pa} ὁ^{dans} εἰμί^{vnpa} ὁ^{danp} πᾶς^{aianpn} καί^{cc} σωτήριος^{annfpn} ὁ^{dnfp} γένεσις^{nnfpc} ὁ^{dgms} κόσμος^{ngmsc} καί^{cc} οὐ^{b} εἰμί^{vipa3s} ἐν^{pd} αὐτός^{rpdfp} φάρμακον^{nnnsc} ὄλεθρος^{ngmsc} οὔτε^{cc} ᾅδης^{ngmsc} βασίλειον^{nnnsc} ἐπί^{pg} γῆ^{ngfsc}. **v.15** δικαιοσύνη^{nnfsc} γάρ^{cc} ἀθάνατος^{annfsn} εἰμί^{vipa3s}. **v.16** ἀσεβής^{annmpn} δέ^{cc} ὁ^{ddfp} χείρ^{ndfpc} καί^{cc} ὁ^{ddmp} λόγος^{ndmpc} προσκαλέομαι^{viam3p} αὐτός^{rpams} φίλος^{anamsn} ἡγέομαι^{vpamnmp} αὐτός^{rpams} τήκω^{viap3p} καί^{cc} συνθήκη^{nafsc} τίθημι^{viam3p} πρός^{pa} αὐτός^{rpams} ὅτι^{cs} ἄξιος^{annmpn} εἰμί^{vipa3p} ὁ^{dgfs} ἐκεῖνος^{rdgms} μερίς^{ngfsc} εἰμί^{vnpa}. **2. v.1** λέγω^{viaa3p} γάρ^{cc} ἐν^{pd} ἑαυτοῦ^{rxdmp} λογίζομαι^{vpamnmp} οὐ^{b} ὀρθῶς^{b} ὀλίγος^{annmsn} εἰμί^{vipa3s} καί^{cc} λυπηρός^{annmsn} ὁ^{dnms} βίος^{nnmsc} ἡμῶν^{rpgmp} καί^{cc} οὐ^{b} εἰμί^{vipa3s} ἴασις^{nnfsc} ἐν^{pd} τελευτή^{ndfsc} ἄνθρωπος^{ngmsc} καί^{cc} οὐ^{b} γινώσκω^{viap3s} ὁ^{dnms} ἀναλύω^{vpaanms} ἐκ^{pg} ᾅδης^{ngmsc}. **v.2** ὅτι^{cs} αὐτοσχεδίως^{b} γίνομαι^{viap1p} καί^{cc} μετά^{pa} οὗτος^{rdans} εἰμί^{vifm1p} ὡς^{cs} οὐ^{b} ὑπάρχω^{vpaanmp} ὅτι^{cs} καπνός^{nnmsc} ὁ^{dnfs} πνοή^{nnfsc} ἐν^{pd} ῥίς^{ndfpc} ἐγώ^{rpgmp} καί^{cc} ὁ^{dnms} λόγος^{nnmsc} σπινθήρ^{nnfsc} ἐν^{pd} κίνησις^{ndfsc} καρδία^{ngfsc} ἐγώ^{rpgmp}. **v.3** ὅς^{rrgms} σβέννυμι^{vpapgms} τέφρα^{nnfsc} ἀποβαίνω^{vifm3s} ὁ^{dnns} σῶμα^{nnnsc} καί^{cc} ὁ^{dnns} πνεῦμα^{nnnsc} διαχέω^{vifp3s} ὡς^{cs} χαῦνος^{annmsn} ἀήρ^{nnmsc}.

βαρυνθεῖσα. σκιᾶς γὰρ πάροδος ὁ καιρὸς ἡμῶν καὶ οὐκ ἔστιν
ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν ὅτι κατεσφραγίσθη καὶ οὐδεὶς
ἀναστρέφει. δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν καὶ
χρησώμεθα τῇ κτίσει ὡς ἐν νεότητι σπουδαίως. οἴνου πολυτε-
λοῦς καὶ μύρων πλησθῶμεν καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος
ἔαρος. στεψώμεθα ῥόδων κάλυξιν πρὶν ἢ μαρανθῆναι. μηδεὶς
ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας πανταχῇ καταλίπω-
μεν σύμβολα τῆς εὐφροσύνης ὅτι αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος
οὗτος. καταδυναστεύσωμεν πένητα δίκαιον μὴ φεισώμεθα χή-
ρας μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρονίους. ἔστω
δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης τὸ γὰρ ἀσθενὲς ἄχρη-
στον ἐλέγχεται. ἐνεδρεύσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν
ἐστιν καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ὀνειδίζει ἡμῖν ἁμαρ-
τήματα νόμου καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν.
ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ καὶ παῖδα κυρίου ἑαυτὸν ὀνομά-
ζει. ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν βαρύς ἐστιν ἡμῖν καὶ
βλεπόμενος. ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ καὶ ἐξηλ-
λαγμέναι αἱ τρίβοι αὐτοῦ. εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ καὶ
ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν μακαρίζει ἔσχατα

---

v.4 καί[cc] ὁ[dnns] ὄνομα[nnnsc] ἐγώ[rpgmp] ἐπιλανθάνομαι[vifp3s] ἐν[pd] χρόνος[ndmsc] καί[cc] οὐθείς[rinms] μνημονεύω[vifa3s] ὁ[dgnp] ἔργον[ngnpc] ἐγώ[rpgmp] καί[cc] παρέρχομαι[vifm3s] ὁ[dnms] βίος[nnmsc] ἐγώ[rpgmp] ὡς[cs] ἴχνος[nnnpc] νεφέλη[ngfsc] καί[cc] ὡς[cs] ὁμίχλη[nnfsc] διασκεδάζω[vifp3s] διώκω[vpapnfs] ὑπό[pg] ἀκτίς[ngfpc] ἥλιος[ngmsc] καί[cc] ὑπό[pg] θερμότης[ngfsc] αὐτός[rpgms] βαρύνω[vpapnfs]. **v.5** σκιά[ngfsc] γάρ[cc] πάροδος[nnfsc] ὁ[dnms] καιρός[nnmsc] ἐγώ[rpgmp] καί[cc] οὐ[b] εἰμί[vipa3s] ἀναποδισμός[nnmsc] ὁ[dgfs] τελευτή[ngfsc] ἐγώ[rpgmp] ὅτι[cs] κατασφραγίζω[viap3s] καί[cc] οὐδείς[rinms] ἀναστρέφω[vipa3s]. **v.6** δεῦτε[b] οὖν[cc] καί[cc] ἀπολαύω[vsaa1p] ὁ[dgnp] εἰμί[vppagnp] ἀγαθός[angnpn] καί[cc] χράω[vsam1p] ὁ[ddfs] κτίσις[ndfsc] ὡς[cs] ἐν[pd] νεότης[ndfsc] σπουδαίως[b]. **v.7** οἶνος[ngmsc] πολυτελής[angmsn] καί[cc] μύρον[ngnpc] πίμπλημι[vsap1p] καί[cc] μή[x] παροδεύω[vdaa3s] ἐγώ[rpamp] ἄνθος[nnnsc] ἔαρ[ngnsc]. **v.8** στέφω[vsam1p] ῥόδον[ngnpc] κάλυξ[ndfpc] πρίν[cs] ἤ[cc] μαραίνω[vnap]. **v.9** μηδείς[rinms] ἐγώ[rpgmp] ἄμοιρος[annmsn] εἰμί[vdpa3s] ὁ[dgfs] ἡμέτερος[asgfsn] ἀγερωχία[ngfsc] πανταχῇ[b] καταλείπω[vsaa1p] σύμβολον[nanpc] ὁ[dgfs] εὐφροσύνη[ngfsc] ὅτι[cs] οὗτος[rdnfs] ὁ[dnfs] μερίς[nnfsc] ἐγώ[rpgmp] καί[cc] ὁ[dnms] κλῆρος[nnmsc] οὗτος[rdnms]. **v.10** καταδυναστεύω[vsaa1p] πένης[namsc] δίκαιος[anamsn] μή[x] φείδομαι[vsam1p] χήρα[ngfsc] μηδέ[x] πρεσβύτης[ngmsc] ἐντρέπω[vsap1p] πολιά[nafpc] πολυχρόνιος[anafpn]. **v.11** εἰμί[vdpa3s] δέ[cc] ἐγώ[rpgmp] ὁ[dnfs] ἰσχύς[nnfsc] νόμος[nnmsc] ὁ[dgfs] δικαιοσύνη[ngfsc] ὁ[dnns] γάρ[cc] ἀσθενής[annnsn] ἄχρηστος[annnsn] ἐλέγχω[vipp3s]. **v.12** ἐνεδρεύω[vsaa1p] ὁ[dams] δίκαιος[anamsn] ὅτι[cs] δύσχρηστος[annmsn] ἐγώ[rpdmp] εἰμί[vipa3s] καί[cc] ἐναντιόομαι[vipm3s] ὁ[ddnp] ἔργον[ndnpc] ἐγώ[rpgmp] καί[cc] ὀνειδίζω[vipa3s] ἐγώ[rpdmp] ἁμάρτημα[nanpc] νόμος[ngmsc] καί[cc] ἐπιφημίζω[vipa3s] ἐγώ[rpdmp] ἁμάρτημα[nanpc] παιδεία[ngfsc] ἐγώ[rpgmp]. **v.13** ἐπαγγέλλομαι[vipm3s] γνῶσις[nafsc] ἔχω[vnpa] θεός[ngmsc] καί[cc] παῖς[namsc] κύριος[ngmsc] ἑαυτοῦ[rxams] ὀνομάζω[vipa3s]. **v.14** γίνομαι[viam3s] ἐγώ[rpdmp] εἰς[pa] ἔλεγχος[namsc] ἔννοια[ngfpc] ἐγώ[rpg-p] βαρύς[annmsn] εἰμί[vipa3s] ἐγώ[rpdmp] καί[b] βλέπω[vpppnms]. **v.15** ὅτι[cs] ἀνόμοιος[annmsn] ὁ[ddmp] ἄλλος[ridmp] ὁ[dnms] βίος[nnmsc] αὐτός[rpgms] καί[cc] ἐξαλλάσσω[vpxpnfp] ὁ[dnfp] τρίβος[nnfpc] αὐτός[rpgms].

δικαίων καὶ ἀλαζονεύεται πατέρα θεόν. ἴδωμεν εἰ οἱ λόγοι αὐ- 17
τοῦ ἀληθεῖς καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. εἰ γάρ ἐστιν 18
ὁ δίκαιος υἱὸς θεοῦ ἀντιλήμψεται αὐτοῦ καὶ ῥύσεται αὐτὸν ἐκ
χειρὸς ἀνθεστηκότων. ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν ἵνα 19
γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν
αὐτοῦ. θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν ἔσται γὰρ αὐτοῦ 20
ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν 21
ἀπετύφλωσεν γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. καὶ οὐκ ἔγνωσαν μυ- 22
στήρια θεοῦ οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος οὐδὲ ἔκριναν γέρας
ψυχῶν ἀμώμων. ὅτι ὁ θεὸς ἔκτισεν τὸν ἄνθρωπον ἐπ᾽ ἀφθαρσίᾳ 23
καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν. φθόνῳ δὲ δια- 24
βόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον πειράζουσιν δὲ αὐτὸν οἱ
τῆς ἐκείνου μερίδος ὄντες.

δικαίων δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βά- **3**
σανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη 2
κάκωσις ἡ ἔξοδος αὐτῶν. καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα οἱ 3
δέ εἰσιν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν 4
ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. καὶ ὀλίγα παιδευθέντες με- 5
γάλα εὐεργετηθήσονται ὅτι ὁ θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν
αὐτοὺς ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν 6

---

v.16 εἰς^{pa} κίβδηλος^{ananasn} λογίζομαι^{viap1p} αὐτός^{rpdms} καί^{cc} ἀπέχω^{vipm3s} ὁ^{dgfp} ὁδός^{ngfpc} ἐγώ^{rpgmp} ὡς^{cs} ἀπό^{pg} ἀκαθαρσία^{ngfpc} μακαρίζω^{vipa3s} ἔσχατος^{ananpn} δίκαιος^{angmpn} καί^{cc} ἀλαζονεύομαι^{vipm3s} πατήρ^{namsc} θεός^{namsc}. **v.17** ὁράω^{vsaa1p} εἰ^{x} ὁ^{dnmp} λόγος^{nnmpc} αὐτός^{rpgms} ἀληθής^{annmpn} καί^{cc} πειράζω^{vsaa1p} ὁ^{danp} ἐν^{pd} ἔκβασις^{ndfsc} αὐτός^{rpgms}. **v.18** εἰ^{cs} γάρ^{cc} εἰμί^{vipa3s} ὁ^{dnms} δίκαιος^{annmsn} υἱός^{nnmsc} θεός^{ngmsc} ἀντιλαμβάνομαι^{vifm3s} αὐτός^{rpgms} καί^{cc} ῥύομαι^{vifm3s} αὐτός^{rpams} ἐκ^{pg} χείρ^{ngfsc} ἀνθίστημι^{vpxagmp}. **v.19** ὕβρις^{ndfsc} καί^{cc} βάσανος^{ndfsc} ἐτάζω^{vsaa1p} αὐτός^{rpams} ἵνα^{cs} γινώσκω^{vsaa1p} ὁ^{dafs} ἐπιείκεια^{nafsc} αὐτός^{rpgms} καί^{cc} δοκιμάζω^{vsaa1p} ὁ^{dafs} ἀνεξικακία^{nafsc} αὐτός^{rpgms}. **v.20** θάνατος^{ndmsc} ἀσχήμων^{andmsn} καταδικάζω^{vsaa1p} αὐτός^{rpams} εἰμί^{vifm3s} γάρ^{cc} αὐτός^{rpgms} ἐπισκοπή^{nnfsc} ἐκ^{pg} λόγος^{ngmpc} αὐτός^{rpgms}. **v.21** οὗτος^{rdanp} λογίζομαι^{viam3p} καί^{cc} πλανάω^{viap3p} ἀποτυφλόω^{viaa3s} γάρ^{cc} αὐτός^{rpamp} ὁ^{dnfs} κακία^{nnfsc} αὐτός^{rpgmp}. **v.22** καί^{cc} οὐ^{b} γινώσκω^{viaa3p} μυστήριον^{nanpc} θεός^{ngmsc} οὐδέ^{cc} μισθός^{namsc} ἐλπίζω^{viaa3p} ὁσιότης^{ngfsc} οὐδέ^{cc} κρίνω^{viaa3p} γέρας^{nansc} ψυχή^{ngfpc} ἄμωμος^{angfpn}. **v.23** ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} κτίζω^{viaa3s} ὁ^{dams} ἄνθρωπος^{namsc} ἐπί^{pd} ἀφθαρσία^{ndfsc} καί^{cc} εἰκών^{nafsc} ὁ^{dgfs} ἴδιος^{angfsn} ἀϊδιότης^{ngfsc} ποιέω^{viaa3s} αὐτός^{rpams}. **v.24** φθόνος^{ndmsc} δέ^{cc} διάβολος^{ngmsc} θάνατος^{nnmsc} εἰσέρχομαι^{viaa3s} εἰς^{pa} ὁ^{dams} κόσμος^{namsc} πειράζω^{vipa3p} δέ^{cc} αὐτός^{rpams} ὁ^{dnmp} ὁ^{dgfs} ἐκεῖνος^{rdgms} μερίς^{ngfsc} εἰμί^{vppanmp}.
3. v.1 δίκαιος^{angmpn} δέ^{cc} ψυχή^{nnfpc} ἐν^{pd} χείρ^{ndfsc} θεός^{ngmsc} καί^{cc} οὐ^{b} μή^{x} ἅπτω^{vsam3s} αὐτός^{rpgmp} βάσανος^{nnfsc}. **v.2** δοκέω^{viaa3p} ἐν^{pd} ὀφθαλμός^{ndmpc} ἄφρων^{angmpn} θνῄσκω^{vnxa} καί^{cc} λογίζομαι^{viap3s} κάκωσις^{nnfsc} ὁ^{dnfs} ἔξοδος^{nnfsc} αὐτός^{rpgmp}. **v.3** καί^{cc} ὁ^{dnfs} ἀπό^{pg} ἐγώ$^{rpg-p}$ πορεία^{nnfsc} σύντριμμα^{nnnsc} ὁ^{dnmp} δέ^{cc} εἰμί^{vipa3p} ἐν^{pd} εἰρήνη^{ndfsc}. **v.4** καί^{cc} γάρ^{cc} ἐν^{pd} ὄψις^{ndfsc} ἄνθρωπος^{ngmpc} ἐάν^{cs} κολάζω^{vsap3p} ὁ^{dnfs} ἐλπίς^{nnfsc} αὐτός^{rpgmp} ἀθανασία^{ngfsc} πλήρης^{annfsn}. **v.5** καί^{cc} ὀλίγος^{ananpn} παιδεύω^{vpapnmp} μέγας^{ananpn} εὐεργετέω^{vifp3p} ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} πειράζω^{viaa3s} αὐτός^{rpamp} καί^{cc} εὑρίσκω^{viaa3s} αὐτός^{rpamp} ἄξιος^{anampn} ἑαυτοῦ^{rxgms}.

7 αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. καὶ
ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν
8 καλάμῃ διαδραμοῦνται. κρινοῦσιν ἔθνη καὶ κρατήσουσιν λαῶν
9 καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ᾽
αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν
10 αὐτῷ ὅτι χάρις καὶ ἔλεος τοῖς ἐκλεκτοῖς αὐτοῦ. οἱ δὲ ἀσεβεῖς
καθὰ ἐλογίσαντο ἔξουσιν ἐπιτιμίαν οἱ ἀμελήσαντες τοῦ δικαίου
11 καὶ τοῦ κυρίου ἀποστάντες. σοφίαν γὰρ καὶ παιδείαν ὁ ἐξουθε-
νῶν ταλαίπωρος καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν καὶ οἱ κόποι ἀνόνητοι
12 καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν. αἱ γυναῖκες αὐτῶν ἄφρονες καὶ
13 πονηρὰ τὰ τέκνα αὐτῶν ἐπικατάρατος ἡ γένεσις αὐτῶν. ὅτι μα-
καρία στεῖρα ἡ ἀμίαντος ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι
14 ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν. καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμε-
νος ἐν χειρὶ ἀνόμημα μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ κυρίου πονηρά
δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτὴ καὶ κλῆρος ἐν
15 ναῷ κυρίου θυμηρέστερος. ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεής
16 καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως. τέκνα δὲ μοιχῶν ἀτέλεστα
17 ἔσται καὶ ἐκ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται. ἐάν τε
γὰρ μακρόβιοι γένωνται εἰς οὐθὲν λογισθήσονται καὶ ἄτιμον ἐπ᾽
18 ἐσχάτων τὸ γῆρας αὐτῶν. ἐάν τε ὀξέως τελευτήσωσιν οὐχ ἕξου-

---

v.6 ὡς^{cs} χρυσός^{namsc} ἐν^{pd} χωνευτήριον^{ndnsc} δοκιμάζω^{viaa3s} αὐτός^{rpamp} καί^{cc} ὡς^{cs} ὁλοκάρπωμα^{nansc} θυσία^{ngfsc} προσδέχομαι^{viam3s} αὐτός^{rpamp}. **v.7** καί^{cc} ἐν^{pd} καιρός^{ndmsc} ἐπισκοπή^{ngfsc} αὐτός^{rpgmp} ἀναλάμπω^{vifa3p} καί^{cc} ὡς^{cs} σπινθήρ^{nnmpc} ἐν^{pd} καλάμη^{ndfsc} διατρέχω^{vifm3p}. **v.8** κρίνω^{vifa3p} ἔθνος^{nanpc} καί^{cc} κρατέω^{vifa3p} λαός^{ngmpc} καί^{cc} βασιλεύω^{vifa3s} αὐτός^{rpgmp} κύριος^{nnmsc} εἰς^{pa} ὁ^{damp} αἰών^{nampc}. **v.9** ὁ^{dnmp} πείθω^{vpxanmp} ἐπί^{pd} αὐτός^{rpdms} συνίημι^{vifa3p} ἀλήθεια^{nafsc} καί^{cc} ὁ^{dnmp} πιστός^{annmpn} ἐν^{pd} ἀγάπη^{ndfsc} προσμένω^{vifa3p} αὐτός^{rpdms} ὅτι^{cs} χάρις^{nnfsc} καί^{cc} ἔλεος^{nnnsc} ὁ^{ddmp} ἐκλεκτός^{andmpn} αὐτός^{rpgms}. **v.10** ὁ^{dnmp} δέ^{cc} ἀσεβής^{annmpn} καθά^{cs} λογίζομαι^{viam3p} ἔχω^{vifa3p} ἐπιτιμία^{nafsc} ὁ^{dnmp} ἀμελέω^{vpaanmp} ὁ^{dgms} δίκαιος^{angmsn} καί^{cc} ὁ^{dgms} κύριος^{ngmsc} ἀφίστημι^{vpaanmp}. **v.11** σοφία^{nafsc} γάρ^{cc} καί^{cc} παιδεία^{nafsc} ὁ^{dnms} ἐξουθενόω^{vppanms} ταλαίπωρος^{annmsn} καί^{cc} κενός^{annfsn} ὁ^{dnfs} ἐλπίς^{nnfsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dnmp} κόπος^{nnmpc} ἀνόνητος^{annmpn} καί^{cc} ἄχρηστος^{annnpn} ὁ^{dnnp} ἔργον^{nnnpc} αὐτός^{rpgmp}. **v.12** ὁ^{dnfp} γυνή^{nnfpc} αὐτός^{rpgmp} ἄφρων^{annfpn} καί^{cc} πονηρός^{annnpn} ὁ^{dnnp} τέκνον^{nnnpc} αὐτός^{rpgmp} ἐπικατάρατος^{annfsn} ὁ^{dnfs} γένεσις^{nnfsc} αὐτός^{rpgmp}. **v.13** ὅτι^{cs} μακάριος^{annfsn} στεῖρα^{nnfsc} ὁ^{dnfs} ἀμίαντος^{annfsn} ὅστις^{rrnfs} οὐ^{b} γινώσκω^{viaa3s} κοίτη^{nafsc} ἐν^{pd} παράπτωμα^{ndnsc} ἔχω^{vifa3s} καρπός^{namsc} ἐν^{pd} ἐπισκοπή^{ndfsc} ψυχή^{ngfpc}. **v.14** καί^{cc} εὐνοῦχος^{nnmsc} ὁ^{dnms} μή^{x} ἐργάζομαι^{vpamnms} ἐν^{pd} χείρ^{ndfsc} ἀνόμημα^{nansc} μηδέ^{x} ἐνθυμέομαι^{vpapnms} κατά^{pg} ὁ^{dgms} κύριος^{ngmsc} πονηρός^{ananpn} δίδωμι^{vifp3s} γάρ^{cc} αὐτός^{rpdms} ὁ^{dgfs} πίστις^{ngfsc} χάρις^{nnfsc} ἐκλεκτός^{annfsn} καί^{cc} κλῆρος^{nnmsc} ἐν^{pd} ναός^{ndmsc} κύριος^{ngmsc} θυμήρης^{annmsc}. **v.15** ἀγαθός^{angmpn} γάρ^{cc} πόνος^{ngmpc} καρπός^{nnmsc} εὐκλεής^{annmsn} καί^{cc} ἀδιάπτωτος^{annfsn} ὁ^{dnfs} ῥίζα^{nnfsc} ὁ^{dgfs} φρόνησις^{ngfsc}. **v.16** τέκνον^{nnnpc} δέ^{cc} μοιχός^{ngmpc} ἀτέλεστος^{annnpn} εἰμί^{vifm3s} καί^{cc} ἐκ^{pg} παράνομος^{angfsn} κοίτη^{ngfsc} σπέρμα^{nnnsc} ἀφανίζω^{vifp3s}. **v.17** ἐάν^{cs} τέ^{cc} γάρ^{cc} μακρόβιος^{annmpn} γίνομαι^{vsam3p} εἰς^{pa} οὐθείς^{rians} λογίζομαι^{vifp3p} καί^{cc} ἄτιμος^{annnsn} ἐπί^{pg} ἔσχατος^{angnpn} ὁ^{dnns} γῆρας^{nnnsc} αὐτός^{rpgmp}.

σιν ἐλπίδα οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον. γενεᾶς γὰρ 19
ἀδίκου χαλεπὰ τὰ τέλη.

κρείσσων ἀτεκνία μετὰ ἀρετῆς ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ **4**
αὐτῆς ὅτι καὶ παρὰ θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις. πα- 2
ροῦσάν τε μιμοῦνται αὐτὴν καὶ ποθοῦσιν ἀπελθοῦσαν καὶ ἐν τῷ
αἰῶνι στεφανηφοροῦσα πομπεύει τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα
νικήσασα. πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει καὶ ἐκ 3
νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος οὐδὲ ἀσφαλῆ βάσιν
ἑδράσει. κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ ἐπισφαλῶς 4
βεβηκότα ὑπὸ ἀνέμου σαλευθήσεται καὶ ὑπὸ βίας ἀνέμων ἐκρι-
ζωθήσεται. περικλασθήσονται κλῶνες ἀτέλεστοι καὶ ὁ καρπὸς 5
αὐτῶν ἄχρηστος ἄωρος εἰς βρῶσιν καὶ εἰς οὐθὲν ἐπιτήδειος. ἐκ 6
γὰρ ἀνόμων ὕπνων τέκνα γεννώμενα μάρτυρές εἰσιν πονηρίας κα-
τὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν. δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι 7
ἐν ἀναπαύσει ἔσται. γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐ- 8
δὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. πολιὰ δέ ἐστιν φρόνησις ἀνθρώποις 9
καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. εὐάρεστος θεῷ γενόμενος ἠ- 10
γαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. ἥρπάγη μὴ κακία 11
ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. βασκα- 12
νία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας
μεταλλεύει νοῦν ἄκακον. τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσεν χρό- 13

---

v.18 ἐάν^{cs} τέ^{cc} ὀξέως^{b} τελευτάω^{vsaa3p} οὐ^{b} ἔχω^{vifa3p} ἐλπίς^{nafsc} οὐδέ^{cc} ἐν^{pd} ἡμέρα^{ndfsc} διάγνωσις^{ngfsc} παραμύθιον^{nansc}. **v.19** γενεά^{ngfsc} γάρ^{cc} ἄδικος^{angfsn} χαλεπός^{annnpn} ὁ^{dnnp} τέλος^{nnnpc}. **4. v.1** ἀγαθός^{annfsc} ἀτεκνία^{nnfsc} μετά^{pg} ἀρετή^{ngfsc} ἀθανασία^{nnfsc} γάρ^{cc} εἰμί^{vipa3s} ἐν^{pd} μνήμη^{ndfsc} αὐτός^{rpgfs} ὅτι^{cs} καί^{cc} παρά^{pd} θεός^{ndmsc} γινώσκω^{vipp3s} καί^{cc} παρά^{pd} ἄνθρωπος^{ndmpc}. **v.2** πάρειμι^{vppaafs} τέ^{cc} μιμέομαι^{vipm3p} αὐτός^{rpafs} καί^{cc} ποθέω^{vipa3p} ἀπέρχομαι^{vpaaafs} καί^{cc} ἐν^{pd} ὁ^{ddms} αἰών^{ndmsc} στεφανηφορέω^{vppanfs} πομπεύω^{vipa3s} ὁ^{dams} ὁ^{dgnp} ἀμίαντος^{angnpn} ἆθλον^{ngnpc} ἀγών^{namsc} νικάω^{vpaanfs}. **v.3** πολύγονος^{annnsn} δέ^{cc} ἀσεβής^{angmpn} πλῆθος^{nnnsc} οὐ^{b} χρησιμεύω^{vifa3s} καί^{cc} ἐκ^{pg} νόθος^{angnpn} μόσχευμα^{ngnpc} οὐ^{b} δίδωμι^{vifa3s} ῥίζα^{nafsc} εἰς^{pa} βάθος^{nansc} οὐδέ^{cc} ἀσφαλής^{anafsn} βάσις^{nafsc} ἑδράζω^{vifa3s}. **v.4** καί&ἐάν$^{cc\&cs}$ γάρ^{cc} ἐν^{pd} κλάδος^{ndmpc} πρός^{pa} καιρός^{namsc} ἀναθάλλω^{vsaa3s} ἐπισφαλῶς^{b} βαίνω^{vpxannp} ὑπό^{pg} ἄνεμος^{ngmsc} σαλεύω^{vifp3s} καί^{cc} ὑπό^{pg} βία^{ngfsc} ἄνεμος^{ngmpc} ἐκριζόω^{vifp3s}. **v.5** περικλάω^{vifp3p} κλών^{nnmpc} ἀτέλεστος^{annmpn} καί^{cc} ὁ^{dnms} καρπός^{nnmsc} αὐτός^{rpgmp} ἄχρηστος^{annmsn} ἄωρος^{annmsn} εἰς^{pa} βρῶσις^{nafsc} καί^{cc} εἰς^{pa} οὐθείς^{rians} ἐπιτήδειος^{annmsn}. **v.6** ἐκ^{pg} γάρ^{cc} ἄνομος^{angmpn} ὕπνος^{ngmpc} τέκνον^{nnnpc} γεννάω^{vpppnnp} μάρτυς^{nnmpc} εἰμί^{vipa3p} πονηρία^{ngfsc} κατά^{pg} γονεύς^{ngmpc} ἐν^{pd} ἐξετασμός^{ndmsc} αὐτός^{rpgmp}. **v.7** δίκαιος^{annmsn} δέ^{cc} ἐάν^{cs} φθάνω^{vsaa3s} τελευτάω^{vnaa} ἐν^{pd} ἀνάπαυσις^{ndfsc} εἰμί^{vifm3s}. **v.8** γῆρας^{nnnsc} γάρ^{cc} τίμιος^{annnsn} οὐ^{b} ὁ^{dans} πολυχρόνιος^{anansn} οὐδέ^{cc} ἀριθμός^{ndmsc} ἔτος^{ngnpc} μετρέω^{vixp3s}. **v.9** πολιά^{nnfsc} δέ^{cc} εἰμί^{vipa3s} φρόνησις^{nnfsc} ἄνθρωπος^{ndmpc} καί^{cc} ἡλικία^{nnfsc} γῆρας^{ngnsc} βίος^{nnmsc} ἀκηλίδωτος^{annmsn}. **v.10** εὐάρεστος^{annmsn} θεός^{ndmsc} γίνομαι^{vpamnms} ἀγαπάω^{viap3s} καί^{cc} ζάω^{vppanms} μεταξύ^{pg} ἁμαρτωλός^{angmpn} μετατίθημι^{viap3s}. **v.11** ἁρπάζω^{viap3s} μή^{x} κακία^{nnfsc} ἀλλάσσω^{vsaa3s} σύνεσις^{nafsc} αὐτός^{rpgms} ἤ^{cc} δόλος^{nnmsc} ἀπατάω^{vsaa3s} ψυχή^{nafsc} αὐτός^{rpgms}. **v.12** βασκανία^{nnfsc} γάρ^{cc} φαυλότης^{ngfsc} ἀμαυρόω^{vipa3s} ὁ^{danp} καλός^{anaapn} καί^{cc} ῥεμβασμός^{nnmsc} ἐπιθυμία^{ngfsc} μεταλλεύω^{vipa3s} νοῦς^{namsc} ἄκακος^{anamsn}.

14 νους μακρούς. ἀρεστὴ γὰρ ἦν κυρίῳ ἡ ψυχὴ αὐτοῦ διὰ τοῦτο
ἔσπευσεν ἐκ μέσου πονηρίας οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες
15 μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς
16 ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ. κατακρινεῖ
δὲ δίκαιος καμὼν τοὺς ζῶντας ἀσεβεῖς καὶ νεότης τελεσθεῖσα τα-
17 χέως πολυετὲς γῆρας ἀδίκου. ὄψονται γὰρ τελευτὴν σοφοῦ καὶ
οὐ νοήσουσιν τί ἐβουλεύσατο περὶ αὐτοῦ καὶ εἰς τί ἠσφαλίσατο
18 αὐτὸν ὁ κύριος. ὄψονται καὶ ἐξουθενήσουσιν αὐτοὺς δὲ ὁ κύ-
19 ριος ἐκγελάσεται. καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον καὶ
εἰς ὕβριν ἐν νεκροῖς δι᾽ αἰῶνος ὅτι ῥήξει αὐτοὺς ἀφώνους πρηνεῖς
καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων καὶ ἕως ἐσχάτου χερσωθήσονται
20 καὶ ἔσονται ἐν ὀδύνῃ καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται. ἐλεύσονται
ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοί καὶ ἐλέγξει αὐτοὺς ἐξ
ἐναντίας τὰ ἀνομήματα αὐτῶν.

5 τότε στήσεται ἐν παρρησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον
τῶν θλιψάντων αὐτὸν καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ.
2 ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ καὶ ἐκστήσονται ἐπὶ τῷ πα-
3 ραδόξῳ τῆς σωτηρίας. ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες καὶ διὰ
4 στενοχωρίαν πνεύματος στενάξονται καὶ ἐροῦσιν. οὗτος ἦν ὃν
ἔσχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ οἱ ἄφρο-
νες τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν καὶ τὴν τελευτὴν αὐτοῦ

---

v.13 τελειόω^{vpapnms} ἐν^{pd} ὀλίγος^{andnsn} πληρόω^{viaa3s} χρόνος^{nampc} μακρός^{anampn}. **v.14** ἀρεστός^{annfsn} γάρ^{cc} εἰμί^{viia3s} κύριος^{ndmsc} ὁ^{dnfs} ψυχή^{nnfsc} αὐτός^{rpgms} διά^{pa} οὗτος^{rdans} σπεύδω^{viaa3s} ἐκ^{pg} μέσος^{angnsn} πονηρία^{ngfsc} ὁ^{dnmp} δέ^{cc} λαός^{nnmpc} ὁράω^{vpaanmp} καί^{cc} μή^{x} νοέω^{vpaanmp} μηδέ^{x} τίθημι^{vpaanmp} ἐπί^{pd} διάνοια^{ndfsc} ὁ^{dans} τοιοῦτος^{adansn}. **v.15** ὅτι^{cs} χάρις^{nnfsc} καί^{cc} ἔλεος^{nnnsc} ἐν^{pd} ὁ^{ddmp} ἐκλεκτός^{andmpn} αὐτός^{rpgms} καί^{cc} ἐπισκοπή^{nnfsc} ἐν^{pd} ὁ^{ddmp} ὅσιος^{andmpn} αὐτός^{rpgms}. **v.16** κατακρίνω^{vifa3s} δέ^{cc} δίκαιος^{annmsn} κάμνω^{vpaanms} ὁ^{damp} ζάω^{vppaamp} ἀσεβής^{anampn} καί^{cc} νεότης^{nnfsc} τελέω^{vpapnfs} ταχέως^{b} πολυετής^{anansn} γῆρας^{nansc} ἄδικος^{angmsn}. **v.17** ὁράω^{vifm3p} γάρ^{cc} τελευτή^{nafsc} σοφός^{angmsn} καί^{cc} οὐ^{b} νοέω^{vifa3p} τίς^{rqans} βουλεύω^{viam3s} περί^{pg} αὐτός^{rpgms} καί^{cc} εἰς^{pa} τίς^{rqans} ἀσφαλίζω^{viam3s} αὐτός^{rpams} ὁ^{dnms} κύριος^{nnmsc}. **v.18** ὁράω^{vifm3p} καί^{cc} ἐξουθενέω^{vifa3p} αὐτός^{rpamp} δέ^{cc} ὁ^{dnms} κύριος^{nnmsc} ἐκγελάω^{vifm3s}. **v.19** καί^{cc} εἰμί^{vifm3p} μετά^{pa} οὗτος^{rdans} εἰς^{pa} πτῶμα^{nansc} ἄτιμος^{anansn} καί^{cc} εἰς^{pa} ὕβρις^{nafsc} ἐν^{pd} νεκρός^{andmpn} διά^{pg} αἰών^{ngmsc} ὅτι^{cs} ῥήγνυμι^{vifa3s} αὐτός^{rpamp} ἄφωνος^{anampn} πρηνής^{anampn} καί^{cc} σαλεύω^{vifa3s} αὐτός^{rpamp} ἐκ^{pg} θεμέλιον^{ngnpc} καί^{cc} ἕως^{pg} ἔσχατος^{angnsn} χερσόομαι^{vifp3p} καί^{cc} εἰμί^{vifm3p} ἐν^{pd} ὀδύνη^{ndfsc} καί^{cc} ὁ^{dnfs} μνήμη^{nnfsc} αὐτός^{rpgmp} ἀπόλλυμι^{vifm3s}. **v.20** ἔρχομαι^{vifm3p} ἐν^{pd} συλλογισμός^{ndmsc} ἁμάρτημα^{ngnpc} αὐτός^{rpgmp} δειλός^{annmpn} καί^{cc} ἐλέγχω^{vifa3s} αὐτός^{rpamp} ἐκ^{pg} ἐναντίος^{angfsn} ὁ^{dnnp} ἀνόμημα^{nnnpc} αὐτός^{rpgmp}. **5. v.1** τότε^{b} ἵστημι^{vifm3s} ἐν^{pd} παρρησία^{ndfsc} πολύς^{andfsn} ὁ^{dnms} δίκαιος^{annmsn} κατά^{pa} πρόσωπον^{nansc} ὁ^{dgmp} θλίβω^{vpaagmp} αὐτός^{rpams} καί^{cc} ὁ^{dgmp} ἀθετέω^{vppagmp} ὁ^{damp} πόνος^{nampc} αὐτός^{rpgms}. **v.2** ὁράω^{vpaanmp} ταράσσω^{vifp3p} φόβος^{ndmsc} δεινός^{andmsn} καί^{cc} ἐξίστημι^{vifm3p} ἐπί^{pd} ὁ^{ddns} παράδοξος^{andnsn} ὁ^{dgfs} σωτηρία^{ngfsc}. **v.3** λέγω^{vifa3p} ἐν^{pd} ἑαυτοῦ^{rxdmp} μετανοέω^{vppanmp} καί^{cc} διά^{pa} στενοχωρία^{nafsc} πνεῦμα^{ngnsc} στενάζω^{vifm3p} καί^{cc} λέγω^{vifa3p}.

ἄτιμον. πῶς κατελογίσθη ἐν υἱοῖς θεοῦ καὶ ἐν ἁγίοις ὁ κλῆρος 5
αὐτοῦ ἐστιν. ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας καὶ τὸ τῆς 6
δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν
ἡμῖν. ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπωλείας καὶ διωδεύ- 7
σαμεν ἐρήμους ἀβάτους τὴν δὲ ὁδὸν κυρίου οὐκ ἐπέγνωμεν. τί 8
ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία καὶ τί πλοῦτος μετὰ ἀλαζονείας
συμβέβληται ἡμῖν. παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ καὶ ὡς ἀγ- 9
γελία παρατρέχουσα. ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ 10
ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν οὐδὲ ἀτραπὸν τρόπιος αὐ-
τῆς ἐν κύμασιν. ἢ ὡς ὀρνέου διιπτάντος ἀέρα οὐθὲν εὑρίσκεται 11
τεκμήριον πορείας πληγῇ δὲ μαστιζόμενον ταρσῶν πνεῦμα κοῦ-
φον καὶ σχιζόμενον βίᾳ ῥοίζου κινουμένων πτερύγων διωδεύθη
καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ. ἢ ὡς 12
βέλους βληθέντος ἐπὶ σκοπὸν τμηθεὶς ὁ ἀὴρ εὐθέως εἰς ἑαυτὸν
ἀνελύθη ὡς ἀγνοῆσαι τὴν δίοδον αὐτοῦ. οὕτως καὶ ἡμεῖς γεννη- 13
θέντες ἐξελίπομεν καὶ ἀρετῆς μὲν σημεῖον οὐδὲν ἔσχομεν δεῖξαι
ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν. ὅτι ἐλπὶς ἀσεβοῦς ὡς 14
φερόμενος χνοῦς ὑπὸ ἀνέμου καὶ ὡς πάχνη ὑπὸ λαίλαπος διω-
χθεῖσα λεπτὴ καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη καὶ ὡς μνεία
καταλύτου μονοημέρου παρώδευσεν. δίκαιοι δὲ εἰς τὸν αἰῶνα 15
ζῶσιν καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ

---

v.4 οὗτος^{rdnms} εἰμί^{viia3s} ὅς^{rrams} ἔχω^{viaa1p} ποτέ^{b} εἰς^{pa} γέλως^{namsc} καί^{cc} εἰς^{pa} παραβολή^{nafsc} ὀνειδισμός^{ngmsc} ὁ^{dnmp} ἄφρων^{annmpn} ὁ^{dams} βίος^{namsc} αὐτός^{rpgms} λογίζομαι^{viam1p} μανία^{nafsc} καί^{cc} ὁ^{dafs} τελευτή^{nafsc} αὐτός^{rpgms} ἄτιμος^{anafsn}. **v.5** πῶς^{b} καταλογίζομαι^{viap3s} ἐν^{pd} υἱός^{ndmpc} θεός^{ngmsc} καί^{cc} ἐν^{pd} ἅγιος^{andmpn} ὁ^{dnms} κλῆρος^{nnmsc} αὐτός^{rpgms} εἰμί^{vipa3s}. **v.6** ἄρα^{x} πλανάω^{viap1p} ἀπό^{pg} ὁδός^{ngfsc} ἀλήθεια^{ngfsc} καί^{cc} ὁ^{dnns} ὁ^{dgfs} δικαιοσύνη^{ngfsc} φῶς^{nnnsc} οὐ^{b} ἐπιλάμπω^{viaa3s} ἐγώ$^{rpd-p}$ καί^{cc} ὁ^{dnms} ἥλιος^{nnmsc} οὐ^{b} ἀνατέλλω^{viaa3s} ἐγώ$^{rpd-p}$. **v.7** ἀνομία^{ngfsc} ἐμπίπλημι^{viap1p} τρίβος^{ndfpc} καί^{cc} ἀπώλεια^{ngfsc} καί^{cc} διοδεύω^{viaa1p} ἔρημος^{nafpc} ἄβατος^{anafpn} ὁ^{dafs} δέ^{cc} ὁδός^{nafsc} κύριος^{ngmsc} οὐ^{b} ἐπιγινώσκω^{viaa1p}. **v.8** τίς^{rqans} ὠφελέω^{viaa3s} ἐγώ$^{rpa-p}$ ὁ^{dnfs} ὑπερηφανία^{nnfsc} καί^{cc} τίς^{rqans} πλοῦτος^{nnmsc} μετά^{pg} ἀλαζονεία^{ngfsc} συμβάλλω^{vixm3s} ἐγώ$^{rpd-p}$. **v.9** παρέρχομαι^{viaa3s} ἐκεῖνος^{rdnnp} πᾶς^{ainnpn} ὡς^{cs} σκιά^{nnfsc} καί^{cc} ὡς^{cs} ἀγγελία^{nnfsc} παρατρέχω^{vppanfs}. **v.10** ὡς^{cs} ναῦς^{nnfsc} διέρχομαι^{vppmnfs} κυμαίνω^{vppmans} ὕδωρ^{nansc} ὅς^{rrgfs} διαβαίνω^{vpaagfs} οὐ^{b} εἰμί^{vipa3s} ἴχνος^{nnnsc} εὑρίσκω^{vnaa} οὐδέ^{cc} ἀτραπός^{nafsc} τρόπις^{ngfsc} αὐτός^{rpgfs} ἐν^{pd} κῦμα^{ndnpc}. **v.11** ἤ^{cc} ὡς^{cs} ὄρνεον^{ngnsc} διίπταμαι^{vppagns} ἀήρ^{namsc} οὐθείς^{ainnsn} εὑρίσκω^{vipp3s} τεκμήριον^{nnnsc} πορεία^{ngfsc} πληγή^{ndfsc} δέ^{cc} μαστίζω^{vpppnns} ταρσός^{ngmpc} πνεῦμα^{nnnsc} κοῦφος^{annnsn} καί^{cc} σχίζω^{vpppnns} βία^{ndfsc} ῥοῖζος^{ngmsc} κινέω^{vppmgfp} πτέρυξ^{ngfpc} διοδεύω^{viap3s} καί^{cc} μετά^{pa} οὗτος^{rdans} οὐ^{b} εὑρίσκω^{viap3s} σημεῖον^{nnnsc} ἐπίβασις^{ngfsc} ἐν^{pd} αὐτός^{rpdms}. **v.12** ἤ^{cc} ὡς^{cs} βέλος^{ngnsc} βάλλω^{vpapgns} ἐπί^{pa} σκοπός^{namsc} τέμνω^{vpapnms} ὁ^{dnms} ἀήρ^{nnmsc} εὐθέως^{b} εἰς^{pa} ἑαυτοῦ^{rxams} ἀναλύω^{viap3s} ὡς^{cs} ἀγνοέω^{vnaa} ὁ^{dafs} δίοδος^{nafsc} αὐτός^{rpgns}. **v.13** οὕτως^{b} καί^{b} ἐγώ$^{rpn-p}$ γεννάω^{vpapnmp} ἐκλείπω^{viaa1p} καί^{cc} ἀρετή^{ngfsc} μέν^{x} σημεῖον^{nansc} οὐδείς^{rians} ἔχω^{viaa1p} δείκνυμι^{vnaa} ἐν^{pd} δέ^{cc} ὁ^{ddfs} κακία^{ndfsc} ἐγώ$^{rpg-p}$ καταδαπανάω^{viap1p}. **v.14** ὅτι^{cs} ἐλπίς^{nnfsc} ἀσεβής^{angmsn} ὡς^{cs} φέρω^{vpppnms} χνοῦς^{nnmsc} ὑπό^{pg} ἄνεμος^{ngmsc} καί^{cc} ὡς^{cs} πάχνη^{nnfsc} ὑπό^{pg} λαῖλαψ^{ngfsc} διώκω^{vpapnfs} λεπτός^{annfsn} καί^{cc} ὡς^{cs} καπνός^{nnmsc} ὑπό^{pg} ἄνεμος^{ngmsc} διαχέω^{viap3s} καί^{cc} ὡς^{cs} μνεία^{nnfsc} καταλύτης^{ngmsc} μονοήμερος^{angmsn} παροδεύω^{viaa3s}.

16 ὑψίστῳ. διὰ τοῦτο λήμψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ
τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς κυρίου ὅτι τῇ δεξιᾷ σκεπάσει
17 αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. λήμψεται πανοπλίαν
τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.
18 ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν
19, 20 ἀνυπόκριτον. λήμψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα. ὀξυ-
νεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν συνεκπολεμήσει δὲ αὐτῷ ὁ
21 κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται εὔστοχοι βολίδες
ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁ-
22 λοῦνται. καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι
ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης ποταμοὶ δὲ συγκλύσου-
23 σιν ἀποτόμως. ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς
λαῖλαψ ἐκλικμήσει αὐτούς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία
καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

6 ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε μάθετε δικασταὶ περάτων
2 γῆς. ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ
3 ὄχλοις ἐθνῶν. ὅτι ἐδόθη παρὰ κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ
δυναστεία παρὰ ὑψίστου ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βου-
4 λὰς διερευνήσει. ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας οὐκ
ἐκρίνατε ὀρθῶς οὐδὲ ἐφυλάξατε νόμον οὐδὲ κατὰ τὴν βουλὴν τοῦ
5 θεοῦ ἐπορεύθητε. φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν ὅτι κρί-

---

v.15 δίκαιος^{annnmpn} δέ^{cc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ζάω^{vipa3p} καί^{cc} ἐν^{pd} κύριος^{ndmsc} ὁ^{dnms} μισθός^{nnmsc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dnfs} φροντίς^{nnfsc} αὐτός^{rpgmp} παρά^{pd} ὕψιστος^{andmsn}. **v.16** διά^{pa} οὗτος^{rdans} λαμβάνω^{vifm3p} ὁ^{dans} βασίλειον^{nansc} ὁ^{dgfs} εὐπρέπεια^{ngfsc} καί^{cc} ὁ^{dans} διάδημα^{nansc} ὁ^{dgns} κάλλος^{ngnsc} ἐκ^{pg} χείρ^{ngfsc} κύριος^{ngmsc} ὅτι^{cs} ὁ^{ddfs} δεξιός^{andfsn} σκεπάζω^{vifa3s} αὐτός^{rpamp} καί^{cc} ὁ^{ddms} βραχίων^{ndmsc} ὑπερασπίζω^{vifa3s} αὐτός^{rpgmp}. **v.17** λαμβάνω^{vifm3s} πανοπλία^{nafsc} ὁ^{dams} ζῆλος^{namsc} αὐτός^{rpgms} καί^{cc} ὁπλοποιέω^{vifa3s} ὁ^{dafs} κτίσις^{nafsc} εἰς^{pa} ἄμυνα^{nafsc} ἐχθρός^{angmpn}. **v.18** ἐνδύω^{vifm3s} θώραξ^{namsc} δικαιοσύνη^{nafsc} καί^{cc} περιτίθημι^{vifm3s} κόρυς^{nafsc} κρίσις^{nafsc} ἀνυπόκριτος^{anafsn}. **v.19** λαμβάνω^{vifm3s} ἀσπίς^{nafsc} ἀκαταμάχητος^{anafsn} ὁσιότης^{nafsc}. **v.20** ὀξύνω^{vifa3s} δέ^{cc} ἀπότομος^{anafsn} ὀργή^{nafsc} εἰς^{pa} ῥομφαία^{nafsc} συνεκπολεμέω^{vifa3s} δέ^{cc} αὐτός^{rpdms} ὁ^{dnms} κόσμος^{nnmsc} ἐπί^{pa} ὁ^{damp} παράφρων^{nampc}. **v.21** πορεύομαι^{vifm3p} εὔστοχος^{annfpn} βολίς^{nnfpc} ἀστραπή^{ngfpc} καί^{cc} ὡς^{cs} ἀπό^{pg} εὔκυκλος^{angnsn} τόξον^{ngnsc} ὁ^{dgnp} νέφος^{ngnpc} ἐπί^{pa} σκοπός^{namsc} ἄλλομαι^{vifm3p}. **v.22** καί^{cc} ἐκ^{pg} πετροβόλος^{angmsn} θυμός^{ngmsc} πλήρης^{annfpn} ῥίπτω^{vifp3p} χάλαζα^{nnfpc} ἀγανακτέω^{vifa3s} κατά^{pg} αὐτός^{rpgmp} ὕδωρ^{nnnsc} θάλασσα^{ngfsc} ποταμός^{nnmpc} δέ^{cc} συγκλύζω^{vifa3p} ἀποτόμως^{b}. **v.23** ἀνθίστημι^{vifm3s} αὐτός^{rpdmp} πνεῦμα^{nnnsc} δύναμις^{ngfsc} καί^{cc} ὡς^{cs} λαῖλαψ^{nnfsc} ἐκλικμάω^{vifa3s} αὐτός^{rpamp} καί^{cc} ἐρημόω^{vifa3s} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} ἀνομία^{nnfsc} καί^{cc} ὁ^{dnfs} κακοπραγία^{nnfsc} περιτρέπω^{vifa3s} θρόνος^{nampc} δυνάστης^{ngmpc}.
6. v.1 ἀκούω^{vdaa2p} οὖν^{cc} βασιλεύς^{nvmpc} καί^{cc} συνίημι^{vdaa2p} μανθάνω^{vdaa2p} δικαστής^{nvmpc} πέρας^{ngnpc} γῆ^{ngfsc}. **v.2** ἐνωτίζομαι^{vdam2p} ὁ^{dnmp} κρατέω^{vppanmp} πλῆθος^{ngnsc} καί^{cc} γαυρόω^{vpxpnmp} ἐπί^{pd} ὄχλος^{ndmpc} ἔθνος^{ngnpc}. **v.3** ὅτι^{cs} δίδωμι^{viap3s} παρά^{pg} κύριος^{ngmsc} ὁ^{dnfs} κράτησις^{nnfsc} σύ^{rpdmp} καί^{cc} ὁ^{dnfs} δυναστεία^{nnfsc} παρά^{pg} ὕψιστος^{angmsn} ὅς^{rrnms} ἐξετάζω^{vifa3s} σύ^{rpgmp} ὁ^{danp} ἔργον^{nanpc} καί^{cc} ὁ^{dafp} βουλή^{nafpc} διερευνάω^{vifa3s}. **v.4** ὅτι^{cs} ὑπηρέτης^{nnmpc} εἰμί^{vppanmp} ὁ^{dgfs} αὐτός^{rpgms} βασιλεία^{ngfsc} οὐ^{b} κρίνω^{viaa2p} ὀρθῶς^{b} οὐδέ^{cc} φυλάσσω^{viaa2p} νόμος^{namsc} οὐδέ^{cc} κατά^{pa} ὁ^{dafs} βουλή^{nafsc} ὁ^{dgms} θεός^{ngmsc} πορεύομαι^{viap2p}.

σις ἀπότομος ἐν τοῖς ὑπερέχουσιν γίνεται. ὁ γὰρ ἐλάχιστος συγ- 6
γνωστός ἐστιν ἐλέους δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. οὐ γὰρ 7
ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης οὐδὲ ἐντραπήσεται
μέγεθος ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν ὁμοίως τε προνοεῖ
περὶ πάντων. τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα. πρὸς 8, 9
ὑμᾶς οὖν ὦ τύραννοι οἱ λόγοι μου ἵνα μάθητε σοφίαν καὶ μὴ
παραπέσητε. οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται 10
καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν. ἐπιθυμήσατε 11
οὖν τῶν λόγων μου ποθήσατε καὶ παιδευθήσεσθε. λαμπρὰ καὶ 12
ἀμάραντός ἐστιν ἡ σοφία καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγα-
πώντων αὐτὴν καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐτήν. φθάνει 13
τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι. ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ 14
κοπιάσει πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ. τὸ γὰρ ἐνθυ- 15
μηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης καὶ ὁ ἀγρυπνήσας δι᾽
αὐτὴν ταχέως ἀμέριμνος ἔσται. ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ πε- 16
ριέρχεται ζητοῦσα καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς
καὶ ἐν πάσῃ ἐπινοίᾳ ὑπαντᾷ αὐτοῖς. ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθε- 17
στάτη παιδείας ἐπιθυμία φροντὶς δὲ παιδείας ἀγάπη. ἀγάπη δὲ 18
τήρησις νόμων αὐτῆς προσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας.
ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ. ἐπιθυμία ἄρα σοφίας ἀ- 19, 20
νάγει ἐπὶ βασιλείαν. εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ σκήπτροις 21

---

v.5 φρικτῶς^{b} καί^{cc} ταχέως^{b} ἐφίστημι^{vifm3s} σύ^{rpdmp} ὅτι^{cs} κρίσις^{nnfsc} ἀπότομος^{annfsn} ἐν^{pd} ὁ^{ddmp} ὑπερέχω^{vppadmp} γίνομαι^{vipm3s}. **v.6** ὁ^{dnms} γάρ^{cc} ἐλαχύς^{annmss} συγγνωστός^{annmsn} εἰμί^{vipa3s} ἔλεος^{ngnsc} δυνατός^{annmpn} δέ^{cc} δυνατῶς^{b} ἐτάζω^{vifp3p}. **v.7** οὐ^{b} γάρ^{cc} ὑποστέλλω^{vifm3s} πρόσωπον^{nansc} ὁ^{dnms} πᾶς^{aigmpn} δεσπότης^{nnmsc} οὐδέ^{cc} ἐντρέπω^{vifm3s} μέγεθος^{nansc} ὅτι^{cs} μικρός^{anamsn} καί^{cc} μέγας^{anamsn} αὐτός^{rpnms} ποιέω^{viaa3s} ὁμοίως^{b} τέ^{cc} προνοέω^{vipa3s} περί^{pg} πᾶς^{aigmpn}. **v.8** ὁ^{ddmp} δέ^{cc} κραταιός^{andmpn} ἰσχυρός^{annfsn} ἐφίστημι^{vipm3s} ἔρευνα^{nnfsc}. **v.9** πρός^{pa} σύ^{rpamp} οὖν^{cc} ὦ^{i} τύραννος^{nvmpc} ὁ^{dnmp} λόγος^{nnmpc} ἐγώ$^{rpg-s}$ ἵνα^{cs} μανθάνω^{vsaa2p} σοφία^{nafsc} καί^{cc} μή^{x} παραπίπτω^{vsaa2p}. **v.10** ὁ^{dnmp} γάρ^{cc} φυλάσσω^{vpaanmp} ὁσίως^{b} ὁ^{danp} ὅσιος^{ananpn} ὁσιόω^{vifp3p} καί^{cc} ὁ^{dnmp} διδάσκω^{vpapnmp} αὐτός^{rpanp} εὑρίσκω^{vifa3p} ἀπολογία^{nafsc}. **v.11** ἐπιθυμέω^{vdaa2p} οὖν^{cc} ὁ^{dgmp} λόγος^{ngmpc} ἐγώ$^{rpg-s}$ ποθέω^{vdaa2p} καί^{cc} παιδεύω^{vifp2p}. **v.12** λαμπρός^{annfsn} καί^{cc} ἀμάραντος^{annfsn} εἰμί^{vipa3s} ὁ^{dnfs} σοφία^{nnfsc} καί^{cc} εὐχερῶς^{b} θεωρέω^{vipp3s} ὑπό^{pg} ὁ^{dgmp} ἀγαπάω^{vppagmp} αὐτός^{rpafs} καί^{cc} εὑρίσκω^{vipp3s} ὑπό^{pg} ὁ^{dgmp} ζητέω^{vppagmp} αὐτός^{rpafs}. **v.13** φθάνω^{vipa3s} ὁ^{damp} ἐπιθυμέω^{vppaamp} προγινώσκω^{vnap}. **v.14** ὁ^{dnms} ὀρθρίζω^{vpaanms} πρός^{pa} αὐτός^{rpafs} οὐ^{b} κοπιάω^{vifa3s} πάρεδρος^{nafsc} γάρ^{cc} εὑρίσκω^{vifa3s} ὁ^{dgfp} πύλη^{ngfpc} αὐτός^{rpgms}. **v.15** ὁ^{dnns} γάρ^{cc} ἐνθυμέομαι^{vnap} περί^{pg} αὐτός^{rpgfs} φρόνησις^{ngfsc} τελειότης^{nnfsc} καί^{cc} ὁ^{dnms} ἀγρυπνέω^{vpaanms} διά^{pa} αὐτός^{rpafs} ταχέως^{b} ἀμέριμνος^{annmsn} εἰμί^{vifm3s}. **v.16** ὅτι^{cs} ὁ^{damp} ἄξιος^{anampn} αὐτός^{rpgfs} αὐτός^{rpnfs} περιέρχομαι^{vipm3s} ζητέω^{vppanfs} καί^{cc} ἐν^{pd} ὁ^{ddfp} τρίβος^{ndfpc} φαντάζω^{vipp3s} αὐτός^{rpdmp} εὐμενῶς^{b} καί^{cc} ἐν^{pd} πᾶς^{aidfsn} ἐπίνοια^{ndfsc} ὑπαντάω^{vipa3s} αὐτός^{rpdmp}. **v.17** ἀρχή^{nnfsc} γάρ^{cc} αὐτός^{rpgfs} ὁ^{dnfs} ἀληθής^{annfss} παιδεία^{ngfsc} ἐπιθυμία^{nnfsc} φροντίς^{nnfsc} δέ^{cc} παιδεία^{ngfsc} ἀγάπη^{nnfsc}. **v.18** ἀγάπη^{nnfsc} δέ^{cc} τήρησις^{nnfsc} νόμος^{ngmpc} αὐτός^{rpgfs} προσοχή^{nnfsc} δέ^{cc} νόμος^{ngmpc} βεβαίωσις^{nnfsc} ἀφθαρσία^{ngfsc}. **v.19** ἀφθαρσία^{nnfsc} δέ^{cc} ἐγγύς^{pg} εἰμί^{vnpa} ποιέω^{vipa3s} θεός^{ngmsc}. **v.20** ἐπιθυμία^{nnfsc} ἄρα^{x} σοφία^{ngfsc} ἀνάγω^{vipa3s} ἐπί^{pa} βασιλεία^{nafsc}.

τύραννοι λαῶν τιμήσατε σοφίαν ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε.
22 τί δέ ἐστιν σοφία καὶ πῶς ἐγένετο ἀπαγγελῶ καὶ οὐκ ἀποκρύψω
ὑμῖν μυστήρια ἀλλὰ ἀπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω καὶ θήσω εἰς
τὸ ἐμφανὲς τὴν γνῶσιν αὐτῆς καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν.
23 οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω ὅτι οὗτος οὐ κοινωνήσει σο-
24 φίᾳ. πλῆθος δὲ σοφῶν σωτηρία κόσμου καὶ βασιλεὺς φρόνιμος
25 εὐστάθεια δήμου. ὥστε παιδεύεσθε τοῖς ῥήμασίν μου καὶ ὠφε-
λεθήσεσθε.

7 εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος ἴσος ἅπασιν καὶ γηγενοῦς
ἀπόγονος πρωτοπλάστου καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σὰρξ.
2 δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν αἵματι ἐκ σπέρματος ἀνδρὸς καὶ
3 ἡδονῆς ὕπνῳ συνελθούσης. καὶ ἐγὼ δὲ γενόμενος ἔσπασα τὸν
κοινὸν ἀέρα καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν πρώτην φω-
4 νὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων. ἐν σπαργάνοις ἀνετράφην καὶ
5 φροντίσιν. οὐδεὶς γὰρ βασιλέων ἑτέραν ἔσχεν γενέσεως ἀρχήν.
6, 7 μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον ἔξοδός τε ἴση. διὰ τοῦτο
εὐξάμην καὶ φρόνησις ἐδόθη μοι ἐπεκαλεσάμην καὶ ἦλθέν μοι
8 πνεῦμα σοφίας. προέκρινα αὐτὴν σκήπτρων καὶ θρόνων καὶ
9 πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει αὐτῆς. οὐδὲ ὡμοίωσα
αὐτῇ λίθον ἀτίμητον ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀ-
10 λίγη καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς. ὑπὲρ

---

μηδὲ ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Σουφιρ. μὴ ἀστόχει γυναικὸς 19
σοφῆς καὶ ἀγαθῆς ἡ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον. μὴ κα- 20
κώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ μηδὲ μίσθιον διδόντα τὴν
ψυχὴν αὐτοῦ. οἰκέτην συνετὸν ἀγαπάτω σου ἡ ψυχή μὴ στερή- 21
σῃς αὐτὸν ἐλευθερίας. κτήνη σοί ἐστιν ἐπισκέπτου αὐτά καὶ εἰ 22
ἔστιν σοι χρήσιμα ἐμμενέτω σοι. τέκνα σοί ἐστιν παίδευσον αὐ- 23
τὰ καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν. θυγατέρες σοί 24

---

v.7 μή[x] ἁμαρτάνω[vdpa2s] εἰς[pa] πλῆθος[nansc] πόλις[ngfsc] καί[cc] μή[x] καταβάλλω[vsaa2s] σεαυτοῦ[rxams] ἐν[pd] ὄχλος[ndmsc]. **v.8** μή[x] καταδεσμεύω[vsaa2s] δίς[b] ἁμαρτία[nafsc] ἐν[pd] γάρ[cc] ὁ[ddfs] εἷς[acdfsn] οὐ[b] ἀθῷος[annmsn] εἰμί[vifm2s]. **v.9** μή[x] λέγω[vsaa2s] ὁ[ddns] πλῆθος[ndnsc] ὁ[dgnp] δῶρον[ngnpc] ἐγώ[rpg-s] ἐφοράω[vifm3s] καί[cc] ἐν[pd] ὁ[ddns] προσφέρω[vnaa] ἐγώ[rpa-s] θεός[ndmsc] ὕψιστος[andmsn] προσδέχομαι[vifm3s]. **v.10** μή[x] ὀλιγοψυχέω[vsaa2s] ἐν[pd] ὁ[ddfs] προσευχή[ndfsc] σύ[rpg-s] καί[cc] ἐλεημοσύνη[nafsc] ποιέω[vnaa] μή[x] παροράω[vsaa2s]. **v.11** μή[x] καταγελάω[vdpa2s] ἄνθρωπος[namsc] εἰμί[vppaams] ἐν[pd] πικρία[ndfsc] ψυχή[ngfsc] αὐτός[rpgms] εἰμί[vipa3s] γάρ[cc] ὁ[dnms] ταπεινόω[vppanms] καί[cc] ἀνυψόω[vppanms]. **v.12** μή[x] ἀροτριάω[vdpa2s] ψεῦδος[nansc] ἐπί[pd] ἀδελφός[ndmsc] σύ[rpg-s] μηδέ[x] φίλος[andmsn] ὁ[dans] ὅμοιος[anansn] ποιέω[vdpa2s]. **v.13** μή[x] θέλω[vdpa2s] ψεύδομαι[vnpm] πᾶς[aiansn] ψεῦδος[nansc] ὁ[dnms] γάρ[cc] ἐνδελεχισμός[nnmsc] αὐτός[rpgns] οὐ[b] εἰς[pa] ἀγαθός[anansn]. **v.14** μή[x] ἀδολεσχέω[vdpa2s] ἐν[pd] πλῆθος[ndnsc] πρεσβύτερος[angmpc] καί[cc] μή[x] δευτερόω[vsaa2s] λόγος[namsc] ἐν[pd] προσευχή[ndfsc] σύ[rpg-s]. **v.15** μή[x] μισέω[vsaa2s] ἐπίπονος[anafsn] ἐργασία[nafsc] καί[cc] γεωργία[nafsc] ὑπό[pg] ὕψιστος[angmsn] κτίζω[vpxpafs]. **v.16** μή[x] προσλογίζομαι[vdpm2s] σεαυτοῦ[rxams] ἐν[pd] πλῆθος[ndnsc] ἁμαρτωλός[angmpn] μιμνήσκομαι[vdap2s] ὅτι[cs] ὀργή[nnfsc] οὐ[b] χρονίζω[vifa3s]. **v.17** ταπεινόω[vdaa2s] σφόδρα[b] ὁ[dafs] ψυχή[nafsc] σύ[rpg-s] ὅτι[cs] ἐκδίκησις[nnfsc] ἀσεβής[angmsn] πῦρ[nnnsc] καί[cc] σκώληξ[nnmsc]. **v.18** μή[x] ἀλλάσσω[vsaa2s] φίλος[anamsn] ἕνεκα[pg] διάφορος[angmsn] μηδέ[x] ἀδελφός[namsc] γνήσιος[anamsn] ἐν[pd] χρυσίον[ndnsc] Σουφιρ[ng-sp]. **v.19** μή[x] ἀστοχέω[vdpa2s] γυνή[ngfsc] σοφός[angfsn] καί[cc] ἀγαθός[angfsn] ὁ[dnfs] γάρ[cc] χάρις[nnfsc] αὐτός[rpgfs] ὑπέρ[pa] ὁ[dans] χρυσίον[nansc]. **v.20** μή[x] κακόω[vsaa2s] οἰκέτης[namsc] ἐργάζομαι[vppmams] ἐν[pd] ἀλήθεια[ndfsc] μηδέ[x] μίσθιος[namsc] δίδωμι[vppaams] ὁ[dafs] ψυχή[nafsc] αὐτός[rpgms]. **v.21** οἰκέτης[namsc] συνετός[anamsn] ἀγαπάω[vdpa3s] σύ[rpg-s] ὁ[dnfs] ψυχή[nnfsc] μή[x] στερέω[vsaa2s] αὐτός[rpams] ἐλευθερία[ngfsc]. **v.22** κτῆνος[nanpc] σύ[rpd-s] εἰμί[vipa3s] ἐπισκέπτομαι[vdpm2s] αὐτός[rpanp] καί[cc] εἰ[cs] εἰμί[vipa3s] σύ[rpd-s] χρήσιμος[annnpn] ἐμμένω[vdpa3s] σύ[rpd-s]. **v.23** τέκνον[nnnpc] σύ[rpd-s] εἰμί[vipa3s] παιδεύω[vdaa2s] αὐτός[rpanp] καί[cc] κάμπτω[vdaa2s] ἐκ[pg] νεότης[ngfsc] ὁ[dams] τράχηλος[namsc] αὐτός[rpgmp].

εἰσιν πρόσεχε τῷ σώματι αὐτῶν καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ
25 πρόσωπόν σου. ἔκδου θυγατέρα καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα
26 καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν. γυνή σοί ἐστιν κατὰ ψυχήν
27 μὴ ἐκβάλῃς αὐτήν καὶ μισουμένῃ μὴ ἐμπιστεύσῃς σεαυτόν. ἐν
ὅλῃ καρδίᾳ σου δόξασον τὸν πατέρα σου καὶ μητρὸς ὠδῖνας μὴ
28 ἐπιλάθῃ. μνήσθητι ὅτι δι᾽ αὐτῶν ἐγεννήθης καὶ τί ἀνταποδώσεις
29 αὐτοῖς καθὼς αὐτοί σοί. ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν κύ-
30 ριον καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε. ἐν ὅλῃ δυνάμει ἀγάπησον
τὸν ποιήσαντά σε καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς.
31 φοβοῦ τὸν κύριον καὶ δόξασον ἱερέα καὶ δὸς τὴν μερίδα αὐτῷ
καθὼς ἐντέταλταί σοι ἀπαρχὴν καὶ περὶ πλημμελείας καὶ δόσιν
32 βραχιόνων καὶ θυσίαν ἁγιασμοῦ καὶ ἀπαρχὴν ἁγίων. καὶ πτω-
33 χῷ ἔκτεινον τὴν χεῖρά σου ἵνα τελειωθῇ ἡ εὐλογία σου. χάρις
δόματος ἔναντι παντὸς ζῶντος καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χά-
34 ριν. μὴ ὑστέρει ἀπὸ κλαιόντων καὶ μετὰ πενθούντων πένθησον.
35 μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον ἄνθρωπον ἐκ γὰρ τῶν τοιούτων
36 ἀγαπηθήσῃ. ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου
καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

8 μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου μήποτε ἐμπέσῃς εἰς
2 τὰς χεῖρας αὐτοῦ. μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου μήποτε
ἀντιστήσῃ σου τὴν ὁλκήν πολλοὺς γὰρ ἀπώλεσεν τὸ χρυσίον καὶ

---

v.24 θυγάτηρ^{nnfpc} σύ$^{rpd\text{-}s}$ εἰμί^{vipa3p} προσέχω^{vdpa2s} ὁ^{ddns} σῶμα^{ndnsc} αὐτός^{rpgfp} καί^{cc} μή^{x} ἱλαρόω^{vsaa2s} πρός^{pa} αὐτός^{rpafp} ὁ^{dans} πρόσωπον^{nansc} σύ$^{rpg\text{-}s}$. **v.25** ἐκδίδωμι^{vdam2s} θυγάτηρ^{nafsc} καί^{cc} εἰμί^{vifm2s} τελέω^{vpxanms} ἔργον^{nansc} μέγας^{anansn} καί^{cc} ἀνήρ^{ndmsc} συνετός^{andmsn} δωρέομαι^{vdam2s} αὐτός^{rpafs}. **v.26** γυνή^{nnfsc} σύ$^{rpd\text{-}s}$ εἰμί^{vipa3s} κατά^{pa} ψυχή^{nafsc} μή^{x} ἐκβάλλω^{vsaa2s} αὐτός^{rpafs} καί^{cc} μισέω^{vpppdfs} μή^{x} ἐμπιστεύω^{vsaa2s} σεαυτοῦ^{rxams}. **v.27** ἐν^{pd} ὅλος^{andfsn} καρδία^{ndfsc} σύ$^{rpg\text{-}s}$ δοξάζω^{vdaa2s} ὁ^{dams} πατήρ^{namsc} σύ$^{rpg\text{-}s}$ καί^{cc} μήτηρ^{ngfsc} ὠδίν^{nafpc} μή^{x} ἐπιλανθάνομαι^{vsam2s}. **v.28** μιμνήσκομαι^{vdap2s} ὅτι^{cs} διά^{pg} αὐτός^{rpgmp} γεννάω^{viap2s} καί^{cc} τίς^{rqans} ἀνταποδίδωμι^{vifa2s} αὐτός^{rpdmp} καθώς^{cs} αὐτός^{rpnmp} σύ$^{rpd\text{-}s}$. **v.29** ἐν^{pd} ὅλος^{andfsn} ψυχή^{ndfsc} σύ$^{rpg\text{-}s}$ εὐλαβέομαι^{vdpm2s} ὁ^{dams} κύριος^{namsc} καί^{cc} ὁ^{damp} ἱερεύς^{nampc} αὐτός^{rpgms} θαυμάζω^{vdpa2s}. **v.30** ἐν^{pd} ὅλος^{andfsn} δύναμις^{ndfsc} ἀγαπάω^{vdaa2s} ὁ^{dams} ποιέω^{vpaaams} σύ$^{rpa\text{-}s}$ καί^{cc} ὁ^{damp} λειτουργός^{nampc} αὐτός^{rpgms} μή^{x} ἐγκαταλείπω^{vsaa2s}. **v.31** φοβέω^{vdpm2s} ὁ^{dams} κύριος^{namsc} καί^{cc} δοξάζω^{vdaa2s} ἱερεύς^{namsc} καί^{cc} δίδωμι^{vdaa2s} ὁ^{dafs} μερίς^{nafsc} αὐτός^{rpdms} καθώς^{cs} ἐντέλλομαι^{vixp3s} σύ$^{rpd\text{-}s}$ ἀπαρχή^{nafsc} καί^{cc} περί^{pg} πλημμέλεια^{ngfsc} καί^{cc} δόσις^{nafsc} βραχίων^{ngmpc} καί^{cc} θυσία^{nafsc} ἁγιασμός^{ngmsc} καί^{cc} ἀπαρχή^{nafsc} ἅγιος^{angnpn}. **v.32** καί^{cc} πτωχός^{andmsn} ἐκτείνω^{vdaa2s} ὁ^{dafs} χείρ^{nafsc} σύ$^{rpg\text{-}s}$ ἵνα^{cs} τελειόω^{vsap3s} ὁ^{dnfs} εὐλογία^{nnfsc} σύ$^{rpg\text{-}s}$. **v.33** χάρις^{nnfsc} δόμα^{ngnsc} ἔναντι^{pg} πᾶς^{aigmsn} ζάω^{vppagms} καί^{cc} ἐπί^{pd} νεκρός^{andmsn} μή^{x} ἀποκωλύω^{vsaa2s} χάρις^{nafsc}. **v.34** μή^{x} ὑστερέω^{vdpa2s} ἀπό^{pg} κλαίω^{vppagmp} καί^{cc} μετά^{pg} πενθέω^{vppagmp} πενθέω^{vdaa2s}. **v.35** μή^{x} ὀκνέω^{vdpa2s} ἐπισκέπτομαι^{vnpm} ἄρρωστος^{anamsn} ἄνθρωπος^{namsc} ἐκ^{pg} γάρ^{cc} ὁ^{dgnp} τοιοῦτος^{adgnpn} ἀγαπάω^{vifp2s}. **v.36** ἐν^{pd} πᾶς^{aidmpn} ὁ^{ddmp} λόγος^{ndmpc} σύ$^{rpg\text{-}s}$ μιμνήσκομαι^{vdpm2s} ὁ^{danp} ἔσχατος^{ananpn} σύ$^{rpg\text{-}s}$ καί^{cc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} οὐ^{b} ἁμαρτάνω^{vifa2s}. **8. v.1** μή^{x} διαμάχομαι^{vdpm2s} μετά^{pg} ἄνθρωπος^{ngmsc} δυνάστης^{ngmsc} μήποτε^{cs} ἐμπίπτω^{vsaa2s} εἰς^{pa} ὁ^{dafp} χείρ^{nafpc} αὐτός^{rpgms}.

καρδίας βασιλέων ἐξέκλινεν. μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσ- 3
σώδους καὶ μὴ ἐπιστοιβάσῃς ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα. μὴ πρό- 4
σπαιζε ἀπαιδεύτῳ ἵνα μὴ ἀτιμάζωνται οἱ πρόγονοί σου. μὴ ὀνεί- 5
διζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας μνήσθητι ὅτι πάντες
ἐσμὲν ἐν ἐπιτίμοις. μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρᾳ αὐτοῦ καὶ 6
γὰρ ἐξ ἡμῶν γηράσκουσιν. μὴ ἐπίχαιρε ἐπὶ νεκρῷ μνήσθητι ὅτι 7
πάντες τελευτῶμεν. μὴ παρίδῃς διήγημα σοφῶν καὶ ἐν ταῖς πα- 8
ροιμίαις αὐτῶν ἀναστρέφου ὅτι παρ᾽ αὐτῶν μαθήσῃ παιδείαν καὶ
λειτουργῆσαι μεγιστᾶσιν. μὴ ἀστόχει διηγήματος γερόντων καὶ 9
γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν ὅτι παρ᾽ αὐτῶν μα-
θήσῃ σύνεσιν καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν. μὴ ἔκκαιε 10
ἄνθρακας ἁμαρτωλοῦ μὴ ἐμπυρισθῇς ἐν πυρὶ φλογὸς αὐτοῦ. μὴ 11
ἐξαναστῇς ἀπὸ προσώπου ὑβριστοῦ ἵνα μὴ ἐγκαθίσῃ ὡς ἔνεδρον
τῷ στόματί σου. μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου καὶ ἐὰν 12
δανείσῃς ὡς ἀπολωλεκὼς γίνου. μὴ ἐγγυήσῃ ὑπὲρ δύναμίν σου 13
καὶ ἐὰν ἐγγυήσῃ ὡς ἀποτείσων φρόντιζε. μὴ δικάζου μετὰ κρι- 14
τοῦ κατὰ γὰρ τὴν δόξαν αὐτοῦ κρινοῦσιν αὐτῷ. μετὰ τολμηροῦ 15
μὴ πορεύου ἐν ὁδῷ ἵνα μὴ βαρύνηται κατὰ σοῦ αὐτὸς γὰρ κα-
τὰ τὸ θέλημα αὐτοῦ ποιήσει καὶ τῇ ἀφροσύνῃ αὐτοῦ συναπολῇ.
μετὰ θυμώδους μὴ ποιήσῃς μάχην καὶ μὴ διαπορεύου μετ᾽ αὐ- 16
τοῦ τὴν ἔρημον ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα καὶ ὅπου

---

v.2 μή[x] ἐρίζω[vdpa2s] μετά[pg] ἄνθρωπος[ngmsc] πλούσιος[angmsn] μήποτε[cs] ἀνθίστημι[vsaa3s] σύ[rpg-s] ὁ[dafs] ὀλκή[nafsc] πολύς[anampn] γάρ[cc] ἀπόλλυμι[viaa3s] ὁ[dnns] χρυσίον[nnnsc] καί[cc] καρδία[nafpc] βασιλεύς[ngmpc] ἐκκλίνω[viaa3s]. **v.3** μή[x] διαμάχομαι[vdpm2s] μετά[pg] ἄνθρωπος[ngmsc] γλωσσώδης[angmsn] καί[cc] μή[x] ἐπιστοιβάζω[vsaa2s] ἐπί[pa] ὁ[dans] πῦρ[nansc] αὐτός[rpgms] ξύλον[nanpc]. **v.4** μή[x] προσπαίζω[vdpa2s] ἀπαίδευτος[andmsn] ἵνα[cs] μή[x] ἀτιμάζω[vspp3p] ὁ[dnmp] πρόγονος[nnmpc] σύ[rpg-s]. **v.5** μή[x] ὀνειδίζω[vdpa2s] ἄνθρωπος[namsc] ἀποστρέφω[vppaams] ἀπό[pg] ἁμαρτία[ngfsc] μιμνήσκομαι[vdap2s] ὅτι[cs] πᾶς[ainmpn] εἰμί[vipa1p] ἐν[pd] ἐπίτιμος[andnpn]. **v.6** μή[x] ἀτιμάζω[vsaa2s] ἄνθρωπος[namsc] ἐν[pd] γῆρας[ndnsc] αὐτός[rpgms] καί[b] γάρ[cc] ἐκ[pg] ἐγώ[rpg-p] γηράσκω[vipa3p]. **v.7** μή[x] ἐπιχαίρω[vdpa2s] ἐπί[pd] νεκρός[andmsn] μιμνήσκομαι[vdap2s] ὅτι[cs] πᾶς[ainmpn] τελευτάω[vipa1p]. **v.8** μή[x] παροράω[vsaa2s] διήγημα[nansc] σοφός[angmpn] καί[cc] ἐν[pd] ὁ[ddfp] παροιμία[ndfpc] αὐτός[rpgmp] ἀναστρέφω[vdpe2s] ὅτι[cs] παρά[pg] αὐτός[rpgfp] μανθάνω[vifm2s] παιδεία[nafsc] καί[cc] λειτουργέω[vnaa] μεγιστάν[ndmpc]. **v.9** μή[x] ἀστοχέω[vdpa2s] διήγημα[ngnsc] γέρων[ngmpc] καί[cc] γάρ[cc] αὐτός[rpnmp] μανθάνω[viaa3p] παρά[pg] ὁ[dgmp] πατήρ[ngmpc] αὐτός[rpgmp] ὅτι[cs] παρά[pg] αὐτός[rpgmp] μανθάνω[vifm2s] σύνεσις[nafsc] καί[cc] ἐν[pd] καιρός[ndmsc] χρεία[ngfsc] δίδωμι[vnaa] ἀπόκρισις[nafsc]. **v.10** μή[x] ἐκκαίω[vdpa2s] ἄνθραξ[nampc] ἁμαρτωλός[angmsn] μή[x] ἐμπυρίζω[vsap2s] ἐν[pd] πῦρ[ndnsc] φλόξ[ngfsc] αὐτός[rpgms]. **v.11** μή[x] ἐξανίστημι[vsaa2s] ἀπό[pg] πρόσωπον[ngnsc] ὕβριστος[angmsn] ἵνα[cs] μή[x] ἐγκαθίζω[vsaa3s] ὡς[cs] ἔνεδρον[nansc] ὁ[ddns] στόμα[ndnsc] σύ[rpg-s]. **v.12** μή[x] δανείζω[vsaa2s] ἄνθρωπος[ndmsc] ἰσχυρός[andmsc] σύ[rpg-s] καί[cc] ἐάν[cs] δανείζω[vsaa2s] ὡς[cs] ἀπόλλυμι[vpxanms] γίνομαι[vdpm2s]. **v.13** μή[x] ἐγγυάω[vsam2s] ὑπέρ[pa] δύναμις[nafsc] σύ[rpg-s] καί[cc] ἐάν[cs] ἐγγυάω[vsam2s] ὡς[cs] ἀποτίνω[vpfanms] φροντίζω[vdpa2s]. **v.14** μή[x] δικάζω[vdpm2s] μετά[pg] κριτής[ngmsc] κατά[pa] γάρ[cc] ὁ[dafs] δόξα[nafsc] αὐτός[rpgms] κρίνω[vifa3p] αὐτός[rpdms]. **v.15** μετά[pg] τολμηρός[angmsn] μή[x] πορεύομαι[vdpm2s] ἐν[pd] ὁδός[ndfsc] ἵνα[cs] μή[x] βαρύνω[vspm3s] κατά[pg] σύ[rpg-s] αὐτός[rpnms] γάρ[cc] κατά[pa] ὁ[dans] θέλημα[nansc] αὐτός[rpgms] ποιέω[vifa3s] καί[cc] ὁ[ddfs] ἀφροσύνη[ndfsc] αὐτός[rpgms] συναπόλλυμι[vifm2s].

17 οὐκ ἔστιν βοήθεια καταβαλεῖ σε. μετὰ μωροῦ μὴ συμβουλεύου
18 οὐ γὰρ δυνήσεται λόγον στέξαι. ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς
19 κρυπτόν οὐ γὰρ γινώσκεις τί τέξεται. παντὶ ἀνθρώπῳ μὴ ἔκφαινε
σὴν καρδίαν καὶ μὴ ἀναφερέτω σοι χάριν.

9 μὴ ζήλου γυναῖκα τοῦ κόλπου σου μηδὲ διδάξῃς ἐπὶ σεαυτὸν
2 παιδείαν πονηράν. μὴ δῷς γυναικὶ τὴν ψυχήν σου ἐπιβῆναι αὐ-
3 τὴν ἐπὶ τὴν ἰσχύν σου. μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ μήποτε
4 ἐμπέσῃς εἰς τὰς παγίδας αὐτῆς. μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε
5 μήποτε ἁλῷς ἐν τοῖς ἐπιχειρήμασιν αὐτῆς. παρθένον μὴ κα-
6 ταμάνθανε μήποτε σκανδαλισθῇς ἐν τοῖς ἐπιτιμίοις αὐτῆς. μὴ
δῷς πόρναις τὴν ψυχήν σου ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν
7 σου. μὴ περιβλέπου ἐν ῥύμαις πόλεως καὶ ἐν ταῖς ἐρήμοις αὐ-
8 τῆς μὴ πλανῶ. ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου
καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον ἐν κάλλει γυναικὸς πολ-
9 λοὶ ἐπλανήθησαν καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται. μετὰ
ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον καὶ μὴ συμβολοκοπήσῃς μετ᾽ αὐτῆς ἐν οἴνῳ μήποτε ἐκκλίνῃ ἡ ψυχή σου ἐπ᾽ αὐτὴν
10 καὶ τῷ πνεύματί σου ὀλίσθῃς εἰς ἀπώλειαν. μὴ ἐγκαταλίπῃς φί-
λον ἀρχαῖον ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἔφισος αὐτῷ οἶνος νέος
11 φίλος νέος ἐὰν παλαιωθῇ μετ᾽ εὐφροσύνης πίεσαι αὐτόν. μὴ

---

v.16 μετάpg θυμώδηςangmsn μήx ποιέωvsaa2s μάχηnafsc καίcc μήx διαπορεύομαιvdpm2s μετάpg αὐτόςrpgms ὁdafs ἔρημοςnafsc ὅτιcs ὡςcs οὐδείςainnsn ἐνpd ὀφθαλμόςndmpc αὐτόςrpgms αἷμαnnnsc καίcc ὅπουcs οὐb εἰμίvipa3s βοήθειαnnfsc καταβάλλωvifa3s σύrpa-s. **v.17** μετάpg μωρόςangmsn μήx συμβουλεύωvdpm2s οὐb γάρcc δύναμαιvifm3s λόγοςnamsc στέγωvnaa. **v.18** ἐνώπιονpg ἀλλότριοςangmsn μήx ποιέωvsaa2s κρυπτόςanamsn οὐb γάρcc γινώσκωvipa2s τίςrqans τίκτωvifm3s. **v.19** πᾶςaidmsn ἄνθρωποςndmsc μήx ἐκφαίνωvdpa2s σόςasafsn καρδίαnafsc καίcc μήx ἀναφέρωvdpa3s σύrpd-s χάριςnafsc. **9. v.1** μήx ζηλόωvdpa2s γυνήnafsc ὁdgms κόλποςngmsc σύrpg-s μηδέx διδάσκωvsaa2s ἐπίpa σεαυτοῦrxams παιδείαnafsc πονηρόςanafsn. **v.2** μήx δίδωμιvsaa2s γυνήndfsc ὁdafs ψυχήnafsc σύrpg-s ἐπιβαίνωvnaa αὐτόςrpafs ἐπίpa ὁdafs ἰσχύςnafsc σύrpg-s. **v.3** μήx ὑπαντάωvdpa2s γυνήndfsc ἑταιρίζωvppmdfs μήποτεcs ἐμπίπτωvsaa2s εἰςpa ὁdafp παγίςnafpc αὐτόςrpgfs. **v.4** μετάpg ψάλλωvppagfs μήx ἐνδελεχίζωvdpa2s μήποτεcs ἁλίσκομαιvsaa2s ἐνpd ὁddnp ἐπιχείρημαndnpc αὐτόςrpgfs. **v.5** παρθένοςnafsc μήx καταμανθάνωvdpa2s μήποτεcs σκανδαλίζωvsap2s ἐνpd ὁddnp ἐπιτίμιονndnpc αὐτόςrpgfs. **v.6** μήx δίδωμιvsaa2s πόρνηndfpc ὁdafs ψυχήnafsc σύrpg-s ἵναcs μήx ἀπόλλυμιvsaa2s ὁdafs κληρονομίαnafsc σύrpg-s. **v.7** μήx περιβλέπωvdpm2s ἐνpd ῥύμηndfpc πόλιςngfsc καίcc ἐνpd ὁddfp ἔρημοςndfpc αὐτόςrpgfs μήx πλανάωvdpm2s. **v.8** ἀποστρέφωvdaa2s ὀφθαλμόςnamsc ἀπόpg γυνήngfsc εὔμορφοςangfsn καίcc μήx καταμανθάνωvdpa2s κάλλοςnansc ἀλλότριοςanansn ἐνpd κάλλοςndnsc γυνήngfsc πολύςannmpn πλανάωviap3p καίcc ἐκpg οὗτοςrdgns φιλίαnnfsc ὡςcs πῦρnnnsc ἀνακαίωvipm3s. **v.9** μετάpg ὕπανδροςangfsn γυνήngfsc μήx κάθημαιvdpm2s ὁdans σύνολοςanansn καίcc μήx συμβολοκοπέωvsaa2s μετάpg αὐτόςrpgfs ἐνpd οἶνοςndmsc μήποτεcs ἐκκλίνωvspa3svsaa3s ὁdnfs ψυχήnnfsc σύrpg-s ἐπίpa αὐτόςrpafs καίcc ὁddns πνεῦμαndnsc σύrpg-s ὀλισθάνωvsaa2s εἰςpa ἀπώλειαnafsc. **v.10** μήx ἐγκαταλείπωvsaa2s φίλοςanamsn ἀρχαῖοςanamsn ὁdnms γάρcc πρόσφατοςannmsn οὐb εἰμίvipa3s ἔφισοςannmsn αὐτόςrpdms οἶνοςnnmsc νέοςannmsn φίλοςannmsn νέοςannmsn ἐάνcs παλαιόωvsap3s μετάpg εὐφροσύνηngfsc πίνωvifm2s αὐτόςrpams.

ζηλώσῃς δόξαν ἁμαρτωλοῦ οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ. μὴ εὐδοκήσῃς ἐν εὐδοκίᾳ ἀσεβῶν μνήσθητι ὅτι ἕως ᾅδου οὐ μὴ δικαιωθῶσιν. μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου ὃς ἔχει ἐξουσίαν τοῦ φονεύειν καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον θανάτου κἂν προσέλθῃς μὴ πλημμελήσῃς ἵνα μὴ ἀφέληται τὴν ζωήν σου ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς. κατὰ τὴν ἰσχύν σου στόχασαι τοὺς πλησίον καὶ μετὰ σοφῶν συμβουλεύου. μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου καὶ πᾶσα διήγησίς σου ἐν νόμῳ ὑψίστου. ἄνδρες δίκαιοι ἔστωσαν σύνδειπνοί σου καὶ ἐν φόβῳ κυρίου ἔστω τὸ καύχημά σου. ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινεσθήσεται καὶ ὁ ἡγούμενος λαοῦ σοφὸς ἐν λόγῳ αὐτοῦ. φοβερὸς ἐν πόλει αὐτοῦ ἀνὴρ γλωσσώδης καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται.

κριτὴς σοφὸς παιδεύσει τὸν λαὸν αὐτοῦ καὶ ἡγεμονία συνετοῦ τεταγμένη ἔσται. κατὰ τὸν κριτὴν τοῦ λαοῦ οὕτως καὶ οἱ λειτουργοὶ αὐτοῦ καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοικοῦντες αὐτήν. βασιλεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ καὶ πόλις οἰκισθήσεται ἐν συνέσει δυναστῶν. ἐν χειρὶ κυρίου ἡ ἐξουσία τῆς γῆς καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς καιρὸν ἐπ᾽ αὐτῆς. ἐν χειρὶ κυρίου εὐοδία ἀνδρὸς καὶ προσώπῳ γραμματέως ἐπιθήσει δόξαν αὐτοῦ. ἐπὶ παντὶ ἀδικήματι μὴ μηνιάσῃς τῷ πλησίον

---

v.11 μή[x] ζηλόω[vsaa2s] δόξα[nafsc] ἁμαρτωλός[angmsn] οὐ[b] γάρ[cc] οἶδα[vixa2s] τίς[rqans] εἰμί[vifm3s] ὁ[dnfs] καταστροφή[nnfsc] αὐτός[rpgms]. **v.12** μή[x] εὐδοκέω[vsaa2s] ἐν[pd] εὐδοκία[ndfsc] ἀσεβής[angmpn] μιμνήσκομαι[vdap2s] ὅτι[cs] ἕως[pg] ᾅδης[ngmsc] οὐ[b] μή[x] δικαιόω[vsap3p]. **v.13** μακράν[b] ἀπέχω[vdpa2s] ἀπό[pg] ἄνθρωπος[ngmsc] ὅς[rrnms] ἔχω[vipa3s] ἐξουσία[nafsc] ὁ[dgns] φονεύω[vnpa] καί[cc] οὐ[b] μή[x] ὑποπτεύω[vsaa2s] φόβος[namsc] θάνατος[ngmsc] καί&ἐάν[cc&cs] προσέρχομαι[vsaa2s] μή[x] πλημμελέω[vsaa2s] ἵνα[cs] μή[x] ἀφαιρέω[vsam3s] ὁ[dafs] ζωή[nafsc] σύ[rpg-s] ἐπιγινώσκω[vdaa2s] ὅτι[cs] ἐν[pd] μέσος[andnsn] παγίς[ngfpc] διαβαίνω[vipa2s] καί[cc] ἐπί[pg] ἔπαλξις[ngfpc] πόλις[ngfsc] περιπατέω[vipa2s]. **v.14** κατά[pa] ὁ[dafs] ἰσχύς[nafsc] σύ[rpg-s] στοχάζομαι[vdam2s] ὁ[damp] πλησίον[b] καί[cc] μετά[pg] σοφός[angmpn] συμβουλεύω[vdpm2s]. **v.15** μετά[pg] συνετός[angmpn] εἰμί[vdpa3s] ὁ[dnms] διαλογισμός[nnmsc] σύ[rpg-s] καί[cc] πᾶς[ainfsn] διήγησις[nnfsc] σύ[rpg-s] ἐν[pd] νόμος[ndmsc] ὕψιστος[angmsn]. **v.16** ἀνήρ[nnmpc] δίκαιος[annmpn] εἰμί[vdpa3p] σύνδειπνος[nnmpc] σύ[rpg-s] καί[cc] ἐν[pd] φόβος[ndmsc] κύριος[ngmsc] εἰμί[vdpa3s] ὁ[dnns] καύχημα[nnnsc] σύ[rpg-s]. **v.17** ἐν[pd] χείρ[ndfsc] τεχνίτης[ngmpc] ἔργον[nnnsc] ἐπαινέω[vifp3s] καί[cc] ὁ[dnms] ἡγέομαι[vppmnms] λαός[ngmsc] σοφός[annmsn] ἐν[pd] λόγος[ndmsc] αὐτός[rpgms]. **v.18** φοβερός[annmsn] ἐν[pd] πόλις[ndfsc] αὐτός[rpgms] ἀνήρ[nnmsc] γλωσσώδης[annmsn] καί[cc] ὁ[dnms] προπετής[annmsn] ἐν[pd] λόγος[ndmsc] αὐτός[rpgms] μισέω[vifp3s].

10. v.1 κριτής[nnmsc] σοφός[annmsn] παιδεύω[vifa3s] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] καί[cc] ἡγεμονία[nnfsc] συνετός[angmsn] τάσσω[vpxpnfs] εἰμί[vifm3s]. **v.2** κατά[pa] ὁ[dams] κριτής[namsc] ὁ[dgms] λαός[ngmsc] οὕτως[b] καί[b] ὁ[dnmp] λειτουργός[nnmpc] αὐτός[rpgms] καί[cc] κατά[pa] ὁ[dams] ἡγέομαι[vppmams] ὁ[dgfs] πόλις[ngfsc] πᾶς[ainmpn] ὁ[dnmp] κατοικέω[vppanmp] αὐτός[rpafs]. **v.3** βασιλεύς[nnmsc] ἀπαίδευτος[annmsn] ἀπόλλυμι[vifa3s] ὁ[dams] λαός[namsc] αὐτός[rpgms] καί[cc] πόλις[nnfsc] οἰκίζω[vifp3s] ἐν[pd] σύνεσις[ndfsc] δυνάστης[ngmpc]. **v.4** ἐν[pd] χείρ[ndfsc] κύριος[ngmsc] ὁ[dnfs] ἐξουσία[nnfsc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ὁ[dams] χρήσιμος[anamsn] ἐγείρω[vifa3s] εἰς[pa] καιρός[namsc] ἐπί[pg] αὐτός[rpgfs]. **v.5** ἐν[pd] χείρ[ndfsc] κύριος[ngmsc] εὐοδία[nnfsc] ἀνήρ[ngmsc] καί[cc] πρόσωπον[ndnsc] γραμματεύς[ngmsc] ἐπιτίθημι[vifa3s] δόξα[nafsc] αὐτός[rpgms].

7 καὶ μὴ πρᾶσσε μηδὲν ἐν ἔργοις ὕβρεως. μισητὴ ἔναντι κυρίου
καὶ ἀνθρώπων ὑπερηφανία καὶ ἐξ ἀμφοτέρων πλημμελὴς ἡ ἀδι-
8 κία. βασιλεία ἀπὸ ἔθνους εἰς ἔθνος μετάγεται διὰ ἀδικίας καὶ
9 ὕβρεις καὶ χρήματα. τί ὑπερηφανεύεται γῆ καὶ σποδός ὅτι ἐν
10 ζωῇ ἔρριψα τὰ ἐνδόσθια αὐτοῦ. μακρὸν ἀρρώστημα σκώπτει ἰ-
11 ατρός καὶ βασιλεὺς σήμερον καὶ αὔριον τελευτήσει. ἐν γὰρ τῷ
ἀποθανεῖν ἄνθρωπον κληρονομήσει ἑρπετὰ καὶ θηρία καὶ σκώ-
12 ληκας. ἀρχὴ ὑπερηφανίας ἀνθρώπου ἀφίστασθαι ἀπὸ κυρίου
13 καὶ ἀπὸ τοῦ ποιήσαντος αὐτὸν ἀπέστη ἡ καρδία αὐτοῦ. ὅτι ἀρχὴ
ὑπερηφανίας ἁμαρτία καὶ ὁ κρατῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα
διὰ τοῦτο παρεδόξασεν κύριος τὰς ἐπαγωγὰς καὶ κατέστρεψεν
14 εἰς τέλος αὐτούς. θρόνους ἀρχόντων καθεῖλεν ὁ κύριος καὶ ἐ-
15 κάθισεν πραεῖς ἀντ᾽ αὐτῶν. ῥίζας ἐθνῶν ἐξέτιλεν ὁ κύριος καὶ
16 ἐφύτευσεν ταπεινοὺς ἀντ᾽ αὐτῶν. χώρας ἐθνῶν κατέστρεψεν ὁ
17 κύριος καὶ ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς. ἐξῆρεν ἐξ αὐτῶν
καὶ ἀπώλεσεν αὐτοὺς καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον
18 αὐτῶν. οὐκ ἔκτισται ἀνθρώποις ὑπερηφανία οὐδὲ ὀργὴ θυμοῦ
19 γεννήμασιν γυναικῶν. σπέρμα ἔντιμον ποῖον σπέρμα ἀνθρώπου
σπέρμα ἔντιμον ποῖον οἱ φοβούμενοι τὸν κύριον σπέρμα ἄτιμον
ποῖον σπέρμα ἀνθρώπου σπέρμα ἄτιμον ποῖον οἱ παραβαίνοντες
20 ἐντολάς. ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν ἔντιμος καὶ οἱ

---

v.6 ἐπίpd πᾶςaidnsn ἀδίκημαndnsc μήx μηνιάωvsaa2s ὁddms πλησίονb καίcc μήx πράσσωvdpa2s
μηδείςrians ἐνpd ἔργονndnpc ὕβριςngfsc. **v.7** μισητὸςannfsn ἔναντιpg κύριοςngmsc καίcc
ἄνθρωποςngmpc ὑπερηφανίαnnfsc καίcc ἐκpg ἀμφότεροιadgmpn πλημμελὴςannfsn ὁdnfs ἀδικίαnnfsc.
v.8 βασιλείαnnfsc ἀπόpg ἔθνοςngnsc εἰςpa ἔθνοςnansc μετάγωvipp3s διάpa ἀδικίαnafpc καίcc ὕβριςnafpc
καίcc χρῆμαnanpc. **v.9** τίςrqans ὑπερηφανεύωvipm3s γῆnnfsc καίcc σποδόςnnfsc ὅτιcs ἐνpd ζωήndfsc
ῥίπτωviaa1s ὁdanp ἐνδόσθιαnanpc αὐτόςrpgms. **v.10** μακρὸςanansn ἀρρώστημαnansc σκώπτωvipa3s
ἰατρόςnnmsc καίcc βασιλεύςnnmsc σήμερονb καίcc αὔριονb τελευτάωvifa3s. **v.11** ἐνpd
γάρcc ὁddns ἀποθνῄσκωvnaa ἄνθρωποςnamsc κληρονομέωvifa3s ἑρπετόνnanpc καίcc θηρίονnanpc
καίcc σκώληξnampc. **v.12** ἀρχήnnfsc ὑπερηφανίαngfsc ἄνθρωποςngmsc ἀφίστημιvnpm ἀπόpg
κύριοςngmsc καίcc ἀπόpg ὁdgms ποιέωvpaagms αὐτόςrpams ἀφίστημιviaa3s ὁdnfs καρδίαnnfsc
αὐτόςrpgms. **v.13** ὅτιcs ἀρχήnnfsc ὑπερηφανίαngfsc ἁμαρτίαnnfsc καίcc ὁdnms κρατέωvppanms
αὐτόςrpgfs ἐξομβρέωvifa3s βδέλυγμαnansc διάpa οὗτοςrdans παραδοξάζωviaa3s κύριοςnnmsc ὁdafp
ἐπαγωγήnafpc καίcc καταστρέφωviaa3s εἰςpa τέλοςnansc αὐτόςrpamp. **v.14** θρόνοςnampc
ἄρχωνngmpc καθαιρέωviaa3s ὁdnms κύριοςnnmsc καίcc καθίζωviaa3s πραῢςanampn ἀντίpg αὐτόςrpgmp.
v.15 ῥίζαnafpc ἔθνοςngnpc ἐκτίλλωviaa3s ὁdnms κύριοςnnmsc καίcc φυτεύωviaa3s ταπεινόςanampn
ἀντίpg αὐτόςrpgnp. **v.16** χώραnafpc ἔθνοςngnpc καταστρέφωviaa3s ὁdnms κύριοςnnmsc καίcc
ἀπόλλυμιviaa3s αὐτόςrpafp ἕωςpg θεμέλιονngnpc γῆngfsc. **v.17** ἐξαίρωviaa3s ἐκpg αὐτόςrpgmp
καίcc ἀπόλλυμιviaa3s αὐτόςrpamp καίcc καταπαύωviaa3s ἀπόpg γῆngfsc ὁdans μνημόσυνονnansc
αὐτόςrpgmp. **v.18** οὐb κτίζωvixp3s ἄνθρωποςndmpc ὑπερηφανίαnnfsc οὐδέcc ὀργὴnnfsc
θυμόςngmsc γέννημαndnpc γυνήngfpc. **v.19** σπέρμαnnnsc ἔντιμοςannnsn ποῖοςaqnnsn σπέρμαnnnsc
ἄνθρωποςngmsc σπέρμαnnnsc ἔντιμοςannnsn ποῖοςaqnnsn ὁdnmp φοβέωvppmnmp ὁdams κύριοςnamsc
σπέρμαnnnsc ἄτιμοςannnsn ποῖοςaqnnsn σπέρμαnnnsc ἄνθρωποςngmsc σπέρμαnnnsc ἄτιμοςannnsn
ποῖοςaqnnsn ὁdnmp παραβαίνωvppanmp ἐντολήnafpc.

φοβούμενοι κύριον ἐν ὀφθαλμοῖς αὐτοῦ. πλούσιος καὶ ἔνδοξος 22
καὶ πτωχός τὸ καύχημα αὐτῶν φόβος κυρίου. οὐ δίκαιον ἀτιμά- 23
σαι πτωχὸν συνετόν καὶ οὐ καθήκει δοξάσαι ἄνδρα ἁμαρτωλόν.
μεγιστὰν καὶ κριτὴς καὶ δυνάστης δοξασθήσεται καὶ οὐκ ἔστιν 24
αὐτῶν τις μείζων τοῦ φοβουμένου τὸν κύριον. οἰκέτῃ σοφῷ ἐ- 25
λεύθεροι λειτουργήσουσιν καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει. μὴ 26
σοφίζου ποιῆσαι τὸ ἔργον σου καὶ μὴ δοξάζου ἐν καιρῷ στενο-
χωρίας σου. κρείσσων ἐργαζόμενος καὶ περισσεύων ἐν πᾶσιν ἢ 27
περιπατῶν δοξαζόμενος καὶ ἀπορῶν ἄρτων. τέκνον ἐν πραΰτητι 28
δόξασον τὴν ψυχήν σου καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν αὐ-
τῆς. τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς δικαιώσει καὶ 29
τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν αὐτοῦ. πτωχὸς δοξάζεται δι' 30
ἐπιστήμην αὐτοῦ καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ.
ὁ δεδοξασμένος ἐν πτωχείᾳ καὶ ἐν πλούτῳ ποσαχῶς καὶ ὁ ἄδοξος 31
ἐν πλούτῳ καὶ ἐν πτωχείᾳ ποσαχῶς.

σοφία ταπεινοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ καὶ ἐν μέσῳ μεγι- **11**
στάνων καθίσει αὐτόν. μὴ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ καὶ μὴ 2
βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. μικρὰ ἐν πετεινοῖς μέλισσα 3
καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. ἐν περιβολῇ ἱματίων μὴ 4
καυχήσῃ καὶ ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου ὅτι θαυμαστὰ τὰ ἔργα

---

v.20 ἐν^{pd} μέσος^{andnsn} ἀδελφός^{ngmpc} ὁ^{dnms} ἡγέομαι^{vppmnms} αὐτός^{rpgmp} ἔντιμος^{annmsn} καί^{cc} ὁ^{dnmp} φοβέω^{vppmnmp} κύριος^{namsc} ἐν^{pd} ὀφθαλμός^{ndmpc} αὐτός^{rpgms}. **v.22** πλούσιος^{annmsn} καί^{cc} ἔνδοξος^{annmsn} καί^{cc} πτωχός^{annmsn} ὁ^{dnns} καύχημα^{nnnsc} αὐτός^{rpgmp} φόβος^{nnmsc} κύριος^{ngmsc}. **v.23** οὐ^{b} δίκαιος^{annnsn} ἀτιμάζω^{vnaa} πτωχός^{anamsn} συνετός^{anamsn} καί^{cc} οὐ^{b} καθήκω^{vipa3s} δοξάζω^{vnaa} ἀνήρ^{namsc} ἁμαρτωλός^{anamsn}. **v.24** μεγιστάν^{nnmsc} καί^{cc} κριτής^{nnmsc} καί^{cc} δυνάστης^{nnmsc} δοξάζω^{vifp3s} καί^{cc} οὐ^{b} εἰμί^{vipa3s} αὐτός^{rpgmp} τι-σρινμς μέγας^{annmsc} ὁ^{dgms} φοβέω^{vppmgms} ὁ^{dams} κύριος^{namsc}. **v.25** οἰκέτης^{ndmsc} σοφός^{andmsn} ἐλεύθερος^{annmpn} λειτουργέω^{vifa3p} καί^{cc} ἀνήρ^{nnmsc} ἐπιστήμων^{annmsn} οὐ^{b} γογγύζω^{vifa3s}. **v.26** μή^{x} σοφίζω^{vdpm2s} ποιέω^{vnaa} ὁ^{dans} ἔργον^{nansc} σύ$^{rpg-s}$ καί^{cc} μή^{x} δοξάζω^{vdpm2s} ἐν^{pd} καιρός^{ndmsc} στενοχωρία^{ngfsc} σύ$^{rpg-s}$. **v.27** ἀγαθός^{annmsc} ἐργάζομαι^{vppmnms} καί^{cc} περισσεύω^{vppanms} ἐν^{pd} πᾶς^{aidnpn} ἤ^{cc} περιπατέω^{vppanms} δοξάζω^{vppmnms} καί^{cc} ἀπορέω^{vppanms} ἄρτος^{ngmpc}. **v.28** τέκνον^{nvnsc} ἐν^{pd} πραΰτης^{ndfsc} δοξάζω^{vdaa2s} ὁ^{dafs} ψυχή^{nafsc} σύ$^{rpg-s}$ καί^{cc} δίδωμι^{vdaa2s} αὐτός^{rpdfs} τιμή^{nafsc} κατά^{pa} ὁ^{dafs} ἀξία^{nafsc} αὐτός^{rpgfs}. **v.29** ὁ^{dams} ἁμαρτάνω^{vppaams} εἰς^{pa} ὁ^{dafs} ψυχή^{nafsc} αὐτός^{rpgms} τίς^{rqnms} δικαιόω^{vifa3s} καί^{cc} τίς^{rqnms} δοξάζω^{vifa3s} ὁ^{dams} ἀτιμάζω^{vppaams} ὁ^{dafs} ζωή^{nafsc} αὐτός^{rpgms}. **v.30** πτωχός^{annmsn} δοξάζω^{vipp3s} διά^{pa} ἐπιστήμη^{nafsc} αὐτός^{rpgms} καί^{cc} πλούσιος^{annmsn} δοξάζω^{vipp3s} διά^{pa} ὁ^{dams} πλοῦτος^{namsc} αὐτός^{rpgms}. **v.31** ὁ^{dnms} δοξάζω^{vpxpnms} ἐν^{pd} πτωχεία^{ndfsc} καί^{cc} ἐν^{pd} πλοῦτος^{ndmsc} ποσαχῶς^{b} καί^{cc} ὁ^{dnms} ἄδοξος^{annmsn} ἐν^{pd} πλοῦτος^{ndmsc} καί^{cc} ἐν^{pd} πτωχεία^{ndfsc} ποσαχῶς^{b}. **11. v.1** σοφία^{nnfsc} ταπεινός^{angmsn} ἀνυψόω^{vifa3s} κεφαλή^{nafsc} αὐτός^{rpgms} καί^{cc} ἐν^{pd} μέσος^{andnsn} μεγιστάν^{ngmpc} καθίζω^{vifa3s} αὐτός^{rpams}. **v.2** μή^{x} αἰνέω^{vsaa2s} ἀνήρ^{namsc} ἐν^{pd} κάλλος^{ndnsc} αὐτός^{rpgms} καί^{cc} μή^{x} βδελύσσω^{vsaa2s} ἄνθρωπος^{namsc} ἐν^{pd} ὅρασις^{ndfsc} αὐτός^{rpgms}. **v.3** μικρός^{annfsn} ἐν^{pd} πετεινός^{ndnpc} μέλισσα^{nnfsc} καί^{cc} ἀρχή^{nnfsc} γλύκασμα^{ngnpc} ὁ^{dnms} καρπός^{nnmsc} αὐτός^{rpgfs}.

5 κυρίου καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἀνθρώποις. πολλοὶ τύραν-
νοι ἐκάθισαν ἐπὶ ἐδάφους ὁ δὲ ἀνυπονόητος ἐφόρεσεν διάδημα.
6 πολλοὶ δυνάσται ἠτιμάσθησαν σφόδρα καὶ ἔνδοξοι παρεδόθησαν
7 εἰς χεῖρας ἑτέρων. πρὶν ἐξετάσῃς μὴ μέμψῃ νόησον πρῶτον καὶ
8 τότε ἐπιτίμα. πρὶν ἢ ἀκοῦσαι μὴ ἀποκρίνου καὶ ἐν μέσῳ λόγων
9 μὴ παρεμβάλλου. περὶ πράγματος οὗ οὐκ ἔστιν σοι χρεία μὴ
10 ἔριζε καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνέδρευε. τέκνον μὴ πε-
ρὶ πολλὰ ἔστωσαν αἱ πράξεις σου ἐὰν πληθύνῃς οὐκ ἀθῳωθήσῃ
καὶ ἐὰν διώκῃς οὐ μὴ καταλάβῃς καὶ οὐ μὴ ἐκφύγῃς διαδράς.
11 ἔστιν κοπιῶν καὶ πονῶν καὶ σπεύδων καὶ τόσῳ μᾶλλον ὑστερεῖ-
12 ται. ἔστιν νωθρὸς προσδεόμενος ἀντιλήμψεως ὑστερῶν ἰσχύι καὶ
πτωχείᾳ περισσεύει καὶ οἱ ὀφθαλμοὶ κυρίου ἐπέβλεψαν αὐτῷ εἰς
13 ἀγαθά καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ. καὶ ἀνύψω-
14 σεν κεφαλὴν αὐτοῦ καὶ ἀπεθαύμασαν ἐπ᾽ αὐτῷ πολλοί. ἀγαθὰ
καὶ κακά ζωὴ καὶ θάνατος πτωχεία καὶ πλοῦτος παρὰ κυρίου ἐ-
17 στίν. δόσις κυρίου παραμένει εὐσεβέσιν καὶ ἡ εὐδοκία αὐτοῦ
18 εἰς τὸν αἰῶνα εὐοδωθήσεται. ἔστιν πλουτῶν ἀπὸ προσοχῆς καὶ
19 σφιγγίας αὐτοῦ καὶ αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ. ἐν τῷ εἰ-
πεῖν αὐτόν εὗρον ἀνάπαυσιν καὶ νῦν φάγομαι ἐκ τῶν ἀγαθῶν
μου καὶ οὐκ οἶδεν τίς καιρὸς παρελεύσεται καὶ καταλείψει αὐτὰ

---

v.4 ἐν^{pd} περιβολή^{ndfsc} ἱμάτιον^{ngnpc} μή^{x} καυχάομαι^{vsam2s} καί^{cc} ἐν^{pd} ἡμέρα^{ndfsc} δόξα^{ngfsc} μή^{x} ἐπαίρω^{vdpm2s} ὅτι^{cs} θαυμαστός^{annnpn} ὁ^{dnnp} ἔργον^{nnnpc} κύριος^{ngmsc} καί^{cc} κρυπτός^{annnpn} ὁ^{dnnp} ἔργον^{nnnpc} αὐτός^{rpgms} ἄνθρωπος^{ndmpc}. **v.5** πολύς^{annmpn} τύραννος^{nnmpc} καθίζω^{viaa3p} ἐπί^{pg} ἔδαφος^{ngnsc} ὁ^{dnms} δέ^{cc} ἀνυπονόητος^{annmsn} φορέω^{viaa3s} διάδημα^{nansc}. **v.6** πολύς^{annmpn} δυνάστης^{nnmpc} ἀτιμάζω^{viap3p} σφόδρα^{b} καί^{cc} ἔνδοξος^{annmpn} παραδίδωμι^{viap3p} εἰς^{pa} χείρ^{nafpc} ἕτερος^{aigmpn}. **v.7** πρίν^{cs} ἐξετάζω^{vsaa2s} μή^{x} μέμφομαι^{vsam2s} νοέω^{vdaa2s} πρῶτος^{b} καί^{cc} τότε^{b} ἐπιτιμάω^{vdpa2s}. **v.8** πρίν^{cs} ἤ^{cc} ἀκούω^{vnaa} μή^{x} ἀποκρίνομαι^{vdpm2s} καί^{cc} ἐν^{pd} μέσος^{andnsn} λόγος^{ngmpc} μή^{x} παρεμβάλλω^{vdpm2s}. **v.9** περί^{pg} πρᾶγμα^{ngnsc} ὅς^{rrgns} οὐ^{b} εἰμί^{vipa3s} σύ$^{rpd-s}$ χρεία^{nnfsc} μή^{x} ἐρίζω^{vdpa2s} καί^{cc} ἐν^{pd} κρίσις^{ndfsc} ἁμαρτωλός^{angmpn} μή^{x} συνεδρεύω^{vdpa2s}. **v.10** τέκνον^{nvnsc} μή^{x} περί^{pa} πολύς^{ananpn} εἰμί^{vdpa3p} ὁ^{dnfp} πρᾶξις^{nnfpc} σύ$^{rpg-s}$ ἐάν^{cs} πληθύνω^{vspa2s} οὐ^{b} ἀθῳόω^{vifp2s} καί^{cc} ἐάν^{cs} διώκω^{vspa2s} οὐ^{b} μή^{x} καταλαμβάνω^{vsaa2s} καί^{cc} οὐ^{b} μή^{x} ἐκφεύγω^{vsaa2s} διαδιδράσκω^{vpaanms}. **v.11** εἰμί^{vipa3s} κοπιάω^{vppanms} καί^{cc} πονέω^{vppanms} καί^{cc} σπεύδω^{vppanms} καί^{cc} τόσος^{andnsn} μᾶλλον^{b} ὑστερέω^{vipm3s}. **v.12** εἰμί^{vipa3s} νωθρός^{annmsn} προσδέομαι^{vppmnms} ἀντίλημψις^{ngfsc} ὑστερέω^{vppanms} ἰσχύς^{ndfsc} καί^{cc} πτωχεία^{ndfsc} περισσεύω^{vipa3s} καί^{cc} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} κύριος^{ngmsc} ἐπιβλέπω^{viaa3p} αὐτός^{rpdms} εἰς^{pa} ἀγαθός^{ananpn} καί^{cc} ἀνορθόω^{viaa3s} αὐτός^{rpams} ἐκ^{pg} ταπείνωσις^{ngfsc} αὐτός^{rpgms}. **v.13** καί^{cc} ἀνυψόω^{viaa3s} κεφαλή^{nafsc} αὐτός^{rpgms} καί^{cc} ἀποθαυμάζω^{viaa3p} ἐπί^{pd} αὐτός^{rpdms} πολύς^{annmpn}. **v.14** ἀγαθός^{annnpn} καί^{cc} κακός^{annnpn} ζωή^{nnfsc} καί^{cc} θάνατος^{nnmsc} πτωχεία^{nnfsc} καί^{cc} πλοῦτος^{nnmsc} παρά^{pg} κύριος^{ngmsc} εἰμί^{vipa3s}. **v.17** δόσις^{nnfsc} κύριος^{ngmsc} παραμένω^{vipa3s} εὐσεβής^{andmpn} καί^{cc} ὁ^{dnfs} εὐδοκία^{nnfsc} αὐτός^{rpgms} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} εὐοδόω^{vifp3s}. **v.18** εἰμί^{vipa3s} πλουτέω^{vppanms} ἀπό^{pg} προσοχή^{ngfsc} καί^{cc} σφιγγία^{ngfsc} αὐτός^{rpgms} καί^{cc} οὗτος^{rdnfs} ὁ^{dnfs} μερίς^{nnfsc} ὁ^{dgms} μισθός^{ngmsc} αὐτός^{rpgms}.

ἑτέροις καὶ ἀποθανεῖται. στῆθι ἐν διαθήκῃ σου καὶ ὁμίλει ἐν 20
αὐτῇ καὶ ἐν τῷ ἔργῳ σου παλαιώθητι. μὴ θαύμαζε ἐν ἔργοις 21
ἁμαρτωλοῦ πίστευε δὲ κυρίῳ καὶ ἔμμενε τῷ πόνῳ σου ὅτι κοῦ-
φον ἐν ὀφθαλμοῖς κυρίου διὰ τάχους ἐξάπινα πλουτίσαι πένητα.
εὐλογία κυρίου ἐν μισθῷ εὐσεβοῦς καὶ ἐν ὥρᾳ ταχινῇ ἀναθάλλει 22
εὐλογίαν αὐτοῦ. μὴ εἴπῃς τίς ἐστίν μου χρεία καὶ τίνα ἀπὸ τοῦ 23
νῦν ἔσται μου τὰ ἀγαθά. μὴ εἴπῃς αὐτάρκη μοί ἐστιν καὶ τί 24
ἀπὸ τοῦ νῦν κακωθήσομαι. ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνησία κακῶν 25
καὶ ἐν ἡμέρᾳ κακῶν οὐ μνησθήσεται ἀγαθῶν. ὅτι κοῦφον ἔναντι 26
κυρίου ἐν ἡμέρᾳ τελευτῆς ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς
αὐτοῦ. κάκωσις ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆς καὶ ἐν συν- 27
τελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ. πρὸ τελευτῆς μὴ 28
μακάριζε μηδένα καὶ ἐν τέκνοις αὐτοῦ γνωσθήσεται ἀνήρ. μὴ 29
πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου πολλὰ γὰρ τὰ ἔνεδρα
τοῦ δολίου. πέρδιξ θηρευτὴς ἐν καρτάλλῳ οὕτως καρδία ὑπερη- 30
φάνου καὶ ὡς ὁ κατάσκοπος ἐπιβλέπει πτῶσιν. τὰ γὰρ ἀγαθὰ εἰς 31
κακὰ μεταστρέφων ἐνεδρεύει καὶ ἐν τοῖς αἱρετοῖς ἐπιθήσει μῶ-
μον. ἀπὸ σπινθῆρος πυρὸς πληθύνεται ἀνθρακιά καὶ ἄνθρωπος 32
ἁμαρτωλὸς εἰς αἷμα ἐνεδρεύει. πρόσεχε ἀπὸ κακούργου πονη- 33

---

v.19 ἐν^{pd} ὁ^{ddns} λέγω^{vnaa} αὐτός^{rpams} εὑρίσκω^{viaa1s} ἀνάπαυσις^{nafsc} καί^{cc} νῦν^{b} ἐσθίω^{vifm1s} ἐκ^{pg} ὁ^{dgnp} ἀγαθός^{angnpn} ἐγώ$^{rpg-s}$ καί^{cc} οὐ^{b} οἶδα^{vixa3s} τίς^{aqnmsn} καιρός^{nnmsc} παρέρχομαι^{vifm3s} καί^{cc} καταλείπω^{vifa3s} αὐτός^{rpanp} ἕτερος^{aidmpn} καί^{cc} ἀποθνήσκω^{vifm3s}. **v.20** ἴστημι^{vdaa2s} ἐν^{pd} διαθήκη^{ndfsc} σύ$^{rpg-s}$ καί^{cc} ὁμιλέω^{vdpa2s} ἐν^{pd} αὐτός^{rpdfs} καί^{cc} ἐν^{pd} ὁ^{ddns} ἔργον^{ndnsc} σύ$^{rpg-s}$ παλαιόω^{vdap2s}. **v.21** μή^{x} θαυμάζω^{vdpa2s} ἐν^{pd} ἔργον^{ndnpc} ἁμαρτωλός^{angmsn} πιστεύω^{vdpa2s} δέ^{cc} κύριος^{ndmsc} καί^{cc} ἐμμένω^{vdpa2s} ὁ^{ddms} πόνος^{ndmsc} σύ$^{rpg-s}$ ὅτι^{cs} κοῦφος^{annnsn} ἐν^{pd} ὀφθαλμός^{ndmpc} κύριος^{ngmsc} διά^{pg} τάχος^{ngnsc} ἐξάπινα^{b} πλουτίζω^{vnaa} πένης^{namsc}. **v.22** εὐλογία^{nnfsc} κύριος^{ngmsc} ἐν^{pd} μισθός^{ndmsc} εὐσεβής^{angmsn} καί^{cc} ἐν^{pd} ὥρα^{ndfsc} ταχινός^{andfsn} ἀναθάλλω^{vipa3s} εὐλογία^{nafsc} αὐτός^{rpgms}. **v.23** μή^{x} λέγω^{vsaa2s} τίς^{aqnfsn} εἰμί^{vipa3s} ἐγώ$^{rpg-s}$ χρεία^{nnfsc} καί^{cc} τίς^{rqnnp} ἀπό^{pg} ὁ^{dgns} νῦν^{b} εἰμί^{vifm3s} ἐγώ$^{rpg-s}$ ὁ^{dnnp} ἀγαθός^{annnpn}. **v.24** μή^{x} λέγω^{vsaa2s} αὐτάρκης^{annnpn} ἐγώ$^{rpd-s}$ εἰμί^{vipa3s} καί^{cc} τίς^{rqans} ἀπό^{pg} ὁ^{dgns} νῦν^{b} κακόω^{vifp1s}. **v.25** ἐν^{pd} ἡμέρα^{ndfsc} ἀγαθός^{angnpn} ἀμνησία^{nnfsc} κακός^{angnpn} καί^{cc} ἐν^{pd} ἡμέρα^{ndfsc} κακός^{angnpn} οὐ^{b} μιμνήσκομαι^{vifp3s} ἀγαθός^{angnpn}. **v.26** ὅτι^{cs} κοῦφος^{annnsn} ἔναντι^{pg} κύριος^{ngmsc} ἐν^{pd} ἡμέρα^{ndfsc} τελευτή^{ngfsc} ἀποδίδωμι^{vnaa} ἄνθρωπος^{ndmsc} κατά^{pa} ὁ^{dafp} ὁδός^{nafpc} αὐτός^{rpgms}. **v.27** κάκωσις^{nnfsc} ὥρα^{ngfsc} ἐπιλησμονή^{nnfsc} ποιέω^{vipa3s} τρυφή^{ngfsc} καί^{cc} ἐν^{pd} συντέλεια^{ndfsc} ἄνθρωπος^{ngmsc} ἀποκάλυψις^{nnfsc} ἔργον^{ngnpc} αὐτός^{rpgms}. **v.28** πρό^{pg} τελευτή^{ngfsc} μή^{x} μακαρίζω^{vdpa2s} μηδείς^{riams} καί^{cc} ἐν^{pd} τέκνον^{ndnpc} αὐτός^{rpgms} γινώσκω^{vifp3s} ἀνήρ^{nnmsc}. **v.29** μή^{x} πᾶς^{aiamsn} ἄνθρωπος^{namsc} εἰσάγω^{vdpa2s} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} σύ$^{rpg-s}$ πολύς^{annnpn} γάρ^{cc} ὁ^{dnnp} ἔνεδρον^{nnnpc} ὁ^{dgms} δόλιος^{angmsn}. **v.30** πέρδιξ^{nnfsc} θηρευτής^{nnmsc} ἐν^{pd} κάρταλλος^{ndmsc} οὕτως^{b} καρδία^{nnfsc} ὑπερήφανος^{angmsn} καί^{cc} ὡς^{cs} ὁ^{dnms} κατάσκοπος^{nnmsc} ἐπιβλέπω^{vipa3s} πτῶσις^{nafsc}. **v.31** ὁ^{danp} γάρ^{cc} ἀγαθός^{ananpn} εἰς^{pa} κακός^{ananpn} μεταστρέφω^{vppanms} ἐνεδρεύω^{vipa3s} καί^{cc} ἐν^{pd} ὁ^{ddnp} αἱρετός^{andnpn} ἐπιτίθημι^{vifa3s} μῶμος^{namsc}. **v.32** ἀπό^{pg} σπινθήρ^{ngmsc} πῦρ^{ngnsc} πληθύνω^{vipp3s} ἀνθρακιά^{nnfsc} καί^{cc} ἄνθρωπος^{nnmsc} ἁμαρτωλός^{annmsn} εἰς^{pa} αἷμα^{nansc} ἐνεδρεύω^{vipa3s}.

34 ρὰ γὰρ τεκταίνει μήποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι. ἐνοίκισον
ἀλλότριον καὶ διαστρέψει σε ἐν ταραχαῖς καὶ ἀπαλλοτριώσει σε
τῶν ἰδίων σου.

12 ἐὰν εὖ ποιῇς γνῶθι τίνι ποιεῖς καὶ ἔσται χάρις τοῖς ἀγαθοῖς
2 σου. εὖ ποίησον εὐσεβεῖ καὶ εὑρήσεις ἀνταπόδομα καὶ εἰ μὴ
3 παρ' αὐτοῦ ἀλλὰ παρὰ τοῦ ὑψίστου. οὐκ ἔσται ἀγαθὰ τῷ ἐνδε-
4 λεχίζοντι εἰς κακὰ καὶ τῷ ἐλεημοσύνην μὴ χαριζομένῳ. δὸς τῷ
5 εὐσεβεῖ καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. εὖ ποίησον ταπεινῷ
καὶ μὴ δῷς ἀσεβεῖ ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ καὶ μὴ δῷς αὐτῷ
ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ διπλάσια γὰρ κακὰ εὑρήσεις ἐν
6 πᾶσιν ἀγαθοῖς οἷς ἂν ποιήσῃς αὐτῷ. ὅτι καὶ ὁ ὕψιστος ἐμίση-
7 σεν ἁμαρτωλοὺς καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκησιν. δὸς τῷ
8 ἀγαθῷ καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. οὐκ ἐκδικηθήσεται ἐν
9 ἀγαθοῖς ὁ φίλος καὶ οὐ κρυβήσεται ἐν κακοῖς ὁ ἐχθρός. ἐν ἀγα-
θοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτοῦ ἐν λύπῃ καὶ ἐν τοῖς κακοῖς αὐτοῦ καὶ
10 ὁ φίλος διαχωρισθήσεται. μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν
11 αἰῶνα ὡς γὰρ ὁ χαλκὸς ἰοῦται οὕτως ἡ πονηρία αὐτοῦ. καὶ ἐὰν
ταπεινωθῇ καὶ πορεύηται συγκεκυφὼς ἐπίστησον τὴν ψυχήν σου
καὶ φύλαξαι ἀπ' αὐτοῦ καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον καὶ
12 γνώσῃ ὅτι οὐκ εἰς τέλος κατίωσεν. μὴ στήσῃς αὐτὸν παρὰ σεαυ-
τῷ μὴ ἀνατρέψας σε στῇ ἐπὶ τὸν τόπον σου μὴ καθίσῃς αὐτὸν ἐκ

---

v.33 προσέχω^{vdpa2s} ἀπό^{pg} κακοῦργος^{angmsn} πονηρός^{ananpn} γάρ^{cc} τεκταίνω^{vipa3s} μήποτε^{x} μῶμος^{namsc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} δίδωμι^{vsaa3s} σύ$^{rpd-s}$. **v.34** ἐνοικίζω^{vdaa2s} ἀλλότριος^{anamsn} καί^{cc} διαστρέφω^{vifa3s} σύ$^{rpa-s}$ ἐν^{pd} ταραχή^{ndfpc} καί^{cc} ἀπαλλοτριόω^{vifa3s} σύ$^{rpa-s}$ ὁ^{dgmp} ἴδιος^{angmpn} σύ$^{rpg-s}$. **12. v.1** ἐάν^{cs} εὖ^{b} ποιέω^{vspa2s} γινώσκω^{vdaa2s} τίς^{rqdms} ποιέω^{vipa2s} καί^{cc} εἰμί^{vifm3s} χάρις^{nnfsc} ὁ^{ddnp} ἀγαθός^{andnpn} σύ$^{rpg-s}$. **v.2** εὖ^{b} ποιέω^{vdaa2s} εὐσεβής^{andmsn} καί^{cc} εὑρίσκω^{vifa2s} ἀνταπόδομα^{nansc} καί^{cc} εἰ^{cs} μή^{x} παρά^{pg} αὐτός^{rpgms} ἀλλά^{cc} παρά^{pg} ὁ^{dgms} ὕψιστος^{angmsn}. **v.3** οὐ^{b} εἰμί^{vifm3s} ἀγαθός^{annnpn} ὁ^{ddms} ἐνδελεχίζω^{vppadms} εἰς^{pa} κακός^{ananpn} καί^{cc} ὁ^{ddms} ἐλεημοσύνη^{nafsc} μή^{x} χαρίζομαι^{vppmdms}. **v.4** δίδωμι^{vdaa2s} ὁ^{ddms} εὐσεβής^{andmsn} καί^{cc} μή^{x} ἀντιλαμβάνομαι^{vsaa3s} ὁ^{dgms} ἁμαρτωλός^{angmsn}. **v.5** εὖ^{b} ποιέω^{vdaa2s} ταπεινός^{andmsn} καί^{cc} μή^{x} δίδωμι^{vsaa2s} ἀσεβής^{andmsn} ἐμποδίζω^{vdaa2s} ὁ^{damp} ἄρτος^{nampc} αὐτός^{rpgms} καί^{cc} μή^{x} δίδωμι^{vsaa2s} αὐτός^{rpdms} ἵνα^{cs} μή^{x} ἐν^{pd} αὐτός$^{rpdm'prpdnp}$ σύ$^{rpa-s}$ δυναστεύω^{vsaa3s} διπλάσιος^{ananpn} γάρ^{cc} κακός^{ananpn} εὑρίσκω^{vifa2s} ἐν^{pd} πᾶς^{aidnpn} ἀγαθός^{andnpn} ὅς^{rrdnp} ἄν^{x} ποιέω^{vsaa2s} αὐτός^{rpdms}. **v.6** ὅτι^{cs} καί^{cc} ὁ^{dnms} ὕψιστος^{annmsn} μισέω^{viaa3s} ἁμαρτωλός^{anampn} καί^{cc} ὁ^{ddmp} ἀσεβής^{andmpn} ἀποδίδωμι^{vifa3s} ἐκδίκησις^{nafsc}. **v.7** δίδωμι^{vdaa2s} ὁ^{ddms} ἀγαθός^{andmsn} καί^{cc} μή^{x} ἀντιλαμβάνομαι^{vsaa3s} ὁ^{dgms} ἁμαρτωλός^{angmsn}. **v.8** οὐ^{b} ἐκδικέω^{vifp3s} ἐν^{pd} ἀγαθός^{andnpn} ὁ^{dnms} φίλος^{annnmsn} καί^{cc} οὐ^{b} κρύπτω^{vifp3s} ἐν^{pd} κακός^{andnpn} ὁ^{dnms} ἐχθρός^{annnmsn}. **v.9** ἐν^{pd} ἀγαθός^{andnpn} ἀνήρ^{ngmsc} ὁ^{dnmp} ἐχθρός^{annnmpn} αὐτός^{rpgms} ἐν^{pd} λύπη^{ndfsc} καί^{cc} ἐν^{pd} ὁ^{ddnp} κακός^{andnpn} αὐτός^{rpgms} καί^{cc} ὁ^{dnms} φίλος^{annnmsn} διαχωρίζω^{vifp3s}. **v.10** μή^{x} πιστεύω^{vsaa2s} ὁ^{ddms} ἐχθρός^{andmsn} σύ$^{rpg-s}$ εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ὡς^{cs} γάρ^{cc} ὁ^{dnms} χαλκός^{nnmsc} ἰόομαι^{vipm3s} οὕτως^{b} ὁ^{dnfs} πονηρία^{nnfsc} αὐτός^{rpgms}. **v.11** καί^{cc} ἐάν^{cs} ταπεινόω^{vsap3s} καί^{cc} πορεύομαι^{vspm3s} συγκύπτω^{vpxanms} ἐφίστημι^{vdaa2s} ὁ^{dafs} ψυχή^{nafsc} σύ$^{rpg-s}$ καί^{cc} φυλάσσω^{vdam2s} ἀπό^{pg} αὐτός^{rpgms} καί^{cc} εἰμί^{vifm2s} αὐτός^{rpdms} ὡς^{cs} ἐκμάσσω^{vpxanms} ἔσοπτρον^{nansc} καί^{cc} γινώσκω^{vifm2s} ὅτι^{cs} οὐ^{b} εἰς^{pa} τέλος^{nansc} κατιόω^{viaa3s}.

δεξιῶν σου μήποτε ζητήσῃ τὴν καθέδραν σου καὶ ἐπ᾽ ἐσχάτων ἐπιγνώσῃ τοὺς λόγους μου καὶ ἐπὶ τῶν ῥημάτων μου κατανυγήσῃ.
τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον καὶ πάντας τοὺς προσάγοντας 13
θηρίοις. οὕτως τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ καὶ συμ- 14
φυρόμενον ἐν ταῖς ἁμαρτίαις αὐτοῦ. ὥραν μετὰ σοῦ διαμενεῖ καὶ 15
ἐὰν ἐκκλίνῃς οὐ μὴ καρτερήσῃ. καὶ ἐν τοῖς χείλεσιν αὐτοῦ γλυ- 16
κανεῖ ὁ ἐχθρὸς καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ βουλεύσεται ἀνατρέψαι σε
εἰς βόθρον ἐν ὀφθαλμοῖς αὐτοῦ δακρύσει ὁ ἐχθρός καὶ ἐὰν εὕρῃ
καιρόν οὐκ ἐμπλησθήσεται ἀφ᾽ αἵματος. κακὰ ἐὰν ὑπαντήσῃ 17
σοι εὑρήσεις αὐτὸν πρότερον ἐκεῖ σου καὶ ὡς βοηθῶν ὑποσχάσει
πτέρναν σου. τὴν κεφαλὴν αὐτοῦ κινήσει καὶ ἐπικροτήσει ταῖς 18
χερσὶν αὐτοῦ καὶ πολλὰ διαψιθυρίσει καὶ ἀλλοιώσει τὸ πρόσωπον
αὐτοῦ.

ὁ ἁπτόμενος πίσσης μολυνθήσεται καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ **13**
ὁμοιωθήσεται αὐτῷ. βάρος ὑπὲρ σὲ μὴ ἄρῃς καὶ ἰσχυροτέρῳ σου 2
καὶ πλουσιωτέρῳ μὴ κοινώνει τί κοινωνήσει χύτρα πρὸς λέβητα
αὕτη προσκρούσει καὶ αὕτη συντριβήσεται. πλούσιος ἠδίκησεν 3
καὶ αὐτὸς προσενεβριμήσατο πτωχὸς ἠδίκηται καὶ αὐτὸς προσ-
δεηθήσεται. ἐὰν χρησιμεύσῃς ἐργᾶται ἐν σοί καὶ ἐὰν ὑστερήσῃς 4
καταλείψει σε. ἐὰν ἔχῃς συμβιώσεταί σοι καὶ ἀποκενώσει σε καὶ 5
αὐτὸς οὐ πονέσει. χρείαν ἔσχηκέν σου καὶ ἀποπλανήσει σε καὶ 6

---

v.12 μήˣ ἵστημιvsaa2s αὐτόςrpams παράpd σεαυτοῦrxdms μήˣ ἀνατρέπωvpaanms σύrpa-s ἵστημιvsaa3s ἐπίpa ὁdams τόποςnamsc σύrpg-s μήˣ καθίζωvsaa2s αὐτόςrpams ἐκpg δεξιόςangnpn σύrpg-s μήποτεcs ζητέωvsaa3s ὁdafs καθέδραnafsc σύrpg-s καίcc ἐπίpg ἔσχατοςangnpn ἐπιγινώσκωvifm2s ὁdamp λόγοςnampc ἐγώrpg-s καίcc ἐπίpg ὁdgnp ῥῆμαngnpc ἐγώrpg-s κατανύσσομαιvifm2s. **v.13** τίςrqnms ἐλεέωvifa3s ἐπαοιδόςnamsc ὀφιόδηκτοςanamsn καίcc πᾶςaiampn ὁdamp προσάγωvppaamp θηρίονndnpc. **v.14** οὕτωςb ὁdams προσπορεύομαιvppmams ἀνήρndmsc ἁμαρτωλόςandmsn καίcc συμφύρωvppeams ἐνpd ὁddfp ἁμαρτίαndfpc αὐτόςrpgms. **v.15** ὥραnafsc μετάpg σύrpg-s διαμένωvifa3s καίcc ἐάνcs ἐκκλίνωvspa2s οὐb μήˣ καρτερέωvsaa3s. **v.16** καίcc ἐνpd ὁddnp χεῖλοςndnpc αὐτόςrpgms γλυκαίνωvifa3s ὁdnms ἐχθρόςannmsn καίcc ἐνpd ὁddfs καρδίαndfsc αὐτόςrpgms βουλεύωvifm3s ἀνατρέπωvnaa σύrpa-s εἰςpa βόθροςnamsc ἐνpd ὀφθαλμόςndmpc αὐτόςrpgms δακρύωvifa3s ὁdnms ἐχθρόςannmsn καίcc ἐάνcs εὑρίσκωvsaa3s καιρόςnamsc οὐb ἐμπίπλημιvifp3s ἀπόpg αἷμαngnsc. **v.17** κακόςannnpn ἐάνcs ὑπαντάωvsaa3s σύrpd-s εὑρίσκωvifa2s αὐτόςrpams πρότεροςb ἐκεῖb σύrpg-s καίcc ὡςcs βοηθέωvppanms ὑποσχάζωvifa3s πτέρναnafsc σύrpg-s. **v.18** ὁdafs κεφαλήnafsc αὐτόςrpgms κινέωvifa3s καίcc ἐπικροτέωvifa3s ὁddfp χείρndfpc αὐτόςrpgms καίcc πολύςananpn διαψιθυρίζωvifa3s καίcc ἀλλοιόωvifa3s ὁdans πρόσωπονnansc αὐτόςrpgms. **13. v.1** ὁdnms ἅπτωvppmnms πίσσαngfsc μολύνωvifp3s καίcc ὁdnms κοινωνέωvppanms ὑπερήφανοςandmsn ὁμοιόωvifp3s αὐτόςrpdms. **v.2** βάροςnansc ὑπέρpa σύrpa-s μήˣ αἴρωvsaa2s καίcc ἰσχυρόςandmsc σύrpg-s καίcc πλούσιοςandmsc μήˣ κοινωνέωvdpa2s τίςrqans κοινωνέωvifa3s χύτραnnfsc πρόςpa λέβηςnamsc οὗτοςrdnfs προσκρούωvifa3s καίcc οὗτοςrdnfs συντρίβωvifp3s. **v.3** πλούσιοςannmsn ἀδικέωviaa3s καίcc αὐτόςrpnms προσεμβριμάομαιviam3s πτωχόςannmsn ἀδικέωvixp3s καίcc αὐτόςrpnms προσδέομαιvifp3s. **v.4** ἐάνcs χρησιμεύωvsaa2s ἐργάζομαιvifm3s ἐνpd σύrpd-s καίcc ἐάνcs ὑστερέωvsaa2s καταλείπωvifa3s σύrpa-s. **v.5** ἐάνcs ἔχωvspa2s συμβιόωvifm3s σύrpd-s καίcc ἀποκενόωvifa3s σύrpa-s καίcc αὐτόςrpnms οὐb πονέωvifa3s.

προσγελάσεταί σοι καὶ δώσει σοι ἐλπίδα λαλήσει σοι καλὰ καὶ ἐ-
7 ρεῖ τίς ἡ χρεία σου. καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτοῦ ἕως
οὗ ἀποκενώσῃ σε δὶς ἢ τρίς καὶ ἐπ᾽ ἐσχάτων καταμωκήσεταί σου
μετὰ ταῦτα ὄψεταί σε καὶ καταλείψει σε καὶ τὴν κεφαλὴν αὐτοῦ
8 κινήσει ἐπὶ σοί. πρόσεχε μὴ ἀποπλανηθῇς καὶ μὴ ταπεινωθῇς
9 ἐν ἀφροσύνῃ σου. προσκαλεσαμένου σε δυνάστου ὑποχωρῶν
10 γίνου καὶ τόσῳ μᾶλλόν σε προσκαλέσεται. μὴ ἔμπιπτε μὴ ἀ-
11 πωσθῇς καὶ μὴ μακρὰν ἀφίστω ἵνα μὴ ἐπιλησθῇς. μὴ ἔπεχε
ἰσηγορεῖσθαι μετ᾽ αὐτοῦ καὶ μὴ πίστευε τοῖς πλείοσιν λόγοις αὐ-
τοῦ ἐκ πολλῆς γὰρ λαλιᾶς πειράσει σε καὶ ὡς προσγελῶν ἐξετάσει
12 σε. ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους καὶ οὐ μὴ φείσηται περὶ
13 κακώσεως καὶ δεσμῶν. συντήρησον καὶ πρόσεχε σφοδρῶς ὅτι
15 μετὰ τῆς πτώσεώς σου περιπατεῖς. πᾶν ζῷον ἀγαπᾷ τὸ ὅμοιον
16 αὐτῷ καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ. πᾶσα σὰρξ κατὰ γέ-
17 νος συνάγεται καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ. τί
18 κοινωνήσει λύκος ἀμνῷ οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ. τίς εἰ-
19 ρήνη ὑαίνῃ πρὸς κύνα καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πένητα. κυ-
νήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ οὕτως νομαὶ πλουσίων πτωχοί.
20 βδέλυγμα ὑπερηφάνῳ ταπεινότης οὕτως βδέλυγμα πλουσίῳ πτω-
21 χός. πλούσιος σαλευόμενος στηρίζεται ὑπὸ φίλων ταπεινὸς δὲ

---

v.6 χρεία^{nafsc} ἔχω^{vixa3s} σύ$^{rpg-s}$ καί^{cc} ἀποπλανάω^{vifa3s} σύ$^{rpa-s}$ καί^{cc} προσγελάω^{vifm3s} σύ$^{rpd-s}$ καί^{cc} δίδωμι^{vifa3s} σύ$^{rpd-s}$ ἐλπίς^{nafsc} λαλέω^{vifa3s} σύ$^{rpd-s}$ καλός^{ananpn} καί^{cc} λέγω^{vifa3s} τίς^{aqnfsn} ὁ^{dnfs} χρεία^{nnfsc} σύ$^{rpg-s}$. **v.7** καί^{cc} αἰσχύνω^{vifa3s} σύ$^{rpa-s}$ ἐν^{pd} ὁ^{ddnp} βρῶμα^{ndnpc} αὐτός^{rpgms} ἕως^{pg} ὅς^{rrgns} ἀποκενόω^{vsaa3s} σύ$^{rpa-s}$ δίς^{b} ἤ^{cc} τρίς^{b} καί^{cc} ἐπί^{pg} ἔσχατος^{angnpn} καταμωκάομαι^{vifm3s} σύ$^{rpg-s}$ μετά^{pa} οὗτος^{rdanp} ὁράω^{vifm3s} σύ$^{rpa-s}$ καί^{cc} καταλείπω^{vifa3s} σύ$^{rpa-s}$ καί^{cc} ὁ^{dafs} κεφαλή^{nafsc} αὐτός^{rpgms} κινέω^{vifa3s} ἐπί^{pd} σύ$^{rpd-s}$. **v.8** προσέχω^{vdpa2s} μή^{x} ἀποπλανάω^{vsap2s} καί^{cc} μή^{x} ταπεινόω^{vsap2s} ἐν^{pd} ἀφροσύνη^{ndfsc} σύ$^{rpg-s}$. **v.9** προσκαλέομαι^{vpamgms} σύ$^{rpa-s}$ δυνάστης^{ngmsc} ὑποχωρέω^{vppanms} γίνομαι^{vdpm2s} καί^{cc} τόσος^{andnsn} μᾶλλον^{b} σύ$^{rpa-s}$ προσκαλέομαι^{vifm3s}. **v.10** μή^{x} ἐμπίπτω^{vdpa2s} μή^{x} ἀπωθέω^{vsap2s} καί^{cc} μή^{x} μακράν^{b} ἀφίστημι^{vdpm2s} ἵνα^{cs} μή^{x} ἐπιλανθάνομαι^{vsap2s}. **v.11** μή^{x} ἐπέχω^{vdpa2s} ἰσηγορέομαι^{vnpm} μετά^{pg} αὐτός^{rpgms} καί^{cc} μή^{x} πιστεύω^{vdpa2s} ὁ^{ddmp} πολύς^{andmpc} λόγος^{ndmpc} αὐτός^{rpgms} ἐκ^{pg} πολύς^{angfsn} γάρ^{cc} λαλιά^{ngfsc} πειράζω^{vifa3s} σύ$^{rpa-s}$ καί^{cc} ὡς^{cs} προσγελάω^{vppanms} ἐξετάζω^{vifa3s} σύ$^{rpa-s}$. **v.12** ἀνελεήμων^{annmsn} ὁ^{dnms} μή^{x} συντηρέω^{vppanms} λόγος^{nampc} καί^{cc} οὐ^{b} μή^{x} φείδομαι^{vsam3s} περί^{pg} κάκωσις^{ngfsc} καί^{cc} δεσμός^{ngmpc}. **v.13** συντηρέω^{vdaa2s} καί^{cc} προσέχω^{vdpa2s} σφοδρῶς^{b} ὅτι^{cs} μετά^{pg} ὁ^{dgfs} πτῶσις^{ngfsc} σύ$^{rpg-s}$ περιπατέω^{vipa2s}. **v.15** πᾶς^{ainnsn} ζῷον^{nnnsc} ἀγαπάω^{vipa3s} ὁ^{dans} ὅμοιος^{anansn} αὐτός^{rpdns} καί^{cc} πᾶς^{ainmsn} ἄνθρωπος^{nnmsc} ὁ^{dams} πλησίον^{b} αὐτός^{rpgms}. **v.16** πᾶς^{ainfsn} σάρξ^{nnfsc} κατά^{pa} γένος^{nansc} συνάγω^{vipp3s} καί^{cc} ὁ^{ddms} ὅμοιος^{andmsn} αὐτός^{rpgms} προσκολλάω^{vifp3s} ἀνήρ^{nnmsc}. **v.17** τίς^{rqnns} κοινωνέω^{vifa3s} λύκος^{nnmsc} ἀμνός^{ndmsc} οὕτως^{b} ἁμαρτωλός^{annmsn} πρός^{pa} εὐσεβής^{ananpn}. **v.18** τίς^{aqnfsn} εἰρήνη^{nnfsc} ὕαινα^{ndfsc} πρός^{pa} κύων^{namsc} καί^{cc} τίς^{aqnfsn} εἰρήνη^{nnfsc} πλούσιος^{andmsn} πρός^{pa} πένης^{namsc}. **v.19** κυνήγιον^{nnnpc} λέων^{ngmpc} ὄναγρος^{nnmpc} ἐν^{pd} ἔρημος^{ndfsc} οὕτως^{b} νομή^{nnfpc} πλούσιος^{angmpn} πτωχός^{annmpn}. **v.20** βδέλυγμα^{nnnsc} ὑπερήφανος^{andmsn} ταπεινότης^{nnfsc} οὕτως^{b} βδέλυγμα^{nnnsc} πλούσιος^{andmsn} πτωχός^{annmsn}.

πεσὼν προσαπωθεῖται ὑπὸ φίλων. πλουσίου σφαλέντος πολλοὶ 22
ἀντιλήμπτορες ἐλάλησεν ἀπόρρητα καὶ ἐδικαίωσαν αὐτόν ταπει-
νὸς ἔσφαλεν καὶ προσεπετίμησαν αὐτῷ ἐφθέγξατο σύνεσιν καὶ
οὐκ ἐδόθη αὐτῷ τόπος. πλούσιος ἐλάλησεν καὶ πάντες ἐσίγησαν 23
καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν πτωχὸς ἐλάλη-
σεν καὶ εἶπαν τίς οὗτος κἂν προσκόψῃ προσανατρέψουσιν αὐτόν.
ἀγαθὸς ὁ πλοῦτος ᾧ μὴ ἐστιν ἁμαρτία καὶ πονηρὰ ἡ πτωχεία ἐν 24
στόματι ἀσεβοῦς. καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ 25
ἐάν τε εἰς ἀγαθὰ ἐάν τε εἰς κακά. ἴχνος καρδίας ἐν ἀγαθοῖς πρό- 26
σωπον ἱλαρόν καὶ εὕρεσις παραβολῶν διαλογισμοὶ μετὰ κόπων.

μακάριος ἀνήρ ὃς οὐκ ὠλίσθησεν ἐν τῷ στόματι αὐτοῦ καὶ οὐ **14**
κατενύγη ἐν λύπῃ ἁμαρτιῶν. μακάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ 2
αὐτοῦ καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ. ἀνδρὶ μικρο- 3
λόγῳ οὐ καλὸς ὁ πλοῦτος καὶ ἀνθρώπῳ βασκάνῳ ἵνα τί χρήματα.
ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ συνάγει ἄλλοις καὶ ἐν τοῖς ἀ- 4
γαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι. ὁ πονηρὸς ἑαυτῷ τίνι ἀγαθὸς 5
ἔσται καὶ οὐ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ. τοῦ βα- 6
σκαίνοντος ἑαυτὸν οὐκ ἔστιν πονηρότερος καὶ τοῦτο ἀνταπόδομα
τῆς κακίας αὐτοῦ. κἂν εὖ ποιῇ ἐν λήθῃ ποιεῖ καὶ ἐπ᾽ ἐσχάτων 7
ἐκφαίνει τὴν κακίαν αὐτοῦ. πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ 8

---

v.21 πλούσιος^{annmsn} σαλεύω^{vpppnms} στηρίζω^{vipp3s} ὑπό^{pg} φίλος^{angmpn} ταπεινός^{annmsn} δέ^{cc} πίπτω^{vpaanms} προσαπωθέομαι^{vipp3s} ὑπό^{pg} φίλος^{angmpn}. **v.22** πλούσιος^{angmsn} σφάλλω^{vpapgms} πολύς^{annmpn} ἀντιλήμπτωρ^{nnmpc} λαλέω^{viaa3s} ἀπόρρητος^{ananpn} καί^{cc} δικαιόω^{viaa3p} αὐτός^{rpams} ταπεινός^{annmsn} σφάλλω^{viaa3s} καί^{cc} προσεπιτιμάω^{viaa3p} αὐτός^{rpdms} φθέγγομαι^{viam3s} σύνεσις^{nafsc} καί^{cc} οὐ^{b} δίδωμι^{viap3s} αὐτός^{rpdms} τόπος^{nnmsc}. **v.23** πλούσιος^{annmsn} λαλέω^{viaa3s} καί^{cc} πᾶς^{ainmpn} σιγάω^{viaa3p} καί^{cc} ὁ^{dams} λόγος^{namsc} αὐτός^{rpgms} ἀνυψόω^{viaa3p} ἕως^{pg} ὁ^{dgfp} νεφέλη^{ngfpc} πτωχός^{annmsn} λαλέω^{viaa3s} καί^{cc} λέγω^{viaa3p} τίς^{rqnms} οὗτος^{rdnms} καί&ἐάν$^{cc\&cs}$ προσκόπτω^{vsaa3s} προσανατρέπω^{vifa3p} αὐτός^{rpams}. **v.24** ἀγαθός^{annmsn} ὁ^{dnms} πλοῦτος^{nnmsc} ὅς^{rrdms} μή^{x} εἰμί^{vipa3s} ἁμαρτία^{nnfsc} καί^{cc} πονηρός^{annfsn} ὁ^{dnfs} πτωχεία^{nnfsc} ἐν^{pd} στόμα^{ndnsc} ἀσεβής^{angmsn}. **v.25** καρδία^{nnfsc} ἄνθρωπος^{ngmsc} ἀλλοιόω^{vipa3s} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgms} ἐάν^{cs} τέ^{cc} εἰς^{pa} ἀγαθός^{ananpn} ἐάν^{cs} τέ^{cc} εἰς^{pa} κακός^{ananpn}. **v.26** ἴχνος^{nnnsc} καρδία^{ngfsc} ἐν^{pd} ἀγαθός^{andnpn} πρόσωπον^{nnnsc} ἱλαρός^{annnsn} καί^{cc} εὕρεσις^{nnfsc} παραβολή^{ngfpc} διαλογισμός^{nnmpc} μετά^{pg} κόπος^{ngmpc}. **14. v.1** μακάριος^{annmsn} ἀνήρ^{nnmsc} ὅς^{rrnms} οὐ^{b} ὀλισθάνω^{viaa3s} ἐν^{pd} ὁ^{ddns} στόμα^{ndnsc} αὐτός^{rpgms} καί^{cc} οὐ^{b} κατανύσσομαι^{viap3s} ἐν^{pd} λύπη^{ndfsc} ἁμαρτία^{ngfpc}. **v.2** μακάριος^{annmsn} ὅς^{rrgms} οὐ^{b} καταγινώσκω^{viaa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} αὐτός^{rpgms} καί^{cc} ὅς^{rrnms} οὐ^{b} πίπτω^{viaa3s} ἀπό^{pg} ὁ^{dgfs} ἐλπίς^{ngfsc} αὐτός^{rpgms}. **v.3** ἀνήρ^{ndmsc} μικρολόγος^{andmsn} οὐ^{b} καλός^{annmsn} ὁ^{dnms} πλοῦτος^{nnmsc} καί^{cc} ἄνθρωπος^{ndmsc} βάσκανος^{andmsn} ἵνα^{cs} τίς^{rqnns} χρῆμα^{nnnpc}. **v.4** ὁ^{dnms} συνάγω^{vppanms} ἀπό^{pg} ὁ^{dgfs} ψυχή^{ngfsc} αὐτός^{rpgms} συνάγω^{vipa3s} ἄλλος^{ridmp} καί^{cc} ἐν^{pd} ὁ^{ddnp} ἀγαθός^{andnpn} αὐτός^{rpgms} τρυφάω^{vifa3s} ἕτερος^{ainmpn}. **v.5** ὁ^{dnms} πονηρός^{annmsn} ἑαυτοῦ^{rxdms} τίς^{rqdms} ἀγαθός^{annmsn} εἰμί^{vifm3s} καί^{cc} οὐ^{b} μή^{x} εὐφραίνω^{vifp3s} ἐν^{pd} ὁ^{ddnp} χρῆμα^{ndnpc} αὐτός^{rpgms}. **v.6** ὁ^{dgms} βασκαίνω^{vppagms} ἑαυτοῦ^{rxams} οὐ^{b} εἰμί^{vipa3s} πονηρός^{annmsc} καί^{cc} οὗτος^{rdnns} ἀνταπόδομα^{nnnsc} ὁ^{dgfs} κακία^{ngfsc} αὐτός^{rpgms}. **v.7** καί&ἐάν$^{b\&cs}$ εὖ^{b} ποιέω^{vspa3s} ἐν^{pd} λήθη^{ndfsc} ποιέω^{vipa3s} καί^{cc} ἐπί^{pg} ἔσχατος^{angnpn} ἐκφαίνω^{vipa3s} ὁ^{dafs} κακία^{nafsc} αὐτός^{rpgms}.

9 ἀποστρέφων πρόσωπον καὶ ὑπερορῶν ψυχάς. πλεονέκτου ὀ-
φθαλμὸς οὐκ ἐμπίπλαται μερίδι καὶ ἀδικία πονηρὰ ἀναξηραίνει
10 ψυχήν. ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ᾽ ἄρτῳ καὶ ἐλλιπὴς ἐπὶ
11 τῆς τραπέζης αὐτοῦ. τέκνον καθὼς ἐὰν ἔχῃς εὖ ποίει σεαυτὸν
12 καὶ προσφορὰς κυρίῳ ἀξίως πρόσαγε. μνήσθητι ὅτι θάνατος
13 οὐ χρονιεῖ καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι. πρίν σε τε-
λευτῆσαι εὖ ποίει φίλῳ καὶ κατὰ τὴν ἰσχύν σου ἔκτεινον καὶ δὸς
14 αὐτῷ. μὴ ἀφυστερήσῃς ἀπὸ ἀγαθῆς ἡμέρας καὶ μερὶς ἐπιθυ-
15 μίας ἀγαθῆς μή σε παρελθάτω. οὐχὶ ἑτέρῳ καταλείψεις τοὺς
16 πόνους σου καὶ τοὺς κόπους σου εἰς διαίρεσιν κλήρου. δὸς καὶ
λαβὲ καὶ ἀπάτησον τὴν ψυχήν σου ὅτι οὐκ ἔστιν ἐν ᾅδου ζητῆσαι
17 τρυφήν. πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται ἡ γὰρ διαθήκη ἀπ᾽
18 αἰῶνος θανάτῳ ἀποθανῇ. ὡς φύλλον θάλλον ἐπὶ δένδρου δασέος
τὰ μὲν καταβάλλει ἄλλα δὲ φύει οὕτως γενεὰ σαρκὸς καὶ αἵματος
19 ἡ μὲν τελευτᾷ ἑτέρα δὲ γεννᾶται. πᾶν ἔργον σηπόμενον ἐκλεί-
20 πει καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ᾽ αὐτοῦ ἀπελεύσεται. μακάριος
ἀνὴρ ὃς ἐν σοφίᾳ μελετήσει καὶ ὃς ἐν συνέσει αὐτοῦ διαλεχθή-
21 σεται. ὁ διανοούμενος τὰς ὁδοὺς αὐτῆς ἐν καρδίᾳ αὐτοῦ καὶ ἐν
22 τοῖς ἀποκρύφοις αὐτῆς ἐννοηθήσεται. ἔξελθε ὀπίσω αὐτῆς ὡς
23 ἰχνευτὴς καὶ ἐν ταῖς ὁδοῖς αὐτῆς ἐνέδρευε. ὁ παρακύπτων διὰ

---

τοῦ ἀγαπήσαντος αὐτὸν οὐ μὴ ἐξάρῃ καὶ τῷ Ιακωβ ἔδωκεν κατά-
23 λειμμα καὶ τῷ Δαυιδ ἐξ αὐτοῦ ῥίζαν. καὶ ἀνεπαύσατο Σαλωμων
μετὰ τῶν πατέρων αὐτοῦ καὶ κατέλιπεν μετ᾽ αὐτὸν ἐκ τοῦ σπέρμα-
τος αὐτοῦ λαοῦ ἀφροσύνην καὶ ἐλασσούμενον συνέσει Ροβοαμ ὃς
24 ἀπέστησεν λαὸν ἐκ βουλῆς αὐτοῦ. καὶ Ιεροβοαμ υἱὸς Ναβατ ὃς
ἐξήμαρτεν τὸν Ισραηλ καὶ ἔδωκεν τῷ Εφραιμ ὁδὸν ἁμαρτίας καὶ
ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα ἀποστῆσαι αὐτοὺς ἀπὸ
25 τῆς γῆς αὐτῶν. καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν ἕως ἐκδίκησις
ἔλθῃ ἐπ᾽ αὐτούς.

48 καὶ ἀνέστη Ηλιας προφήτης ὡς πῦρ καὶ ὁ λόγος αὐτοῦ ὡς λαμ-
2 πὰς ἐκαίετο. ὃς ἐπήγαγεν ἐπ᾽ αὐτοὺς λιμὸν καὶ τῷ ζήλῳ αὐτοῦ
3 ὠλιγοποίησεν αὐτούς. ἐν λόγῳ κυρίου ἀνέσχεν οὐρανόν κατή-
4 γαγεν οὕτως τρὶς πῦρ. ὡς ἐδοξάσθης Ηλια ἐν θαυμασίοις σου
5 καὶ τίς ὅμοιός σοι καυχᾶσθαι. ὁ ἐγείρας νεκρὸν ἐκ θανάτου καὶ
6 ἐξ ᾅδου ἐν λόγῳ ὑψίστου. ὁ καταγαγὼν βασιλεῖς εἰς ἀπώλειαν
7 καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν. ἀκούων ἐν Σινα ἐλεγμὸν
8 καὶ ἐν Χωρηβ κρίματα ἐκδικήσεως. ὁ χρίων βασιλεῖς εἰς ἀν-
9 ταπόδομα καὶ προφήτας διαδόχους μετ᾽ αὐτόν. ὁ ἀναλημφθεὶς
10 ἐν λαίλαπι πυρὸς ἐν ἅρματι ἵππων πυρίνων. ὁ καταγραφεὶς ἐν
ἐλεγμοῖς εἰς καιροὺς κοπάσαι ὀργὴν πρὸ θυμοῦ ἐπιστρέψαι καρ-

---

v.22 ὁ^{dnms} δέ^{cc} κύριος^{nnmsc} οὐ^{b} μή^{x} καταλείπω^{vsaa3s} ὁ^{dans} ἔλεος^{nansc} αὐτός^{rpgms} καί^{cc} οὐ^{b} μή^{x} διαφθείρω^{vspa3s} ἀπό^{pg} ὁ^{dgmp} λόγος^{ngmpc} αὐτός^{rpgms} οὐδέ^{cc} μή^{x} ἐξαλείφω^{vsaa3s} ἐκλεκτός^{angmsn} αὐτός^{rpgms} ἔκγονος^{ananpn} καί^{cc} σπέρμα^{nansc} ὁ^{dgms} ἀγαπάω^{vpaagms} αὐτός^{rpams} οὐ^{b} μή^{x} ἐξαίρω^{vsaa3s} καί^{cc} ὁ^{ddms} Ἰακώβ^{ndmsp} δίδωμι^{viaa3s} κατάλειμμα^{nansc} καί^{cc} ὁ^{ddms} Δαυίδ^{ndmsp} ἐκ^{pg} αὐτός^{rpgms} ῥίζα^{nafsc}. **v.23** καί^{cc} ἀναπαύω^{viam3s} Σαλωμών^{nnmsp} μετά^{pg} ὁ^{dgmp} πατήρ^{ngmpc} αὐτός^{rpgms} καί^{cc} καταλείπω^{viaa3s} μετά^{pa} αὐτός^{rpams} ἐκ^{pg} ὁ^{dgns} σπέρμα^{ngnsc} αὐτός^{rpgms} λαός^{ngmsc} ἀφροσύνη^{nafsc} καί^{cc} ἐλαττόω^{vppmams} σύνεσις^{ndfsc} Ῥοβοάμ^{namsp} ὅς^{rrnms} ἀφίστημι^{viaa3s} λαός^{namsc} ἐκ^{pg} βουλή^{ngfsc} αὐτός^{rpgms}. **v.24** καί^{cc} Ιεροβοαμ^{nnmsp} υἱός^{nnmsc} Ναβατ^{ngmsp} ὅς^{rrnms} ἐξαμαρτάνω^{viaa3s} ὁ^{dams} Ἰσραήλ^{namsp} καί^{cc} δίδωμι^{viaa3s} ὁ^{ddms} Εφράιμ^{ndmsp} ὁδός^{nafsc} ἁμαρτία^{ngfsc} καί^{cc} πληθύνω^{viap3p} ὁ^{dnfp} ἁμαρτία^{nnfpc} αὐτός^{rpgmp} σφόδρα^{b} ἀφίστημι^{vnaa} αὐτός^{rpamp} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} αὐτός^{rpgmp}. **v.25** καί^{cc} πᾶς^{aiafsn} πονηρία^{nafsc} ἐκζητέω^{viaa3p} ἕως^{cs} ἐκδίκησις^{nnfsc} ἔρχομαι^{vsaa3s} ἐπί^{pa} αὐτός^{rpamp}. **48. v.1** καί^{cc} ἀνίστημι^{viaa3s} Ηλιας^{nnmsp} προφήτης^{nnmsc} ὡς^{cs} πῦρ^{nnnsc} καί^{cc} ὁ^{dnms} λόγος^{nnmsc} αὐτός^{rpgms} ὡς^{cs} λαμπάς^{nnfsc} καίω^{viim3s}. **v.2** ὅς^{rrnms} ἐπάγω^{viaa3s} ἐπί^{pa} αὐτός^{rpamp} λιμός^{namsc} καί^{cc} ὁ^{ddms} ζῆλος^{ndmsc} αὐτός^{rpgms} ὀλιγοποιέω^{viaa3s} αὐτός^{rpamp}. **v.3** ἐν^{pd} λόγος^{ndmsc} κύριος^{ngmsc} ἀνέχω^{viaa3s} οὐρανός^{namsc} κατάγω^{viaa3s} οὕτως^{b} τρίς^{b} πῦρ^{nansc}. **v.4** ὡς^{cs} δοξάζω^{viap2s} Ηλιας^{nvmsp} ἐν^{pd} θαυμάσιος^{andnpn} σύ$^{rpg-s}$ καί^{cc} τίς^{rqnms} ὅμοιος^{annmsn} σύ$^{rpd-s}$ καυχάομαι^{vnpm}. **v.5** ὁ^{dnms} ἐγείρω^{vpaanms} νεκρός^{anamsn} ἐκ^{pg} θάνατος^{ngmsc} καί^{cc} ἐκ^{pg} ᾅδης^{ngmsc} ἐν^{pd} λόγος^{ndmsc} ὕψιστος^{angmsn}. **v.6** ὁ^{dnms} κατάγω^{vpaanms} βασιλεύς^{nampc} εἰς^{pa} ἀπώλεια^{nafsc} καί^{cc} δοξάζω^{vpxpamp} ἀπό^{pg} κλίνη^{ngfsc} αὐτός^{rpgmp}. **v.7** ἀκούω^{vppanms} ἐν^{pd} Σινᾶ^{ndnnp} ἐλεγμός^{namsc} καί^{cc} ἐν^{pd} Χωρήβ^{nd-sp} κρίμα^{nanpc} ἐκδίκησις^{ngfsc}. **v.8** ὁ^{dnms} χρίω^{vppanms} βασιλεύς^{nampc} εἰς^{pa} ἀνταπόδομα^{nansc} καί^{cc} προφήτης^{nampc} διάδοχος^{nampc} μετά^{pa} αὐτός^{rpams}. **v.9** ὁ^{dnms} ἀναλαμβάνω^{vpapnms} ἐν^{pd} λαῖλαψ^{ndfsc} πῦρ^{ngnsc} ἐν^{pd} ἅρμα^{ndnsc} ἵππος^{ngmpc} πύρινος^{angmpn}.

δίαν πατρὸς πρὸς υἱὸν καὶ καταστῆσαι φυλὰς Ιακωβ. μακάριοι 11
οἱ ἰδόντες σε καὶ οἱ ἐν ἀγαπήσει κεκοιμημένοι καὶ γὰρ ἡμεῖς ζωῇ
ζησόμεθα. Ηλιας ὃς ἐν λαίλαπι ἐσκεπάσθη καὶ Ελισαιε ἐνεπλή- 12
σθη πνεύματος αὐτοῦ καὶ ἐν ἡμέραις αὐτοῦ οὐκ ἐσαλεύθη ὑπὸ
ἄρχοντος καὶ οὐ κατεδυνάστευσεν αὐτὸν οὐδείς. πᾶς λόγος οὐχ 13
ὑπερῆρεν αὐτόν καὶ ἐν κοιμήσει ἐπροφήτευσεν τὸ σῶμα αὐτοῦ.
καὶ ἐν ζωῇ αὐτοῦ ἐποίησεν τέρατα καὶ ἐν τελευτῇ θαυμάσια τὰ 14
ἔργα αὐτοῦ. ἐν πᾶσιν τούτοις οὐ μετενόησεν ὁ λαὸς καὶ οὐκ 15
ἀπέστησαν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ἕως ἐπρονομεύθησαν ἀπὸ
γῆς αὐτῶν καὶ διεσκορπίσθησαν ἐν πάσῃ τῇ γῇ. καὶ κατελείφθη 16
ὁ λαὸς ὀλιγοστός καὶ ἄρχων ἐν τῷ οἴκῳ Δαυιδ τινὲς μὲν αὐτῶν
ἐποίησαν τὸ ἀρεστόν τινὲς δὲ ἐπλήθυναν ἁμαρτίας. Εζεκιας ὠ- 17
χύρωσεν τὴν πόλιν αὐτοῦ καὶ εἰσήγαγεν εἰς μέσον αὐτῆς ὕδωρ
ὤρυξεν σιδήρῳ ἀκρότομον καὶ ᾠκοδόμησεν κρήνας εἰς ὕδατα.
ἐν ἡμέραις αὐτοῦ ἀνέβη Σενναχηριμ καὶ ἀπέστειλεν Ραψακην 18
καὶ ἀπῆρεν καὶ ἐπῆρεν χεῖρα αὐτοῦ ἐπὶ Σιων καὶ ἐμεγαλαύχησεν
ἐν ὑπερηφανίᾳ αὐτοῦ. τότε ἐσαλεύθησαν καρδίαι καὶ χεῖρες αὐ- 19
τῶν καὶ ὠδίνησαν ὡς αἱ τίκτουσαι. καὶ ἐπεκαλέσαντο τὸν κύριον 20
τὸν ἐλεήμονα ἐκπετάσαντες τὰς χεῖρας αὐτῶν πρὸς αὐτόν καὶ ὁ
ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν καὶ ἐλυτρώσατο αὐτοὺς

---

v.10 ὁ^{dnms} καταγράφω^{vpapnms} ἐν^{pd} ἐλεγμός^{ndmpc} εἰς^{pa} καιρός^{nampc} κοπάζω^{vnaa} ὀργή^{nafsc} πρό^{pg} θυμός^{ngmsc} ἐπιστρέφω^{vnaa} καρδία^{nafsc} πατήρ^{ngmsc} πρός^{pa} υἱός^{namsc} καί^{cc} καθίστημι^{vnaa} φυλή^{nafpc} Ἰακώβ^{ngmsp}. **v.11** μακάριος^{annnmpn} ὁ^{dnmp} ὁράω^{vpaanmp} σύ$^{rpa-s}$ καί^{cc} ὁ^{dnmp} ἐν^{pd} ἀγάπησις^{ndfsc} κοιμάομαι^{vpxmnmp} καί^{cc} γάρ^{cc} ἐγώ$^{rpn-p}$ ζωή^{ndfsc} ζάω^{vifm1p}. **v.12** Ηλιας^{nnmsp} ὅς^{rrnms} ἐν^{pd} λαῖλαψ^{ndfsc} σκεπάζω^{viap3s} καί^{cc} Ἐλεισαῖε^{nnmsp} ἐμπίπλημι^{viap3s} πνεῦμα^{ngnsc} αὐτός^{rpgms} καί^{cc} ἐν^{pd} ἡμέρα^{ndfpc} αὐτός^{rpgms} οὐ^{b} σαλεύω^{viap3s} ὑπό^{pg} ἄρχων^{ngmsc} καί^{cc} οὐ^{b} καταδυναστεύω^{viaa3s} αὐτός^{rpams} οὐδείς^{rinms}. **v.13** πᾶς^{ainmsn} λόγος^{nnmsc} οὐ^{b} ὑπεραίρω^{viaa3s} αὐτός^{rpams} καί^{cc} ἐν^{pd} κοίμησις^{ndfsc} προφητεύω^{viaa3s} ὁ^{dnns} σῶμα^{nnnsc} αὐτός^{rpgms}. **v.14** καί^{cc} ἐν^{pd} ζωή^{ndfsc} αὐτός^{rpgms} ποιέω^{viaa3s} τέρας^{nanpc} καί^{cc} ἐν^{pd} τελευτή^{ndfsc} θαυμάσιος^{annnpn} ὁ^{dnnp} ἔργον^{nnnpc} αὐτός^{rpgms}. **v.15** ἐν^{pd} πᾶς^{aidnpn} οὗτος^{rddnp} οὐ^{b} μετανοέω^{viaa3s} ὁ^{dnms} λαός^{nnmsc} καί^{cc} οὐ^{b} ἀφίστημι^{viaa3p} ἀπό^{pg} ὁ^{dgfp} ἁμαρτία^{ngfpc} αὐτός^{rpgmp} ἕως^{cs} προνομεύω^{viap3p} ἀπό^{pg} γῆ^{ngfsc} αὐτός^{rpgmp} καί^{cc} διασκορπίζω^{viap3p} ἐν^{pd} πᾶς^{aidfsn} ὁ^{ddfs} γῆ^{ndfsc}. **v.16** καί^{cc} καταλείπω^{viap3s} ὁ^{dnms} λαός^{nnmsc} ὀλιγοστός^{annmsn} καί^{cc} ἄρχων^{nnmsc} ἐν^{pd} ὁ^{ddms} οἶκος^{ndmsc} Δαυίδ^{ngmsp} τι-
-σρινμπ μέν^{x} αὐτός^{rpgmp} ποιέω^{viaa3p} ὁ^{dans} ἀρεστός^{anansn} τι-σρινμπ δέ^{cc} πληθύνω^{viaa3p} ἁμαρτία^{nafpc}. **v.17** Ἐζεκίας^{nnmsp} ὀχυρόω^{viaa3s} ὁ^{dafs} πόλις^{nafsc} αὐτός^{rpgms} καί^{cc} εἰσάγω^{viaa3s} εἰς^{pa} μέσος^{anansn} αὐτός^{rpgfs} ὕδωρ^{nansc} ὀρύσσω^{viaa3s} σίδηρος^{ndmsc} ἀκρότομος^{anansn} καί^{cc} οἰκοδομέω^{viaa3s} κρήνη^{nafpc} εἰς^{pa} ὕδωρ^{nanpc}. **v.18** ἐν^{pd} ἡμέρα^{ndfpc} αὐτός^{rpgms} ἀναβαίνω^{viaa3s} Σενναχηριμ^{nnmsp} καί^{cc} ἀποστέλλω^{viaa3s} Ῥαψάκης^{namsp} καί^{cc} ἀπαίρω^{viaa3s} καί^{cc} ἐπαίρω^{viaa3s} χείρ^{nafsc} αὐτός^{rpgms} ἐπί^{pa} Σιών^{nafsp} καί^{cc} μεγαλαυχέω^{viaa3s} ἐν^{pd} ὑπερηφανία^{ndfsc} αὐτός^{rpgms}. **v.19** τότε^{b} σαλεύω^{viap3p} καρδία^{nnfpc} καί^{cc} χείρ^{nnfpc} αὐτός^{rpgmp} καί^{cc} ὠδίνω^{viaa3p} ὡς^{cs} ὁ^{dnfp} τίκτω^{vppanfp}.

21 ἐν χειρὶ Ησαιου. ἐπάταξεν τὴν παρεμβολὴν τῶν Ἀσσυρίων καὶ
22 ἐξέτριψεν αὐτοὺς ὁ ἄγγελος αὐτοῦ. ἐποίησεν γὰρ Εζεκιας τὸ ἀ-
ρεστὸν κυρίῳ καὶ ἐνίσχυσεν ἐν ὁδοῖς Δαυιδ τοῦ πατρὸς αὐτοῦ ἃς
ἐνετείλατο Ησαιας ὁ προφήτης ὁ μέγας καὶ πιστὸς ἐν ὁράσει αὐ-
23 τοῦ. ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος καὶ προσέθηκεν
24 ζωὴν βασιλεῖ. πνεύματι μεγάλῳ εἶδεν τὰ ἔσχατα καὶ παρεκά-
25 λεσεν τοὺς πενθοῦντας ἐν Σιων. ἕως τοῦ αἰῶνος ὑπέδειξεν τὰ
ἐσόμενα καὶ τὰ ἀπόκρυφα πρὶν ἢ παραγενέσθαι αὐτά.

49 μνημόσυνον Ιωσιου εἰς σύνθεσιν θυμιάματος ἐσκευασμένον
ἔργῳ μυρεψοῦ ἐν παντὶ στόματι ὡς μέλι γλυκανθήσεται καὶ ὡς
2 μουσικὰ ἐν συμποσίῳ οἴνου. αὐτὸς κατευθύνθη ἐν ἐπιστροφῇ
3 λαοῦ καὶ ἐξῆρεν βδελύγματα ἀνομίας. κατεύθυνεν πρὸς κύριον
τὴν καρδίαν αὐτοῦ ἐν ἡμέραις ἀνόμων κατίσχυσεν τὴν εὐσέβειαν.
4 πάρεξ Δαυιδ καὶ Εζεκιου καὶ Ιωσιου πάντες πλημμέλειαν ἐπλημ-
μέλησαν κατέλιπον γὰρ τὸν νόμον τοῦ ὑψίστου οἱ βασιλεῖς Ιουδα
5 ἐξέλιπον. ἔδωκαν γὰρ τὸ κέρας αὐτῶν ἑτέροις καὶ τὴν δόξαν αὐ-
6 τῶν ἔθνει ἀλλοτρίῳ. ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁγιάσματος καὶ
7 ἠρήμωσαν τὰς ὁδοὺς αὐτῆς. ἐν χειρὶ Ιερεμιου ἐκάκωσαν γὰρ αὐ-
τόν καὶ αὐτὸς ἐν μήτρᾳ ἡγιάσθη προφήτης ἐκριζοῦν καὶ κακοῦν
8 καὶ ἀπολλύειν ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύειν. Ιεζεκιηλ

---

v.20 καί^{cc} ἐπικαλέω^{viam3p} ὁ^{dams} κύριος^{namsc} ὁ^{dams} ἐλεήμων^{anamsn} ἐκπετάννυμι^{vpaanmp} ὁ^{dafp} χείρ^{nafpc} αὐτός^{rpgmp} πρός^{pa} αὐτός^{rpams} καί^{cc} ὁ^{dnms} ἅγιος^{annmsn} ἐκ^{pg} οὐρανός^{ngmsc} ταχύς^{b} ἐπακούω^{viaa3s} αὐτός^{rpgmp} καί^{cc} λυτρόω^{viam3s} αὐτός^{rpamp} ἐν^{pd} χείρ^{ndfsc} Ἡσαΐας^{ngmsp}. **v.21** πατάσσω^{viaa3s} ὁ^{dafs} παρεμβολή^{nafsc} ὁ^{dgmp} Ἀσσύριος^{ngmpp} καί^{cc} ἐκτρίβω^{viaa3s} αὐτός^{rpamp} ὁ^{dnms} ἄγγελος^{nnmsc} αὐτός^{rpgms}. **v.22** ποιέω^{viaa3s} γάρ^{cc} Ἐζεκίας^{nnmsp} ὁ^{dans} ἀρεστός^{anansn} κύριος^{ndmsc} καί^{cc} ἐνισχύω^{viaa3s} ἐν^{pd} ὁδός^{ndfpc} Δαυίδ^{ngmsp} ὁ^{dgms} πατήρ^{ngmsc} αὐτός^{rpgms} ὅς^{rrafp} ἐντέλλομαι^{viam3s} Ἡσαΐας^{nnmsp} ὁ^{dnms} προφήτης^{nnmsc} ὁ^{dnms} μέγας^{annmsn} καί^{cc} πιστός^{annmsn} ἐν^{pd} ὅρασις^{ndfsc} αὐτός^{rpgms}. **v.23** ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} αὐτός^{rpgms} ἀναποδίζω^{viaa3s} ὁ^{dnms} ἥλιος^{nnmsc} καί^{cc} προστίθημι^{viaa3s} ζωή^{nafsc} βασιλεύς^{ndmsc}. **v.24** πνεῦμα^{ndnsc} μέγας^{andnsn} ὁράω^{viaa3s} ὁ^{danp} ἔσχατος^{ananpn} καί^{cc} παρακαλέω^{viaa3s} ὁ^{damp} πενθέω^{vppaamp} ἐν^{pd} Σιών^{ndfsp}. **v.25** ἕως^{pg} ὁ^{dgms} αἰών^{ngmsc} ὑποδείκνυμι^{viaa3s} ὁ^{danp} εἰμί^{vpfmanp} καί^{cc} ὁ^{danp} ἀπόκρυφος^{ananpn} πρίν^{cs} ἤ^{cc} παραγίνομαι^{vnam} αὐτός^{rpanp}. **49. v.1** μνημόσυνον^{nnnsc} Ἰωσείας^{ngmsp} εἰς^{pa} σύνθεσις^{nafsc} θυμίαμα^{ngnsc} σκευάζω^{vpxpnns} ἔργον^{ndnsc} μυρεψός^{ngmsc} ἐν^{pd} πᾶς^{aidnsn} στόμα^{ndnsc} ὡς^{cs} μέλι^{nnnsc} γλυκαίνω^{vifp3s} καί^{cc} ὡς^{cs} μουσικός^{annnpn} ἐν^{pd} συμπόσιον^{ndnsc} οἶνος^{ngmsc}. **v.2** αὐτός^{rpnms} κατευθύνω^{viap3s} ἐν^{pd} ἐπιστροφή^{ndfsc} λαός^{ngmsc} καί^{cc} ἐξαίρω^{viaa3s} βδέλυγμα^{nanpc} ἀνομία^{ngfsc}. **v.3** κατευθύνω^{viaa3s} πρός^{pa} κύριος^{namsc} ὁ^{dafs} καρδία^{nafsc} αὐτός^{rpgms} ἐν^{pd} ἡμέρα^{ndfpc} ἄνομος^{angmpn} κατισχύω^{viaa3s} ὁ^{dafs} εὐσέβεια^{nafsc}. **v.4** πάρεξ^{pg} Δαυίδ^{ngmsp} καί^{cc} Ἐζεκίας^{ngmsp} καί^{cc} Ἰωσείας^{ngmsp} πᾶς^{ainmpn} πλημμέλεια^{nafsc} πλημμελέω^{viaa3p} καταλείπω^{viaa3p} γάρ^{cc} ὁ^{dams} νόμος^{namsc} ὁ^{dgms} ὕψιστος^{angmsn} ὁ^{dnmp} βασιλεύς^{nnmpc} Ἰούδας^{ngmsp} ἐκλείπω^{viaa3p}. **v.5** δίδωμι^{viaa3p} γάρ^{cc} ὁ^{dans} κέρας^{nansc} αὐτός^{rpgmp} ἕτερος^{aidmpn} καί^{cc} ὁ^{dafs} δόξα^{nafsc} αὐτός^{rpgmp} ἔθνος^{ndnsc} ἀλλότριος^{andnsn}. **v.6** ἐμπυρίζω^{viaa3p} ἐκλεκτός^{anafsn} πόλις^{nafsc} ἁγίασμα^{ngnsc} καί^{cc} ἐρημόω^{viaa3p} ὁ^{dafp} ὁδός^{nafpc} αὐτός^{rpgfs}. **v.7** ἐν^{pd} χείρ^{ndfsc} Ἰερεμίας^{ngmsp} κακόω^{viaa3p} γάρ^{cc} αὐτός^{rpams} καί^{cc} αὐτός^{rpnms} ἐν^{pd} μήτρα^{ndfsc} ἁγιάζω^{viap3s} προφήτης^{nnmsc} ἐκριζόω^{vnpa} καί^{cc} κακόω^{vnpa} καί^{cc} ἀπόλλυμι^{vnpa} ὡσαύτως^{b} οἰκοδομέω^{vnpa} καί^{cc} καταφυτεύω^{vnpa}.

ὃς εἶδεν ὅρασιν δόξης ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ ἅρματος χερουβιν. καὶ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ καὶ ἀγαθῶσαι τοὺς εὐθύ- 9
νοντας ὁδούς. καὶ τῶν δώδεκα προφητῶν τὰ ὀστᾶ ἀναθάλοι ἐκ 10
τοῦ τόπου αὐτῶν παρεκάλεσαν γὰρ τὸν Ιακωβ καὶ ἐλυτρώσαντο αὐτοὺς ἐν πίστει ἐλπίδος. πῶς μεγαλύνωμεν τὸν Ζοροβαβελ καὶ 11
αὐτὸς ὡς σφραγὶς ἐπὶ δεξιᾶς χειρός. οὕτως Ἰησοῦς υἱὸς Ιωσε- 12
δεκ οἳ ἐν ἡμέραις αὐτῶν ᾠκοδόμησαν οἶκον καὶ ἀνύψωσαν ναὸν ἅγιον κυρίῳ ἡτοιμασμένον εἰς δόξαν αἰῶνος. καὶ Νεεμιου ἐπὶ 13
πολὺ τὸ μνημόσυνον τοῦ ἐγείραντος ἡμῖν τείχη πεπτωκότα καὶ στήσαντος πύλας καὶ μοχλοὺς καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡ-
μῶν. οὐδεὶς ἐκτίσθη ἐπὶ τῆς γῆς τοιοῦτος οἷος Ενωχ καὶ γὰρ 14
αὐτὸς ἀνελήμφθη ἀπὸ τῆς γῆς. οὐδὲ ὡς Ιωσηφ ἐγεννήθη ἀνὴρ 15
ἡγούμενος ἀδελφῶν στήριγμα λαοῦ καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέ-
πησαν. Σημ καὶ Σηθ ἐν ἀνθρώποις ἐδοξάσθησαν καὶ ὑπὲρ πᾶν 16
ζῷον ἐν τῇ κτίσει Αδαμ.

Σιμων Ονιου υἱὸς ἱερεὺς ὁ μέγας ὃς ἐν ζωῇ αὐτοῦ ὑπέρραψεν **50**
οἶκον καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσεν ναόν. καὶ ὑπ᾽ αὐτοῦ ἐ- 2
θεμελιώθη ὕψος διπλῆς ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ. ἐν 3
ἡμέραις αὐτοῦ ἐλατομήθη ἀποδοχεῖον ὑδάτων λάκκος ὡσεὶ θα-
λάσσης τὸ περίμετρον. ὁ φροντίζων τοῦ λαοῦ αὐτοῦ ἀπὸ πτώσεως 4
καὶ ἐνισχύσας πόλιν ἐν πολιορκήσει. ὡς ἐδοξάσθη ἐν περιστρο- 5

---

v.8 Ιεζεκιηλ^{nnmsp} ὃς^{rrnms} ὁράω^{viaa3s} ὅρασις^{nafsc} δόξα^{ngfsc} ὃς^{rrafs} ὑποδείκνυμι^{viaa3s} αὐτός^{rpdms} ἐπί^{pg} ἅρμα^{ngnsc} χερούβ^{ngnpc}. **v.9** καί^{cc} γάρ^{cc} μιμνῄσκομαι^{viap3s} ὁ^{dgmp} ἐχθρός^{angmpn} ἐν^{pd} ὄμβρος^{ndmsc} καί^{cc} ἀγαθόω^{vnaa} ὁ^{damp} εὐθύνω^{vppaamp} ὁδός^{nafpc}. **v.10** καί^{cc} ὁ^{dgmp} δώδεκα$^{ac—n}$ προφήτης^{ngmpc} ὁ^{dnnp} ὀστέον^{nnnpc} ἀναθάλλω^{voaa3s} ἐκ^{pg} ὁ^{dgms} τόπος^{ngmsc} αὐτός^{rpgnp} παρακαλέω^{viaa3p} γάρ^{cc} ὁ^{dams} Ἰακώβ^{namsp} καί^{cc} λυτρόω^{viam3p} αὐτός^{rpamp} ἐν^{pd} πίστις^{ndfsc} ἐλπίς^{ngfsc}. **v.11** πῶς^{b} μεγαλύνω^{vsaa1}Ἰpvspa1p ὁ^{dams} Ζοροβαβέλ^{namsp} καί^{cc} αὐτός^{rpnms} ὡς^{cs} σφραγίς^{nnfsc} ἐπί^{pg} δεξιός^{angfsn} χείρ^{ngfsc}. **v.12** οὕτως^{b} Ἰησοῦς^{nnmsp} υἱός^{nnmsc} Ιωσεδεκ^{namsp} ὅς^{rrnmp} ἐν^{pd} ἡμέρα^{ndfpc} αὐτός^{rpgmp} οἰκοδομέω^{viaa3p} οἶκος^{namsc} καί^{cc} ἀνυψόω^{viaa3p} ναός^{namsc} ἅγιος^{anamsn} κύριος^{ndmsc} ἑτοιμάζω^{vpxpams} εἰς^{pa} δόξα^{nafsc} αἰών^{ngmsc}. **v.13** καί^{cc} Νεεμείας^{ngmsp} ἐπί^{pa} πολύς^{anansn} ὁ^{dnns} μνημόσυνον^{nnnsc} ὁ^{dgms} ἐγείρω^{vpaagms} ἐγώ$^{rpd-p}$ τεῖχος^{nanpc} πίπτω^{vpxaanp} καί^{cc} ἵστημι^{vpaagms} πύλη^{nafpc} καί^{cc} μοχλός^{nampc} καί^{cc} ἀνεγείρω^{vpaagms} ὁ^{danp} οἰκόπεδον^{nanpc} ἐγώ$^{rpg-p}$. **v.14** οὐδείς^{rinms} κτίζω^{viap3s} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} τοιοῦτος^{adnmsn} οἷος^{rrnmsn} Ενωχ^{nnmsp} καί^{cc} γάρ^{cc} αὐτός^{rpnms} ἀναλαμβάνω^{viap3s} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.15** οὐδέ^{cc} ὡς^{cs} Ἰωσήφ^{nnmsp} γεννάω^{viap3s} ἀνήρ^{nnmsc} ἡγέομαι^{vppmnms} ἀδελφός^{ngmpc} στήριγμα^{nnnsc} λαός^{ngmsc} καί^{cc} ὁ^{dnnp} ὀστέον^{nnnpc} αὐτός^{rpgms} ἐπισκέπτομαι^{viap3p}. **v.16** Σήμ^{nnmsp} καί^{cc} Σήθ^{nnmsp} ἐν^{pd} ἄνθρωπος^{ndmpc} δοξάζω^{viap3p} καί^{cc} ὑπέρ^{pa} πᾶς^{aiansn} ζῷον^{nansc} ἐν^{pd} ὁ^{ddfs} κτίσις^{ndfsc} Ἀδάμ^{ngmsp}.
50. v.1 Σίμων^{nnmsp} Ὀνείας^{ngmsp} υἱός^{nnmsc} ἱερεύς^{nnmsc} ὁ^{dnms} μέγας^{annmsn} ὅς^{rrnms} ἐν^{pd} ζωή^{ndfsc} αὐτός^{rpgms} ὑπορράπτω^{viaa3s} οἶκος^{namsc} καί^{cc} ἐν^{pd} ἡμέρα^{ndfpc} αὐτός^{rpgms} στερεόω^{viaa3s} ναός^{namsc}. **v.2** καί^{cc} ὑπό^{pg} αὐτός^{rpgms} θεμελιόω^{viap3s} ὕψος^{nnnsc} διπλοῦς^{angfsn} ἀνάλημμα^{nnnsc} ὑψηλός^{annnsn} περίβολος^{ngmsc} ἱερός^{ngnsc}. **v.3** ἐν^{pd} ἡμέρα^{ndfpc} αὐτός^{rpgms} λατομέω^{viap3s} ἀποδοχεῖον^{nnnsc} ὕδωρ^{ngnpc} λάκκος^{nnmsc} ὡσεί^{x} θάλασσα^{ngfsc} ὁ^{dnns} περίμετρον^{nnnsc}. **v.4** ὁ^{dnms} φροντίζω^{vppanms} ὁ^{dgms} λαός^{ngmsc} αὐτός^{rpgms} ἀπό^{pg} πτῶσις^{ngfsc} καί^{cc} ἐνισχύω^{vpaanms} πόλις^{nafsc} ἐν^{pd} πολιορκήσις^{ndfsc}.

6 φῇ λαοῦ ἐν ἐξόδῳ οἴκου καταπετάσματος. ὡς ἀστὴρ ἑωθινὸς ἐν
7 μέσῳ νεφελῶν ὡς σελήνη πλήρης ἐν ἡμέραις. ὡς ἥλιος ἐκλάμ-
πων ἐπὶ ναὸν ὑψίστου καὶ ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης.
8 ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων ὡς κρίνα ἐπ᾽ ἐξόδῳ ὕδατος ὡς
9 βλαστὸς Λιβάνου ἐν ἡμέραις θέρους. ὡς πῦρ καὶ λίβανος ἐπὶ
πυρείου ὡς σκεῦος χρυσίου ὁλοσφύρητον κεκοσμημένον παντὶ
10 λίθῳ πολυτελεῖ. ὡς ἐλαία ἀναθάλλουσα καρποὺς καὶ ὡς κυπά-
11 ρισσος ὑψουμένη ἐν νεφέλαις. ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν
δόξης καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυχήματος ἐν ἀνα-
12 βάσει θυσιαστηρίου ἁγίου ἐδόξασεν περιβολὴν ἁγιάσματος. ἐν
δὲ τῷ δέχεσθαι μέλη ἐκ χειρῶν ἱερέων καὶ αὐτὸς ἑστὼς παρ᾽ ἐ-
σχάρᾳ βωμοῦ κυκλόθεν αὐτοῦ στέφανος ἀδελφῶν ὡς βλάστημα
κέδρων ἐν τῷ Λιβάνῳ καὶ ἐκύκλωσαν αὐτὸν ὡς στελέχη φοινί-
13 κων. καὶ πάντες οἱ υἱοὶ Ααρων ἐν δόξῃ αὐτῶν καὶ προσφορὰ
14 κυρίου ἐν χερσὶν αὐτῶν ἔναντι πάσης ἐκκλησίας Ισραηλ. καὶ
συντέλειαν λειτουργῶν ἐπὶ βωμῶν κοσμῆσαι προσφορὰν ὑψίστου
15 παντοκράτορος. ἐξέτεινεν ἐπὶ σπονδείου χεῖρα αὐτοῦ καὶ ἔσπει-
σεν ἐξ αἵματος σταφυλῆς ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου ὀσμὴν
16 εὐωδίας ὑψίστῳ παμβασιλεῖ. τότε ἀνέκραγον οἱ υἱοὶ Ααρων ἐν
σάλπιγξιν ἐλαταῖς ἤχησαν ἀκουστὴν ἐποίησαν φωνὴν μεγάλην
17 εἰς μνημόσυνον ἔναντι ὑψίστου. τότε πᾶς ὁ λαὸς κοινῇ κατέ-

---

v.5 ὡς^{cs} δοξάζω^{viap3s} ἐν^{pd} περιστροφή^{ndfsc} λαός^{ngmsc} ἐν^{pd} ἔξοδος^{ndfsc} οἶκος^{ngmsc} καταπέτασμα^{ngnsc}. **v.6** ὡς^{cs} ἀστήρ^{nnmsc} ἑωθινός^{annmsn} ἐν^{pd} μέσος^{andnsn} νεφέλη^{ngfpc} ὡς^{cs} σελήνη^{nnfsc} πλήρης^{annfsn} ἐν^{pd} ἡμέρα^{ndfpc}. **v.7** ὡς^{cs} ἥλιος^{nnmsc} ἐκλάμπω^{vppanms} ἐπί^{pa} ναός^{namsc} ὕψιστος^{angmsn} καί^{cc} ὡς^{cs} τόξον^{nnnsc} φωτίζω^{vppanns} ἐν^{pd} νεφέλη^{ndfpc} δόξα^{ngfsc}. **v.8** ὡς^{cs} ἄνθος^{nnnsc} ῥόδον^{ngnpc} ἐν^{pd} ἡμέρα^{ndfpc} νέος^{angmpn} ὡς^{cs} κρίνον^{nnnpc} ἐπί^{pd} ἔξοδος^{ndfsc} ὕδωρ^{ngnsc} ὡς^{cs} βλαστός^{nnmsc} Λίβανος^{ngmsp} ἐν^{pd} ἡμέρα^{ndfpc} θέρος^{ngnsc}. **v.9** ὡς^{cs} πῦρ^{nnnsc} καί^{cc} λίβανος^{nnmsc} ἐπί^{pg} πυρεῖον^{ngnsc} ὡς^{cs} σκεῦος^{nnnsc} χρυσίον^{ngnsc} ὁλοσφύρητος^{annnsn} κοσμέω^{vpxpnns} πᾶς^{aidmsn} λίθος^{ndmsc} πολυτελής^{andmsn}. **v.10** ὡς^{cs} ἐλαία^{nnfsc} ἀναθάλλω^{vppanfs} καρπός^{nampc} καί^{cc} ὡς^{cs} κυπάρισσος^{nnfsc} ὑψόω^{vpppnfs} ἐν^{pd} νεφέλη^{ndfpc}. **v.11** ἐν^{pd} ὁ^{ddns} ἀναλαμβάνω^{vnpa} αὐτός^{rpams} στολή^{nafsc} δόξα^{ngfsc} καί^{cc} ἐνδιδύσκω^{vnpm} αὐτός^{rpams} συντέλεια^{nafsc} καύχημα^{ngnsc} ἐν^{pd} ἀνάβασις^{ndfsc} θυσιαστήριον^{ngnsc} ἅγιος^{angnsn} δοξάζω^{viaa3s} περιβολή^{nafsc} ἁγίασμα^{ngnsc}. **v.12** ἐν^{pd} δέ^{cc} ὁ^{ddns} δέχομαι^{vnpm} μέλος^{nanpc} ἐκ^{pg} χείρ^{ngfpc} ἱερεύς^{ngmpc} καί^{cc} αὐτός^{rpnms} ἵστημι^{vpxanms} παρά^{pd} ἐσχάρα^{ndfsc} βωμός^{ngmsc} κυκλόθεν^{pg} αὐτός^{rpgms} στέφανος^{nnmsc} ἀδελφός^{ngmpc} ὡς^{cs} βλάστημα^{nnnsc} κέδρος^{ngfpc} ἐν^{pd} ὁ^{ddms} Λίβανος^{ndmsp} καί^{cc} κυκλόω^{viaa3p} αὐτός^{rpams} ὡς^{cs} στέλεχος^{nnnpc} φοῖνιξ^{ngmpc}. **v.13** καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} υἱός^{nnmpc} Ἀαρών^{ngmsp} ἐν^{pd} δόξα^{ndfsc} αὐτός^{rpgmp} καί^{cc} προσφορά^{nnfsc} κύριος^{ngmsc} ἐν^{pd} χείρ^{ndfpc} αὐτός^{rpgmp} ἔναντι^{pg} πᾶς^{aigfsn} ἐκκλησία^{ngfsc} Ἰσραήλ^{ngmsp}. **v.14** καί^{cc} συντέλεια^{nafsc} λειτουργός^{vppanms} ἐπί^{pg} βωμός^{ngmpc} κοσμέω^{vnaa} προσφορά^{nafsc} ὕψιστος^{angmsn} παντοκράτωρ^{ngmsc}. **v.15** ἐκτείνω^{viaa3s} ἐπί^{pg} σπονδεῖον^{ngnsc} χείρ^{nafsc} αὐτός^{rpgms} καί^{cc} σπένδω^{viaa3s} ἐκ^{pg} αἷμα^{ngnsc} σταφυλή^{ngfsc} ἐκχέω^{viaa3s} εἰς^{pa} θεμέλιον^{nanpc} θυσιαστήριον^{ngnsc} ὀσμή^{nafsc} εὐωδία^{ngfsc} ὕψιστος^{andmsn} παμβασιλεύς^{ndmsc}. **v.16** τότε^{b} ἀνακράζω^{viaa3p} ὁ^{dnmp} υἱός^{nnmpc} Ἀαρών^{ngmsp} ἐν^{pd} σάλπιγξ^{ndfpc} ἐλατός^{andfpn} ἠχέω^{viaa3p} ἀκουστός^{anafsn} ποιέω^{viaa3p} φωνή^{nafsc} μέγας^{anafsn} εἰς^{pa} μνημόσυνον^{nansc} ἔναντι^{pg} ὕψιστος^{angmsn}.

σπευσαν καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν προσκυνῆσαι τῷ κυρίῳ αὐτῶν παντοκράτορι θεῷ ὑψίστῳ. καὶ ᾄνεσαν οἱ ψαλτῳδοὶ 18
ἐν φωναῖς αὐτῶν ἐν πλείστῳ ἤχῳ ἐγλυκάνθη μέλος. καὶ ἐδεήθη ὁ 19
λαὸς κυρίου ὑψίστου ἐν προσευχῇ κατέναντι ἐλεήμονος ἕως συντελεσθῇ κόσμος κυρίου καὶ τὴν λειτουργίαν αὐτοῦ ἐτελείωσαν.
τότε καταβὰς ἐπῆρεν χεῖρας αὐτοῦ ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν Ισ- 20
ραηλ δοῦναι εὐλογίαν κυρίου ἐκ χειλέων αὐτοῦ καὶ ἐν ὀνόματι αὐτοῦ καυχήσασθαι. καὶ ἐδευτέρωσαν ἐν προσκυνήσει ἐπιδέξα- 21
σθαι τὴν εὐλογίαν παρὰ ὑψίστου. καὶ νῦν εὐλογήσατε τὸν θεὸν 22
πάντων τὸν μεγάλα ποιοῦντα πάντῃ τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας καὶ ποιοῦντα μεθ᾽ ἡμῶν κατὰ τὸ ἔλεος αὐτοῦ. δῴη 23
ἡμῖν εὐφροσύνην καρδίας καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν ἐν Ισραηλ κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος. ἐμπιστεύσαι μεθ᾽ ἡμῶν 24
τὸ ἔλεος αὐτοῦ καὶ ἐν ταῖς ἡμέραις ἡμῶν λυτρωσάσθω ἡμᾶς. ἐν 25
δυσὶν ἔθνεσιν προσώχθισεν ἡ ψυχή μου καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος. οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας καὶ Φυλιστιιμ καὶ ὁ λαὸς 26
ὁ μωρὸς ὁ κατοικῶν ἐν Σικιμοις. παιδείαν συνέσεως καὶ ἐπιστή- 27
μης ἐχάραξεν ἐν τῷ βιβλίῳ τούτῳ Ἰησοῦς υἱὸς Σιραχ Ελεαζαρ ὁ Ιεροσολυμίτης ὃς ἀνώμβρησεν σοφίαν ἀπὸ καρδίας αὐτοῦ. μα- 28
κάριος ὃς ἐν τούτοις ἀναστραφήσεται καὶ θεὶς αὐτὰ ἐπὶ καρδίαν αὐτοῦ σοφισθήσεται. ἐὰν γὰρ αὐτὰ ποιήσῃ πρὸς πάντα ἰσχύσει 29

---

v.17 τότε^{b} πᾶς^{ainmsn} ὁ^{dnms} λαός^{nnmsc} κοινός^{andfsn} κατασπεύδω^{viaa3p} καί^{cc} πίπτω^{viaa3p} ἐπί^{pa} πρόσωπον^{nansc} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} προσκυνέω^{vnaa} ὁ^{ddms} κύριος^{ndmsc} αὐτός^{rpgmp} παντοκράτωρ^{ndmsc} θεός^{ndmsc} ὕψιστος^{andmsn}. **v.18** καί^{cc} αἰνέω^{viaa3p} ὁ^{dnmp} ψαλτῳδός^{nnmpc} ἐν^{pd} φωνή^{ndfpc} αὐτός^{rpgmp} ἐν^{pd} πολύς^{andmss} ἦχος^{ndmsc} γλυκαίνω^{viap3s} μέλος^{nnnsc}. **v.19** καί^{cc} δέομαι^{viap3s} ὁ^{dnms} λαός^{nnmsc} κύριος^{ngmsc} ὕψιστος^{angmsn} ἐν^{pd} προσευχή^{ndfsc} κατέναντι^{pg} ἐλεήμων^{angmsn} ἕως^{cs} συντελέω^{vsap3s} κόσμος^{nnmsc} κύριος^{ngmsc} καί^{cc} ὁ^{dafs} λειτουργία^{nafsc} αὐτός^{rpgms} τελειόω^{viaa3p}. **v.20** τότε^{b} καταβαίνω^{vpaanms} ἐπαίρω^{viaa3s} χείρ^{nafpc} αὐτός^{rpgms} ἐπί^{pa} πᾶς^{aiafsn} ἐκκλησία^{nafsc} υἱός^{ngmpc} Ἰσραήλ^{ngmsp} δίδωμι^{vnaa} εὐλογία^{nafsc} κύριος^{ngmsc} ἐκ^{pg} χεῖλος^{ngnpc} αὐτός^{rpgms} καί^{cc} ἐν^{pd} ὄνομα^{ndnsc} αὐτός^{rpgms} καυχάομαι^{vnam}. **v.21** καί^{cc} δευτερόω^{viaa3p} ἐν^{pd} προσκύνησις^{ndfsc} ἐπιδέχομαι^{vnam} ὁ^{dafs} εὐλογία^{nafsc} παρά^{pg} ὕψιστος^{angmsn}. **v.22** καί^{cc} νῦν^{b} εὐλογέω^{vdaa2p} ὁ^{dams} θεός^{namsc} πᾶς^{aigmpn} ὁ^{dams} μέγας^{ananpn} ποιέω^{vppaams} πάντῃ^{b} ὁ^{dams} ὑψόω^{vppaams} ἡμέρα^{nafpc} ἐγώ$^{rpg-p}$ ἐκ^{pg} μήτρα^{ngfsc} καί^{cc} ποιέω^{vppaams} μετά^{pg} ἐγώ$^{rpg-p}$ κατά^{pa} ὁ^{dans} ἔλεος^{nansc} αὐτός^{rpgms}. **v.23** δίδωμι^{voaa3s} ἐγώ$^{rpd-p}$ εὐφροσύνη^{nafsc} καρδία^{ngfsc} καί^{cc} γίνομαι^{vnam} εἰρήνη^{nafsc} ἐν^{pd} ἡμέρα^{ndfpc} ἐγώ$^{rpg-p}$ ἐν^{pd} Ἰσραήλ^{ndmsp} κατά^{pa} ὁ^{dafp} ἡμέρα^{nafpc} ὁ^{dgms} αἰών^{ngmsc}. **v.24** ἐμπιστεύω^{voaa3s} μετά^{pg} ἐγώ$^{rpg-p}$ ὁ^{dans} ἔλεος^{nansc} αὐτός^{rpgms} καί^{cc} ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} ἐγώ$^{rpg-p}$ λυτρόω^{vdam3s} ἐγώ$^{rpa-p}$. **v.25** ἐν^{pd} δύο^{acdnpn} ἔθνος^{ndnpc} προσοχθίζω^{viaa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnns} τρίτος^{aonnsn} οὐ^{b} εἰμί^{vipa3s} ἔθνος^{nnnsc}. **v.26** ὁ^{dnmp} κάθημαι^{vppmnmp} ἐν^{pd} ὄρος^{ndnsc} Σαμάρεια^{ngfsp} καί^{cc} Φυλιστιιμ^{nnmpp} καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} ὁ^{dnms} μωρός^{annmsn} ὁ^{dnms} κατοικέω^{vppanms} ἐν^{pd} Σικιμα^{ndnpp}. **v.27** παιδεία^{nafsc} σύνεσις^{ngfsc} καί^{cc} ἐπιστήμη^{ngfsc} χαράσσω^{viaa3s} ἐν^{pd} ὁ^{ddns} βιβλίον^{ndnsc} οὗτος^{rddns} Ἰησοῦς^{nnmsp} υἱός^{nnmsc} Σιραχ^{ngmsp} Ἐλεάζαρ^{ngmsp} ὁ^{dnms} Ιεροσολυμίτης^{nnmsp} ὅς^{rrnms} ἀνομβρέω^{viaa3s} σοφία^{nafsc} ἀπό^{pg} καρδία^{ngfsc} αὐτός^{rpgms}. **v.28** μακάριος^{annmsn} ὅς^{rrnms} ἐν^{pd} οὗτος^{rddnp} ἀναστρέφω^{vifp3s} καί^{cc} τίθημι^{vpaanms} αὐτός^{rpanp} ἐπί^{pa} καρδία^{nafsc} αὐτός^{rpgms} σοφίζω^{vifp3s}.

ὅτι φῶς κυρίου τὸ ἴχνος αὐτοῦ.

51 ἐξομολογήσομαί σοι κύριε βασιλεῦ καὶ αἰνέσω σε θεὸν τὸν
2 σωτῆρά μου ἐξομολογοῦμαι τῷ ὀνόματί σου. ὅτι σκεπαστὴς καὶ
βοηθὸς ἐγένου μοι καὶ ἐλυτρώσω τὸ σῶμά μου ἐξ ἀπωλείας καὶ
ἐκ παγίδος διαβολῆς γλώσσης ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος
καὶ ἔναντι τῶν παρεστηκότων ἐγένου βοηθὸς καὶ ἐλυτρώσω με.
3 κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός σου ἐκ βρυγμῶν ἑτοιμον εἰς
βρῶμα ἐκ χειρὸς ζητούντων τὴν ψυχήν μου ἐκ πλειόνων θλίψεων
4 ὧν ἔσχον. ἀπὸ πνιγμοῦ πυρᾶς κυκλόθεν καὶ ἐκ μέσου πυρός οὗ
5 οὐκ ἐξέκαυσα. ἐκ βάθους κοιλίας ᾅδου καὶ ἀπὸ γλώσσης ἀκα-
6 θάρτου καὶ λόγου ψευδοῦς. βασιλεῖ διαβολὴ γλώσσης ἀδίκου
ἤγγισεν ἕως θανάτου ἡ ψυχή μου καὶ ἡ ζωή μου ἦν σύνεγγυς
7 ᾅδου κάτω. περιέσχον με πάντοθεν καὶ οὐκ ἦν ὁ βοηθῶν ἐνέ-
8 βλεπον εἰς ἀντίλημψιν ἀνθρώπων καὶ οὐκ ἦν. καὶ ἐμνήσθην τοῦ
ἐλέους σου κύριε καὶ τῆς ἐργασίας σου τῆς ἀπ' αἰῶνος ὅτι ἐξαιρῇ
9 τοὺς ὑπομένοντάς σε καὶ σῴζεις αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν. καὶ ἀ-
νύψωσα ἀπὸ γῆς ἱκετείαν μου καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην.
10 ἐπεκαλεσάμην κύριον πατέρα κυρίου μου μή με ἐγκαταλιπεῖν ἐν
ἡμέραις θλίψεως ἐν καιρῷ ὑπερηφανιῶν ἀβοηθησίας αἰνέσω τὸ
11 ὄνομά σου ἐνδελεχῶς καὶ ὑμνήσω ἐν ἐξομολογήσει. καὶ εἰση-
κούσθη ἡ δέησίς μου ἔσωσας γάρ με ἐξ ἀπωλείας καὶ ἐξείλου με

---

v.29 ἐάν^{cs} γάρ^{cc} αὐτός^{rpanp} ποιέω^{vsaa3s} πρός^{pa} πᾶς^{aianpn} ἰσχύω^{vifa3s} ὅτι^{cs} φῶς^{nnnsc} κύριος^{ngmsc} ὁ^{dnns} ἴχνος^{nnnsc} αὐτός^{rpgms}. **51. v.1** ἐξομολογέω^{vifm1s} σύ$^{rpd-s}$ κύριος^{nvmsc} βασιλεύς^{nvmsc} καί^{cc} αἰνέω^{vifa1s} σύ$^{rpa-s}$ θεός^{namsc} ὁ^{dams} σωτήρ^{namsc} ἐγώ$^{rpg-s}$ ἐξομολογέω^{vipm1s} ὁ^{ddns} ὄνομα^{ndnsc} σύ$^{rpg-s}$. **v.2** ὅτι^{cs} σκεπαστής^{nnmsc} καί^{cc} βοηθός^{nnmsc} γίνομαι^{viam2s} ἐγώ$^{rpd-s}$ καί^{cc} λυτρόω^{viam2s} ὁ^{dans} σῶμα^{nansc} ἐγώ$^{rpg-s}$ ἐκ^{pg} ἀπώλεια^{ngfsc} καί^{cc} ἐκ^{pg} παγίς^{ngfsc} διαβολή^{ngfsc} γλῶσσα^{ngfsc} ἀπό^{pg} χεῖλος^{ngnpc} ἐργάζομαι^{vppmgnp} ψεῦδος^{nansc} καί^{cc} ἔναντι^{pg} ὁ^{dgmp} παρίστημι^{vpxagmp} γίνομαι^{viam2s} βοηθός^{nnmsc} καί^{cc} λυτρόω^{viam2s} ἐγώ$^{rpa-s}$. **v.3** κατά^{pa} ὁ^{dans} πλῆθος^{nansc} ἔλεος^{ngnsc} καί^{cc} ὄνομα^{ngnsc} σύ$^{rpg-s}$ ἐκ^{pg} βρυγμός^{ngmpc} ἕτοιμος^{anamsn} εἰς^{pa} βρῶμα^{nansc} ἐκ^{pg} χείρ^{ngfsc} ζητέω^{vppagmp} ὁ^{dafs} ψυχή^{nafsc} ἐγώ$^{rpg-s}$ ἐκ^{pg} πολύς^{angfpc} θλῖψις^{ngfpc} ὅς^{rrgfp} ἔχω^{viaa1s}. **v.4** ἀπό^{pg} πνιγμός^{ngmsc} πυρά^{ngfsc} κυκλόθεν^{b} καί^{cc} ἐκ^{pg} μέσος^{angnsn} πῦρ^{ngnsc} ὅς^{rrgns} οὐ^{b} ἐκκαίω^{viaa1s}. **v.5** ἐκ^{pg} βάθος^{ngnsc} κοιλία^{ngfsc} ᾅδης^{ngmsc} καί^{cc} ἀπό^{pg} γλῶσσα^{ngfsc} ἀκάθαρτος^{angfsn} καί^{cc} λόγος^{ngmsc} ψευδής^{angmsn}. **v.6** βασιλεύς^{ndmsc} διαβολή^{nnfsc} γλῶσσα^{ngfsc} ἄδικος^{angfsn} ἐγγίζω^{viaa3s} ἕως^{pg} θάνατος^{ngmsc} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnfs} ζωή^{nnfsc} ἐγώ$^{rpg-s}$ εἰμί^{viia3s} σύνεγγυς^{pg} ᾅδης^{ngmsc} κάτω^{b}. **v.7** περιέχω^{viaa3p} ἐγώ$^{rpa-s}$ πάντοθεν^{b} καί^{cc} οὐ^{b} εἰμί^{viia3s} ὁ^{dnms} βοηθέω^{vppanms} ἐμβλέπω^{viia1s} εἰς^{pa} ἀντίλημψις^{nafsc} ἄνθρωπος^{ngmpc} καί^{cc} οὐ^{b} εἰμί^{viia3s}. **v.8** καί^{cc} μιμνήσκομαι^{viap1s} ὁ^{dgns} ἔλεος^{ngnsc} σύ$^{rpg-s}$ κύριος^{nvmsc} καί^{cc} ὁ^{dgfs} ἐργασία^{ngfsc} σύ$^{rpg-s}$ ὁ^{dgfs} ἀπό^{pg} αἰών^{ngmsc} ὅτι^{cs} ἐξαίρω^{vipm2s} ὁ^{damp} ὑπομένω^{vppaamp} σύ$^{rpa-s}$ καί^{cc} σῴζω^{vipa2s} αὐτός^{rpamp} ἐκ^{pg} χείρ^{ngfsc} ἐχθρός^{angmpn}. **v.9** καί^{cc} ἀνυψόω^{viaa1s} ἀπό^{pg} γῆ^{ngfsc} ἱκετεία^{nafsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὑπέρ^{pg} θάνατος^{ngmsc} ῥύσις^{ngfsc} δέομαι^{viap1s}. **v.10** ἐπικαλέω^{viam1s} κύριος^{namsc} πατήρ^{namsc} κύριος^{ngmsc} ἐγώ$^{rpg-s}$ μή^{x} ἐγώ$^{rpa-s}$ ἐγκαταλείπω^{vnaa} ἐν^{pd} ἡμέρα^{ndfpc} θλῖψις^{ngfsc} ἐν^{pd} καιρός^{ndmsc} ὑπερηφανία^{ngfpc} ἀβοηθησία^{ngfsc} αἰνέω^{vifa1s} ὁ^{dans} ὄνομα^{nansc} σύ$^{rpg-s}$ ἐνδελεχῶς^{b} καί^{cc} ὑμνέω^{vifa1s} ἐν^{pd} ἐξομολόγησις^{ndfsc}.

ἐκ καιροῦ πονηροῦ. διὰ τοῦτο ἐξομολογήσομαί σοι καὶ αἰνέσω 12
σε καὶ εὐλογήσω τῷ ὀνόματι κυρίου. ἔτι ὢν νεώτερος πρὶν ἢ 13
πλανηθῆναί με ἐζήτησα σοφίαν προφανῶς ἐν προσευχῇ μου. ἔ- 14
ναντι ναοῦ ἠξίουν περὶ αὐτῆς καὶ ἕως ἐσχάτων ἐκζητήσω αὐτήν.
ἐξ ἄνθους ὡς περκαζούσης σταφυλῆς εὐφράνθη ἡ καρδία μου 15
ἐν αὐτῇ ἐπέβη ὁ πούς μου ἐν εὐθύτητι ἐκ νεότητός μου ἴχνευον
αὐτήν. ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξάμην καὶ πολλὴν εὗ- 16
ρον ἐμαυτῷ παιδείαν. προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ τῷ διδόντι 17
μοι σοφίαν δώσω δόξαν. διενοήθην γὰρ τοῦ ποιῆσαι αὐτὴν καὶ 18
ἐζήλωσα τὸ ἀγαθὸν καὶ οὐ μὴ αἰσχυνθῶ. διαμεμάχισται ἡ ψυχή 19
μου ἐν αὐτῇ καὶ ἐν ποιήσει νόμου διηκριβασάμην τὰς χεῖράς μου
ἐξεπέτασα πρὸς ὕψος καὶ τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα. τὴν 20
ψυχήν μου κατεύθυνα εἰς αὐτὴν καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν
καρδίαν ἐκτησάμην μετ᾽ αὐτῆς ἀπ᾽ ἀρχῆς διὰ τοῦτο οὐ μὴ ἐγ-
καταλειφθῶ. καὶ ἡ κοιλία μου ἐταράχθη τοῦ ἐκζητῆσαι αὐτήν 21
διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα. ἔδωκεν κύριος γλῶσσάν 22
μοι μισθόν μου καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν. ἐγγίσατε πρός με 23
ἀπαίδευτοι καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας. τί ὅτι ὑστερεῖσθαι 24
λέγετε ἐν τούτοις καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσι σφόδρα. ἤνοιξα τὸ 25
στόμα μου καὶ ἐλάλησα κτήσασθε ἑαυτοῖς ἄνευ ἀργυρίου. τὸν 26

---

v.11 καί[cc] εἰσακούω[viap3s] ὁ[dnfs] δέησις[nnfsc] ἐγώ[rpg-s] σῴζω[viaa2s] γάρ[cc] ἐγώ[rpa-s] ἐκ[pg] ἀπώλεια[ngfsc] καί[cc] ἐξελέω[vdpm2s] ἐγώ[rpa-s] ἐκ[pg] καιρός[ngmsc] πονηρός[angmsn]. **v.12** διά[pa] οὗτος[rdans] ἐξομολογέω[vifm1s] σύ[rpd-s] καί[cc] αἰνέω[vifa1s] σύ[rpa-s] καί[cc] εὐλογέω[vifa1s] ὁ[ddns] ὄνομα[ndnsc] κύριος[ngmsc]. **v.13** ἔτι[b] εἰμί[vppanms] νέος[annmsc] πρίν[cs] ἤ[cc] πλανάω[vnap] ἐγώ[rpa-s] ζητέω[viaa1s] σοφία[nafsc] προφανῶς[b] ἐν[pd] προσευχή[ndfsc] ἐγώ[rpg-s]. **v.14** ἔναντι[pg] ναός[ngmsc] ἀξιόω[viia1s] περί[pg] αὐτός[rpgfs] καί[cc] ἕως[pg] ἔσχατος[angnpn] ἐκζητέω[vifa1s] αὐτός[rpafs]. **v.15** ἐκ[pg] ἄνθος[ngnsc] ὡς[cs] περκάζω[vppagfs] σταφυλή[ngfsc] εὐφραίνω[viap3s] ὁ[dnfs] καρδία[nnfsc] ἐγώ[rpg-s] ἐν[pd] αὐτός[rpdfs] ἐπιβαίνω[viaa3s] ὁ[dnms] πούς[nnmsc] ἐγώ[rpg-s] ἐν[pd] εὐθύτης[ndfsc] ἐκ[pg] νεότης[ngfsc] ἐγώ[rpg-s] ἰχνεύω[viaa1s] αὐτός[rpafs]. **v.16** κλίνω[viaa1s] ὀλίγος[anansn] ὁ[dans] οὖς[nansc] ἐγώ[rpg-s] καί[cc] δέχομαι[viam1s] καί[cc] πολύς[anafsn] εὑρίσκω[viaa1s] ἐμαυτοῦ[rxdms] παιδεία[nafsc]. **v.17** προκοπή[nnfsc] γίνομαι[viam3s] ἐγώ[rpd-s] ἐν[pd] αὐτός[rpdfs] ὁ[ddms] δίδωμι[vppadms] ἐγώ[rpd-s] σοφία[nafsc] δίδωμι[vifa1s] δόξα[nafsc]. **v.18** διανοέομαι[viap1s] γάρ[cc] ὁ[dgns] ποιέω[vnaa] αὐτός[rpafs] καί[cc] ζηλόω[viaa1s] ὁ[dans] ἀγαθός[anansn] καί[cc] οὐ[b] μή[x] αἰσχύνω[vsap1s]. **v.19** διαμαχίζομαι[vixm3s] ὁ[dnfs] ψυχή[nnfsc] ἐγώ[rpg-s] ἐν[pd] αὐτός[rpdfs] καί[cc] ἐν[pd] ποίησις[ndfsc] νόμος[ngmsc] διακριβόω[viam1s] ὁ[dafp] χείρ[nafpc] ἐγώ[rpg-s] ἐκπετάννυμι[viaa1s] πρός[pa] ὕψος[nansc] καί[cc] ὁ[danp] ἄγνόημα[nanpc] αὐτός[rpgfs] πενθέω[viaa1s]. **v.20** ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] κατευθύνω[viaa1s] εἰς[pa] αὐτός[rpafs] καί[cc] ἐν[pd] καθαρισμός[ndmsc] εὑρίσκω[viaa1s] αὐτός[rpafs] καρδία[nafsc] κτάομαι[viam1s] μετά[pg] αὐτός[rpgfs] ἀπό[pg] ἀρχή[ngfsc] διά[pa] οὗτος[rdans] οὐ[b] μή[x] ἐγκαταλείπω[vsap1s]. **v.21** καί[cc] ὁ[dnfs] κοιλία[nnfsc] ἐγώ[rpg-s] ταράσσω[viap3s] ὁ[dgns] ἐκζητέω[vnaa] αὐτός[rpafs] διά[pa] οὗτος[rdans] κτάομαι[viam1s] ἀγαθός[anansn] κτῆμα[nansc]. **v.22** δίδωμι[viaa3s] κύριος[nnmsc] γλῶσσα[nafsc] ἐγώ[rpd-s] μισθός[namsc] ἐγώ[rpg-s] καί[cc] ἐν[pd] αὐτός[rpdfs] αἰνέω[vifa1s] αὐτός[rpams]. **v.23** ἐγγίζω[vdaa2p] πρός[pa] ἐγώ[rpa-s] ἀπαίδευτος[anvmpn] καί[cc] αὐλίζομαι[vdap2p] ἐν[pd] οἶκος[ndmsc] παιδεία[ngfsc]. **v.24** τίς[rqnns] ὅτι[cs] ὑστερέω[vnpm] λέγω[vipa2p] ἐν[pd] οὗτος[rddnp] καί[cc] ὁ[dnfp] ψυχή[nnfpc] σύ[rpg-p] διψάω[vipa3p] σφόδρα[b]. **v.25** ἀνοίγω[viaa1s] ὁ[dans] στόμα[nansc] ἐγώ[rpg-s] καί[cc] λαλέω[viaa1s] κτάομαι[vdam2p] ἑαυτοῦ[rxdmp] ἄνευ[pg] ἀργύριον[ngnsc].

τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ ζυγόν καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν
27 παιδείαν ἐγγύς ἐστιν εὑρεῖν αὐτήν. ἴδετε ἐν ὀφθαλμοῖς ὑμῶν
28 ὅτι ὀλίγον ἐκοπίασα καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν. με-
τάσχετε παιδείας ἐν πολλῷ ἀριθμῷ ἀργυρίου καὶ πολὺν χρυσὸν
29 κτήσασθε ἐν αὐτῇ. εὐφρανθείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ
30 καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐτοῦ. ἐργάζεσθε τὸ ἔργον ὑμῶν
πρὸ καιροῦ καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

v.26 ὁ^{dams} τράχηλος^{namsc} σύ$^{rpg\text{-}p}$ ὑποτίθημι^{vdaa2p} ὑπό^{pa} ζυγός^{namsc} καί^{cc} ἐπιδέχομαι^{vdam3s} ὁ^{dnfs} ψυχή^{nnfsc} σύ$^{rpg\text{-}p}$ παιδεία^{nafsc} ἐγγύς^{b} εἰμί^{vipa3s} εὑρίσκω^{vnaa} αὐτός^{rpafs}. **v.27** ὁράω^{vdaa2p} ἐν^{pd} ὀφθαλμός^{ndmpc} σύ$^{rpg\text{-}p}$ ὅτι^{cs} ὀλίγος^{anansn} κοπιάω^{viaa1s} καί^{cc} εὑρίσκω^{viaa1s} ἐμαυτοῦ^{rxdms} πολύς^{anafsn} ἀνάπαυσις^{nafsc}. **v.28** μετέχω^{vdaa2p} παιδεία^{ngfsc} ἐν^{pd} πολύς^{andmsn} ἀριθμός^{ndmsc} ἀργύριον^{ngnsc} καί^{cc} πολύς^{anamsn} χρυσός^{namsc} κτάομαι^{vdam2p} ἐν^{pd} αὐτός^{rpdfs}. **v.29** εὐφραίνω^{voap3s} ὁ^{dnfs} ψυχή^{nnfsc} σύ$^{rpg\text{-}p}$ ἐν^{pd} ὁ^{ddns} ἔλεος^{ndnsc} αὐτός^{rpgms} καί^{cc} μή^{x} αἰσχύνω^{voap2p} ἐν^{pd} αἴνεσις^{ndfsc} αὐτός^{rpgms}. **v.30** ἐργάζομαι^{vdpm2p} ὁ^{dans} ἔργον^{nansc} σύ$^{rpg\text{-}p}$ πρό^{pg} καιρός^{ngmsc} καί^{cc} δίδωμι^{vifa3s} ὁ^{dams} μισθός^{namsc} σύ$^{rpg\text{-}p}$ ἐν^{pd} καιρός^{ndmsc} αὐτός^{rpgms}.

ΨΑΛΜΟΙ ΣΟΛΟΜΩΝΤΟΣ

ἐβόησα πρὸς κύριον ἐν τῷ θλίβεσθαί με εἰς τέλος πρὸς τὸν θεὸν **1**
ἐν τῷ ἐπιθέσθαι ἁμαρτωλούς. ἐξάπινα ἠκούσθη κραυγὴ πολέ- 2
μου ἐνώπιόν μου εἶπα ἐπακούσεταί μου ὅτι ἐπλήσθην δικαιοσύ-
νης. ἐλογισάμην ἐν καρδίᾳ μου ὅτι ἐπλήσθην δικαιοσύνης ἐν τῷ 3
εὐθηνῆσαί με καὶ πολλὴν γενέσθαι ἐν τέκνοις. ὁ πλοῦτος αὐτῶν 4
διεδόθη εἰς πᾶσαν τὴν γῆν καὶ ἡ δόξα αὐτῶν ἕως ἐσχάτου τῆς γῆς.
ὑψώθησαν ἕως τῶν ἄστρων εἶπαν οὐ μὴ πέσωσιν. καὶ ἐξύβρισαν 5, 6
ἐν τοῖς ἀγαθοῖς αὐτῶν καὶ οὐκ ἤνεγκαν. αἱ ἁμαρτίαι αὐτῶν ἐν 7
ἀποκρύφοις καὶ ἐγὼ οὐκ ᾔδειν. αἱ ἀνομίαι αὐτῶν ὑπὲρ τὰ πρὸ 8
αὐτῶν ἔθνη ἐβεβήλωσαν τὰ ἅγια κυρίου ἐν βεβηλώσει.

[ψαλμὸς τῷ Σαλωμων περὶ Ιερουσαλημ] ἐν τῷ ὑπερηφανεύε- **2**
σθαι τὸν ἁμαρτωλὸν ἐν κριῷ κατέβαλε τείχη ὀχυρά καὶ οὐκ ἐ-
κώλυσας. ἀνέβησαν ἐπὶ τὸ θυσιαστήριόν σου ἔθνη ἀλλότρια 2
κατεπατοῦσαν ἐν ὑποδήμασιν αὐτῶν ἐν ὑπερηφανίᾳ. ἀνθ' ὧν οἱ 3
υἱοὶ Ιερουσαλημ ἐμίαναν τὰ ἅγια κυρίου ἐβεβηλοῦσαν τὰ δῶρα
τοῦ θεοῦ ἐν ἀνομίαις. ἕνεκεν τούτων εἶπεν ἀπορρίψατε αὐτὰ 4
μακρὰν ἀπ' ἐμοῦ οὐκ εὐδοκῶ ἐν αὐτοῖς. τὸ κάλλος τῆς δόξης 5
αὐτῆς ἐξουθενώθη ἐνώπιον τοῦ θεοῦ ἠτιμώθη ἕως εἰς τέλος. οἱ 6

---

1. v.1 βοάω^{viaa1s} πρός^{pa} κύριος^{namsc} ἐν^{pd} ὁ^{ddns} θλίβω^{vnpm} ἐγώ$^{rpa\text{-}s}$ εἰς^{pa} τέλος^{nansc} πρός^{pa} ὁ^{dams} θεός^{namsc} ἐν^{pd} ὁ^{ddns} ἐπιτίθημι^{vnam} ἁμαρτωλός^{anampn}. **v.2** ἐξάπινα^{b} ἀκούω^{viap3s} κραυγή^{nnfsc} πόλεμος^{ngmsc} ἐνώπιον^{pg} ἐγώ$^{rpg\text{-}s}$ λέγω^{viaa1s} ἐπακούω^{vifm3s} ἐγώ$^{rpg\text{-}s}$ ὅτι^{cs} πίμπλημι^{viap1s} δικαιοσύνη^{ngfsc}. **v.3** λογίζομαι^{viam1s} ἐν^{pd} καρδία^{ndfsc} ἐγώ$^{rpg\text{-}s}$ ὅτι^{cs} πίμπλημι^{viap1s} δικαιοσύνη^{ngfsc} ἐν^{pd} ὁ^{ddns} εὐθηνέω^{vnaa} ἐγώ$^{rpa\text{-}s}$ καί^{cc} πολύς^{anafsn} γίνομαι^{vnam} ἐν^{pd} τέκνον^{ndnpc}. **v.4** ὁ^{dnms} πλοῦτος^{nnmsc} αὐτός^{rpgmp} διαδίδωμι^{viap3s} εἰς^{pa} πᾶς^{aiafsn} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} ὁ^{dnfs} δόξα^{nnfsc} αὐτός^{rpgmp} ἕως^{pg} ἔσχατος^{angnsn} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.5** ὑψόω^{viap3p} ἕως^{cs} ὁ^{dgnp} ἄστρον^{ngnpc} λέγω^{viaa3p} οὐ^{b} μή^{x} πίπτω^{vsaa3p}. **v.6** καί^{cc} ἐξυβρίζω^{viaa3p} ἐν^{pd} ὁ^{ddnp} ἀγαθός^{andnpn} αὐτός^{rpgmp} καί^{cc} οὐ^{b} φέρω^{viaa3p}. **v.7** ὁ^{dnfp} ἁμαρτία^{nnfpc} αὐτός^{rpgmp} ἐν^{pd} ἀπόκρυφος^{andnpn} καί^{cc} ἐγώ$^{rpn\text{-}s}$ οὐ^{b} οἶδα^{viya1s}. **v.8** ὁ^{dnfp} ἀνομία^{nnfpc} αὐτός^{rpgmp} ὑπέρ^{pa} ὁ^{danp} πρό^{pg} αὐτός^{rpgmp} ἔθνος^{nanpc} βεβηλόω^{viaa3p} ὁ^{danp} ἅγιος^{ananpn} κύριος^{ngmsc} ἐν^{pd} βεβήλωσις^{ndfsc}. **2. v.1** ψαλμός^{nnmsc} ὁ^{ddms} Σαλωμών^{ndmsp} περί^{pg} Ἰερουσαλήμ^{ngfsp} ἐν^{pd} ὁ^{ddns} ὑπερηφανεύω^{vnpm} ὁ^{dams} ἁμαρτωλός^{anamsn} ἐν^{pd} κριός^{ndmsc} καταβάλλω^{viaa3s} τεῖχος^{nanpc} ὀχυρός^{ananpn} καί^{cc} οὐ^{b} κωλύω^{viaa2s}. **v.2** ἀναβαίνω^{viaa3p} ἐπί^{pa} ὁ^{dans} θυσιαστήριον^{nansc} σύ$^{rpg\text{-}s}$ ἔθνος^{nnnpc} ἀλλότριος^{annnpn} καταπατέω^{viia3p} ἐν^{pd} ὑπόδημα^{ndnpc} αὐτός^{rpgmp} ἐν^{pd} ὑπερηφανία^{ndfsc}. **v.3** ἀντί^{pg} ὅς^{rrgnp} ὁ^{dnmp} υἱός^{nnmpc} Ἰερουσαλήμ^{ngfsp} μιαίνω^{viaa3p} ὁ^{danp} ἅγιος^{ananpn} κύριος^{ngmsc} βεβηλόω^{viia3p} ὁ^{danp} δῶρον^{nanpc} ὁ^{dgms} θεός^{ngmsc} ἐν^{pd} ἀνομία^{ndfpc}. **v.4** ἕνεκα^{pg} οὗτος^{rdgnp} λέγω^{viaa3s} ἀπορίπτω^{vdaa2p} αὐτός^{rpanp} μακράν^{b} ἀπό^{pg} ἐγώ$^{rpg\text{-}s}$ οὐ^{b} εὐδοκέω^{vipa1s} ἐν^{pd} αὐτός^{rpdnp}. **v.5** ὁ^{dnns} κάλλος^{nnnsc} ὁ^{dgfs} δόξα^{ngfsc} αὐτός^{rpgfs} ἐξουθενόω^{viap3s} ἐνώπιον^{pg} ὁ^{dgms} θεός^{ngmsc} ἀτιμόω^{viap3s} ἕως^{b} εἰς^{pa} τέλος^{nansc}.

υἱοὶ καὶ αἱ θυγατέρες ἐν αἰχμαλωσίᾳ πονηρᾷ ἐν σφραγῖδι ὁ τρά-
7 χηλος αὐτῶν ἐν ἐπισήμῳ ἐν τοῖς ἔθνεσιν. κατὰ τὰς ἁμαρτίας
αὐτῶν ἐποίησεν αὐτοῖς ὅτι ἐγκατέλιπεν αὐτοὺς εἰς χεῖρας κα-
8 τισχυόντων. ἀπέστρεψεν γὰρ τὸ πρόσωπον αὐτοῦ ἀπὸ ἐλέους
αὐτῶν νέον καὶ πρεσβύτην καὶ τέκνα αὐτῶν εἰς ἅπαξ ὅτι πονηρὰ
9 ἐποίησαν εἰς ἅπαξ τοῦ μὴ ἀκούειν. καὶ ὁ οὐρανὸς ἐβαρυθύμη-
σεν καὶ ἡ γῆ ἐβδελύξατο αὐτούς ὅτι οὐκ ἐποίησε πᾶς ἄνθρωπος
10 ἐπ᾽ αὐτῆς ὅσα ἐποίησαν. καὶ γνώσεται ἡ γῆ τὰ κρίματά σου
11 πάντα τὰ δίκαια ὁ θεός. ἔστησαν τοὺς υἱοὺς Ιερουσαλημ εἰς
ἐμπαιγμὸν ἀντὶ πορνῶν ἐν αὐτῇ πᾶς ὁ παραπορευόμενος εἰσε-
12 πορεύετο κατέναντι τοῦ ἡλίου. ἐνέπαιζον ταῖς ἀνομίαις αὐτῶν
καθὰ ἐποίουν αὐτοί ἀπέναντι τοῦ ἡλίου παρεδειγμάτισαν ἀδι-
13 κίας αὐτῶν. καὶ θυγατέρες Ιερουσαλημ βέβηλοι κατὰ τὸ κρίμα
14 σου ἀνθ᾽ ὧν αὐταὶ ἐμιαίωσαν αὐτὰς ἐν φυρμῷ ἀναμείξεως. τὴν
15 κοιλίαν μου καὶ τὰ σπλάγχνα μου πονῶ ἐπὶ τούτοις. ἐγὼ δι-
καιώσω σε ὁ θεός ἐν εὐθύτητι καρδίας ὅτι ἐν τοῖς κρίμασίν σου ἡ
16 δικαιοσύνη σου ὁ θεός. ὅτι ἀπέδωκας τοῖς ἁμαρτωλοῖς κατὰ τὰ
ἔργα αὐτῶν καὶ κατὰ τὰς ἁμαρτίας αὐτῶν τὰς πονηρὰς σφόδρα.
17 ἀνεκάλυψας τὰς ἁμαρτίας αὐτῶν ἵνα φανῇ τὸ κρίμα σου ἐξήλει-
18 ψας τὸ μνημόσυνον αὐτῶν ἀπὸ τῆς γῆς. ὁ θεὸς κριτὴς δίκαιος
19 καὶ οὐ θαυμάσει πρόσωπον. ὠνείδισαν γὰρ ἔθνη Ιερουσαλημ

---

v.6 ὁ^{dnmp} υἱός^{nnmpc} καί^{cc} ὁ^{dnfp} θυγάτηρ^{nnfpc} ἐν^{pd} αἰχμαλωσία^{ndfsc} πονηρός^{andfsn} ἐν^{pd} σφραγίς^{ndfsc} ὁ^{dnms} τράχηλος^{nnmsc} αὐτός^{rpgmp} ἐν^{pd} ἐπίσημος^{andnsn} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc}. **v.7** κατά^{pa} ὁ^{dafp} ἁμαρτία^{nafpc} αὐτός^{rpgmp} ποιέω^{viaa3s} αὐτός^{rpdmp} ὅτι^{cs} ἐγκαταλείπω^{viaa3s} αὐτός^{rpamp} εἰς^{pa} χείρ^{nafpc} κατισχύω^{vppagmp}. **v.8** ἀποστρέφω^{viaa3s} γάρ^{cc} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgms} ἀπό^{pg} ἔλεος^{ngnsc} αὐτός^{rpgmp} νέος^{anamsn} καί^{cc} πρεσβύτης^{namsc} καί^{cc} τέκνον^{nanpc} αὐτός^{rpgmp} εἰς^{pp} ἅπαξ^{b} ὅτι^{cs} πονηρός^{ananpn} ποιέω^{viaa3p} εἰς^{pp} ἅπαξ^{b} ὁ^{dgns} μή^{x} ἀκούω^{vnpa}. **v.9** καί^{cc} ὁ^{dnms} οὐρανός^{nnmsc} βαρυθυμέω^{viaa3s} καί^{cc} ὁ^{dnfs} γῆ^{nnfsc} βδελύσσω^{viam3s} αὐτός^{rpamp} ὅτι^{cs} οὐ^{b} ποιέω^{viaa3s} πᾶς^{ainmsn} ἄνθρωπος^{nnmsc} ἐπί^{pg} αὐτός^{rpgfs} ὅσος^{aranpn} ποιέω^{viaa3p}. **v.10** καί^{cc} γινώσκω^{vifm3s} ὁ^{dnfs} γῆ^{nnfsc} ὁ^{dnnp} κρίμα^{nnnpc} σύ$^{rpg-s}$ πᾶς^{ainmsn} ὁ^{dnnp} δίκαιος^{annnpn} ὁ^{dnms} θεός^{nnmsc}. **v.11** ἵστημι^{viaa3p} ὁ^{damp} υἱός^{nampc} Ἰερουσαλήμ^{ngfsp} εἰς^{pa} ἐμπαιγμός^{namsc} ἀντί^{pg} πόρνη^{ngfpc} ἐν^{pd} αὐτός^{rpdfs} πᾶς^{ainmsn} ὁ^{dnms} παραπορεύομαι^{vppmnms} εἰσπορεύομαι^{viim3s} κατέναντι^{pg} ὁ^{dgms} ἥλιος^{ngmsc}. **v.12** ἐμπαίζω^{viia3p} ὁ^{ddfp} ἀνομία^{ndfpc} αὐτός^{rpgmp} καθά^{cs} ποιέω^{viia3p} αὐτός^{rpnmp} ἀπέναντι^{pg} ὁ^{dgms} ἥλιος^{ngmsc} παραδειγματίζω^{viaa3p} ἀδικία^{ngfsc} αὐτός^{rpgmp}. **v.13** καί^{cc} θυγάτηρ^{nnfpc} Ἰερουσαλήμ^{nnfsp} βέβηλος^{annfpn} κατά^{pa} ὁ^{dans} κρίμα^{nansc} σύ$^{rpg-s}$ ἀντί^{pg} ὅς^{rrgnp} αὐτός^{rpnfp} μιαίω^{viaa3p} ἑαυτοῦ^{rxafp} ἐν^{pd} φυρμός^{ndnsc} ἀνάμιξις^{ngfsc}. **v.14** ὁ^{dafs} κοιλία^{nafsc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{danp} σπλάγχνον^{nanpc} ἐγώ$^{rpg-s}$ πονέω^{vipa1s} ἐπί^{pd} οὗτος^{rddnp}. **v.15** ἐγώ^{rpnms} δικαιόω^{vifa1s} σύ$^{rpa-s}$ ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} εὐθύτης^{ndfsc} καρδία^{ngfsc} ὅτι^{cs} ἐν^{pd} ὁ^{ddnp} κρίμα^{ndnpc} σύ$^{rpg-s}$ ὁ^{dnfs} δικαιοσύνη^{nnfsc} σύ$^{rpg-s}$ ὁ^{dnms} θεός^{nnmsc}. **v.16** ὅτι^{cs} ἀποδίδωμι^{viaa2s} ὁ^{ddmp} ἁμαρτωλός^{andmpn} κατά^{pa} ὁ^{danp} ἔργον^{nanpc} αὐτός^{rpgmp} καί^{cc} κατά^{pa} ὁ^{dafp} ἁμαρτία^{nafpc} αὐτός^{rpgmp} ὁ^{dafp} πονηρός^{anafpn} σφόδρα^{b}. **v.17** ἀνακαλύπτω^{viaa2s} ὁ^{dafp} ἁμαρτία^{nafpc} αὐτός^{rpgmp} ἵνα^{cs} φαίνω^{vsap3s} ὁ^{dans} κρίμα^{nansc} σύ$^{rpg-s}$ ἐξαλείφω^{viaa2s} ὁ^{dans} μνημόσυνον^{nansc} αὐτός^{rpgmp} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.18** ὁ^{dnms} θεός^{nnmsc} κριτής^{nnmsc} δίκαιος^{annmsn} καί^{cc} οὐ^{b} θαυμάζω^{vifa3s} πρόσωπον^{nansc}.

ἐν καταπατήσει κατεσπάσθη τὸ κάλλος αὐτῆς ἀπὸ θρόνου δόξης.
περιεζώσατο σάκκον ἀντὶ ἐνδύματος εὐπρεπείας σχοινίον περὶ 20
τὴν κεφαλὴν αὐτῆς ἀντὶ στεφάνου. περιείλατο μίτραν δόξης ἣν 21
περιέθηκεν αὐτῇ ὁ θεὸς ἐν ἀτιμίᾳ τὸ κάλλος αὐτῆς ἀπερρίφη ἐπὶ
τὴν γῆν. καὶ ἐγὼ εἶδον καὶ ἐδεήθην τοῦ προσώπου κυρίου καὶ 22
εἶπον ἱκάνωσον κύριε τοῦ βαρύνεσθαι χεῖρά σου ἐπὶ Ιερουσαλημ
ἐν ἐπαγωγῇ ἐθνῶν. ὅτι ἐνέπαιξαν καὶ οὐκ ἐφείσαντο ἐν ὀργῇ 23
καὶ θυμῷ μετὰ μηνίσεως καὶ συντελεσθήσονται ἐὰν μὴ σύ κύριε
ἐπιτιμήσῃς αὐτοῖς ἐν ὀργῇ σου. ὅτι οὐκ ἐν ζήλει ἐποίησαν ἀλλ' 24
ἐν ἐπιθυμίᾳ ψυχῆς ἐκχέαι τὴν ὀργὴν αὐτῶν εἰς ἡμᾶς ἐν ἁρπάγ-
ματι. μὴ χρονίσῃς ὁ θεὸς τοῦ ἀποδοῦναι αὐτοῖς εἰς κεφαλάς 25
τοῦ εἰπεῖν τὴν ὑπερηφανίαν τοῦ δράκοντος ἐν ἀτιμίᾳ. καὶ οὐκ 26
ἐχρόνισα ἕως ἔδειξέν μοι ὁ θεὸς τὴν ὕβριν αὐτοῦ ἐκκεκεντημένον
ἐπὶ τῶν ὀρέων Αἰγύπτου ὑπὲρ ἐλάχιστον ἐξουδενωμένον ἐπὶ γῆς
καὶ θαλάσσης. τὸ σῶμα αὐτοῦ διαφερόμενον ἐπὶ κυμάτων ἐν ὕ- 27
βρει πολλῇ καὶ οὐκ ἦν ὁ θάπτων ὅτι ἐξουθένωσεν αὐτὸν ἐν ἀτιμίᾳ.
οὐκ ἐλογίσατο ὅτι ἄνθρωπός ἐστιν καὶ τὸ ὕστερον οὐκ ἐλογίσατο. 28
εἶπεν ἐγὼ κύριος γῆς καὶ θαλάσσης ἔσομαι καὶ οὐκ ἐπέγνω ὅτι ὁ 29
θεὸς μέγας κραταιὸς ἐν ἰσχύι αὐτοῦ τῇ μεγάλῃ. αὐτὸς βασιλεὺς 30
ἐπὶ τῶν οὐρανῶν καὶ κρίνων βασιλεῖς καὶ ἀρχάς. ὁ ἀνιστῶν ἐ- 31
μὲ εἰς δόξαν καὶ κοιμίζων ὑπερηφάνους εἰς ἀπώλειαν αἰῶνος ἐν

---

v.19 ὀνειδίζω^{viaa3p} γάρ^{cc} ἔθνος^{nanpc} Ἰερουσαλήμ^{nafsp} ἐν^{pd} καταπάτησις^{ndfsc} κατασπάω^{viap3s} ὁ^{dnns} κάλλος^{nnnsc} αὐτός^{rpgfs} ἀπό^{pg} θρόνος^{ngmsc} δόξα^{ngfsc}. **v.20** περιζώννυμι^{viam3s} σάκκος^{namsc} ἀντί^{pg} ἔνδυμα^{ngnsc} εὐπρέπεια^{ngfsc} σχοινίον^{nansc} περί^{pa} ὁ^{dafs} κεφαλή^{nafsc} αὐτός^{rpgfs} ἀντί^{pg} στέφανος^{ngmsc}. **v.21** περιαιρέω^{viam3s} μίτρα^{nafsc} δόξα^{ngfsc} ὅς^{rrafs} περιτίθημι^{viaa3s} αὐτός^{rpdfs} ὁ^{dnms} θεός^{nnmsc} ἐν^{pd} ἀτιμία^{ndfsc} ὁ^{dnns} κάλλος^{nnnsc} αὐτός^{rpgfs} ἀπορίπτω^{viap3s} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc}. **v.22** καί^{cc} ἐγώ$^{rpn-s}$ ὁράω^{viaa1s} καί^{cc} δέομαι^{viap1s} ὁ^{dgns} πρόσωπον^{ngnsc} κύριος^{ngmsc} καί^{cc} λέγω^{viaa1s} ἱκανόω^{vdaa2s} κύριος^{nvmsc} ὁ^{dgns} βαρύνω^{vnpm} χείρ^{nafsc} σύ$^{rpg-s}$ ἐπί^{pa} Ἰερουσαλήμ^{nafsp} ἐν^{pd} ἐπαγωγή^{ndfsc} ἔθνος^{ngnpc}. **v.23** ὅτι^{cs} ἐμπαίζω^{viaa3p} καί^{cc} οὐ^{b} φείδομαι^{viam3p} ἐν^{pd} ὀργή^{ndfsc} καί^{cc} θυμός^{ndmsc} μετά^{pg} μῆνις^{ngfsc} καί^{cc} συντελέω^{vifp3p} ἐάν^{cs} μή^{x} σύ$^{rpn-s}$ κύριος^{nvmsc} ἐπιτιμάω^{vsaa2s} αὐτός^{rpdmp} ἐν^{pd} ὀργή^{ndfsc} σύ$^{rpg-s}$. **v.24** ὅτι^{cs} οὐ^{b} ἐν^{pd} ζῆλος^{ndnsc} ποιέω^{viaa3p} ἀλλά^{cc} ἐν^{pd} ἐπιθυμία^{ndfsc} ψυχή^{ngfsc} ἐκχέω^{vnaa} ὁ^{dafs} ὀργή^{nafsc} αὐτός^{rpgmp} εἰς^{pa} ἐγώ$^{rpa-p}$ ἐν^{pd} ἅρπαγμα^{ndnsc}. **v.25** μή^{x} χρονίζω^{vsaa2s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgns} ἀποδίδωμι^{vnaa} αὐτός^{rpdmp} εἰς^{pa} κεφαλή^{nafpc} ὁ^{dgns} λέγω^{vnaa} ὁ^{dafs} ὑπερηφανία^{nafsc} ὁ^{dgms} δράκων^{ngmsc} ἐν^{pd} ἀτιμία^{ndfsc}. **v.26** καί^{cc} οὐ^{b} χρονίζω^{viaa1s} ἕως^{cs} δείκνυμι^{viaa3s} ἐγώ$^{rpd-s}$ ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dafs} ὕβρις^{nafsc} αὐτός^{rpgms} ἐκκεντέω^{vpxpams} ἐπί^{pg} ὁ^{dgnp} ὄρος^{ngnpc} Αἴγυπτος^{ngfsp} ὑπέρ^{pa} ἐλαχύς^{ananss} ἐξουδενόω^{vpxpams} ἐπί^{pg} γῆ^{ngfsc} καί^{cc} θάλασσα^{ngfsc}. **v.27** ὁ^{dans} σῶμα^{nansc} αὐτός^{rpgms} διαφέρω^{vpppams} ἐπί^{pg} κῦμα^{ngnpc} ἐν^{pd} ὕβρις^{ndfsc} πολύς^{andfsn} καί^{cc} οὐ^{b} εἰμί^{viia3s} ὁ^{dnms} θάπτω^{vppanms} ὅτι^{cs} ἐξουθενόω^{viaa3s} αὐτός^{rpams} ἐν^{pd} ἀτιμία^{ndfsc}. **v.28** οὐ^{b} λογίζομαι^{viam3s} ὅτι^{cs} ἄνθρωπος^{nnmsc} εἰμί^{vipa3s} καί^{cc} ὁ^{dans} ὕστερος^{ananSn} οὐ^{b} λογίζομαι^{viam3s}. **v.29** λέγω^{viaa3s} ἐγώ^{rpnms} κύριος^{nnmsc} γῆ^{ngfsc} καί^{cc} θάλασσα^{ngfsc} εἰμί^{vifm1s} καί^{cc} οὐ^{b} ἐπιγινώσκω^{viaa3s} ὅτι^{cs} ὁ^{dnms} θεός^{nnmsc} μέγας^{annmsn} κραταιός^{annmsn} ἐν^{pd} ἰσχύς^{ndfsc} αὐτός^{rpgms} ὁ^{ddfs} μέγας^{andfsn}. **v.30** αὐτός^{rpnms} βασιλεύς^{nnmsc} ἐπί^{pg} ὁ^{dgmp} οὐρανός^{ngmpc} καί^{cc} κρίνω^{vppanms} βασιλεύς^{nampc} καί^{cc} ἀρχή^{nafpc}.

32 ἀτιμίᾳ ὅτι οὐκ ἔγνωσαν αὐτόν. καὶ νῦν ἴδετε οἱ μεγιστᾶνες τῆς
γῆς τὸ κρίμα τοῦ κυρίου ὅτι μέγας βασιλεὺς καὶ δίκαιος κρίνων
33 τὴν ὑπ᾽ οὐρανόν. εὐλογεῖτε τὸν θεόν οἱ φοβούμενοι τὸν κύριον
ἐν ἐπιστήμῃ ὅτι τὸ ἔλεος κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν με-
34 τὰ κρίματος. τοῦ διαστεῖλαι ἀνὰ μέσον δικαίου καὶ ἁμαρτωλοῦ
35 ἀποδοῦναι ἁμαρτωλοῖς εἰς τὸν αἰῶνα κατὰ τὰ ἔργα αὐτῶν. καὶ
ἐλεῆσαι δίκαιον ἀπὸ ταπεινώσεως ἁμαρτωλοῦ καὶ ἀποδοῦναι ἁ-
36 μαρτωλῷ ἀνθ᾽ ὧν ἐποίησεν δικαίῳ. ὅτι χρηστὸς ὁ κύριος τοῖς
ἐπικαλουμένοις αὐτὸν ἐν ὑπομονῇ ποιῆσαι κατὰ τὸ ἔλεος αὐτοῦ
τοῖς ὁσίοις αὐτοῦ παρεστάναι διὰ παντὸς ἐνώπιον αὐτοῦ ἐν ἰσχύι.
37 εὐλογητὸς κύριος εἰς τὸν αἰῶνα ἐνώπιον δούλων αὐτοῦ.

3 [ψαλμὸς τῷ Σαλωμων περὶ δικαίων] ἵνα τί ὑπνοῖς ψυχή καὶ
οὐκ εὐλογεῖς τὸν κύριον ὕμνον καινὸν ψάλατε τῷ θεῷ τῷ αἰνετῷ.
2 ψάλλε καὶ γρηγόρησον ἐπὶ τὴν γρηγόρησιν αὐτοῦ ὅτι ἀγαθὸς
3 ψαλμὸς τῷ θεῷ ἐξ ἀγαθῆς καρδίας. δίκαιοι μνημονεύουσιν διὰ
παντὸς τοῦ κυρίου ἐν ἐξομολογήσει καὶ δικαιώσει τὰ κρίματα
4 κυρίου. οὐκ ὀλιγωρήσει δίκαιος παιδευόμενος ὑπὸ κυρίου ἡ
5 εὐδοκία αὐτοῦ διὰ παντὸς ἔναντι κυρίου. προσέκοψεν ὁ δί-
καιος καὶ ἐδικαίωσεν τὸν κύριον ἔπεσεν καὶ ἀποβλέπει τί ποιήσει
6 αὐτῷ ὁ θεός ἀποσκοπεύει ὅθεν ἥξει σωτηρία αὐτοῦ. ἀλήθεια τῶν

---

v.31 ὁ^{dnms} ἀνίστημι^{vppanms} ἐγώ$^{rpa\text{-}s}$ εἰς^{pa} δόξα^{nafsc} καί^{cc} κοιμίζω^{vppanms} ὑπερήφανος^{anafpn} εἰς^{pa} ἀπώλεια^{nafsc} αἰών^{ngmsc} ἐν^{pd} ἀτιμία^{ndfsc} ὅτι^{cs} οὐ^{b} γινώσκω^{viaa3p} αὐτός^{rpams}. **v.32** καί^{cc} νῦν^{b} ὁράω^{vdaa2p} ὁ^{dnmp} μεγιστάν^{nnmpc} ὁ^{dgfs} γῆ^{ngfsc} ὁ^{dans} κρίμα^{nansc} ὁ^{dgms} κύριος^{ngmsc} ὅτι^{cs} μέγας^{annmsn} βασιλεύς^{nnmsc} καί^{cc} δίκαιος^{annmsn} κρίνω^{vppanms} ὁ^{dafs} ὑπό^{pa} οὐρανός^{namsc}. **v.33** εὐλογέω^{vdpa2p} ὁ^{dams} θεός^{namsc} ὁ^{dnmp} φοβέω^{vppmnmp} ὁ^{dams} κύριος^{namsc} ἐν^{pd} ἐπιστήμη^{ndfsc} ὅτι^{cs} ὁ^{dnns} ἔλεος^{nnnsc} κύριος^{ngmsc} ἐπί^{pa} ὁ^{damp} φοβέω^{vppmamp} αὐτός^{rpams} μετά^{pg} κρίμα^{ngnsc}. **v.34** ὁ^{dgns} διαστέλλω^{vnaa} ἀνά^{pa} μέσος^{anansn} δίκαιος^{angmsn} καί^{cc} ἁμαρτωλός^{angmsn} ἀποδίδωμι^{vnaa} ἁμαρτωλός^{andmpn} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} κατά^{pa} ὁ^{danp} ἔργον^{nanpc} αὐτός^{rpgmp}. **v.35** καί^{cc} ἐλεέω^{vnaa} δίκαιος^{anamsn} ἀπό^{pg} ταπείνωσις^{ngfsc} ἁμαρτωλός^{angmsn} καί^{cc} ἀποδίδωμι^{vnaa} ἁμαρτωλός^{andmsn} ἀντί^{pg} ὅς^{rrgnp} ποιέω^{viaa3s} δίκαιος^{andmsn}. **v.36** ὅτι^{cs} χρηστός^{annmsn} ὁ^{dnms} κύριος^{nnmsc} ὁ^{ddmp} ἐπικαλέω^{vppmdmp} αὐτός^{rpams} ἐν^{pd} ὑπομονή^{ndfsc} ποιέω^{vnaa} κατά^{pa} ὁ^{dans} ἔλεος^{nansc} αὐτός^{rpgms} ὁ^{ddmp} ὅσιος^{andmpn} αὐτός^{rpgms} παρίστημι^{vnxa} διά^{pg} πᾶς^{aignsn} ἐνώπιον^{pg} αὐτός^{rpgms} ἐν^{pd} ἰσχύς^{ndfsc}. **v.37** εὐλογητός^{annmsn} κύριος^{nnmsc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ἐνώπιον^{pg} δοῦλος^{ngmpc} αὐτός^{rpgms}. **3. v.1** ψαλμός^{nnmsc} ὁ^{ddms} Σαλωμών^{ndmsp} περί^{pg} δίκαιος^{angmpn} ἵνα^{cs} τίς^{rqnns} ὑπνόω^{vipa2s} ψυχή^{nnfsc} καί^{cc} οὐ^{b} εὐλογέω^{vipa2s} ὁ^{dams} κύριος^{namsc} ὕμνος^{namsc} καινός^{anamsn} ψάλλω^{vdaa2p} ὁ^{ddms} θεός^{ndmsc} ὁ^{ddms} αἰνετός^{andmsn}. **v.2** ψάλλω^{vdpa2s} καί^{cc} γρηγορέω^{vdaa2s} ἐπί^{pa} ὁ^{dafs} γρηγόρησις^{nafsc} αὐτός^{rpgms} ὅτι^{cs} ἀγαθός^{annmsn} ψαλμός^{nnmsc} ὁ^{ddms} θεός^{ndmsc} ἐκ^{pg} ἀγαθός^{angfsn} καρδία^{ngfsc}. **v.3** δίκαιος^{annmpn} μνημονεύω^{vipa3p} διά^{pg} πᾶς^{aignsn} ὁ^{dgms} κύριος^{ngmsc} ἐν^{pd} ἐξομολόγησις^{ndfsc} καί^{cc} δικαίωσις^{ndfsc} ὁ^{danp} κρίμα^{nanpc} κύριος^{ngmsc}. **v.4** οὐ^{b} ὀλιγωρέω^{vifa3s} δίκαιος^{annmsn} παιδεύω^{vpppnms} ὑπό^{pg} κύριος^{ngmsc} ὁ^{dnfs} εὐδοκία^{nnfsc} αὐτός^{rpgms} διά^{pg} πᾶς^{aignsn} ἔναντι^{pg} κύριος^{ngmsc}. **v.5** προσκόπτω^{viaa3s} ὁ^{dnms} δίκαιος^{annmsn} καί^{cc} δικαιόω^{viaa3s} ὁ^{dams} κύριος^{namsc} πίπτω^{viaa3s} καί^{cc} ἀποβλέπω^{vipa3s} τίς^{rqans} ποιέω^{vifa3s} αὐτός^{rpdms} ὁ^{dnms} θεός^{nnmsc} ἀποσκοπεύω^{vipa3s} ὅθεν^{b} ἥκω^{vifa3s} σωτηρία^{nnfsc} αὐτός^{rpgms}.

δικαίων παρὰ θεοῦ σωτῆρος αὐτῶν οὐκ αὐλίζεται ἐν οἴκῳ δικαίου ἁμαρτία ἐφ᾽ ἁμαρτίαν. ἐπισκέπτεται διὰ παντὸς τὸν οἶκον αὐτοῦ 7
ὁ δίκαιος τοῦ ἐξᾶραι ἀδικίαν ἐν παραπτώματι αὐτοῦ. ἐξιλάσατο 8
περὶ ἀγνοίας ἐν νηστείᾳ καὶ ταπεινώσει ψυχῆς αὐτοῦ καὶ ὁ κύριος καθαρίζει πᾶν ἄνδρα ὅσιον καὶ τὸν οἶκον αὐτοῦ. προσέκοψεν ἁ- 9
μαρτωλὸς καὶ καταρᾶται ζωὴν αὐτοῦ τὴν ἡμέραν γενέσεως αὐτοῦ καὶ ὠδῖνας μητρός. προσέθηκεν ἁμαρτίας ἐφ᾽ ἁμαρτίας τῇ ζωῇ 10
αὐτοῦ ἔπεσεν ὅτι πονηρὸν τὸ πτῶμα αὐτοῦ καὶ οὐκ ἀναστήσεται.
ἡ ἀπώλεια τοῦ ἁμαρτωλοῦ εἰς τὸν αἰῶνα καὶ οὐ μνησθήσεται ὅταν 11
ἐπισκέπτηται δικαίους. αὕτη ἡ μερὶς τῶν ἁμαρτωλῶν εἰς τὸν αἰ- 12
ῶνα οἱ δὲ φοβούμενοι τὸν κύριον ἀναστήσονται εἰς ζωὴν αἰώνιον καὶ ἡ ζωὴ αὐτῶν ἐν φωτὶ κυρίου καὶ οὐκ ἐκλείψει ἔτι.

[διαλογὴ τοῦ Σαλωμων τοῖς ἀνθρωπαρέσκοισ] ἵνα τί σύ βέβηλε **4**
κάθησαι ἐν συνεδρίῳ ὁσίων καὶ ἡ καρδία σου μακρὰν ἀφέστη-
κεν ἀπὸ τοῦ κυρίου ἐν παρανομίαις παροργίζων τὸν θεὸν Ισραηλ.
περισσὸς ἐν λόγοις περισσὸς ἐν σημειώσει ὑπὲρ πάντας ὁ σκληρὸς 2
ἐν λόγοις κατακρῖναι ἁμαρτωλοὺς ἐν κρίσει. καὶ ἡ χεὶρ αὐτοῦ ἐν 3
πρώτοις ἐπ᾽ αὐτὸν ὡς ἐν ζήλει καὶ αὐτὸς ἔνοχος ἐν ποικιλίᾳ ἁμαρ-
τιῶν καὶ ἐν ἀκρασίαις. οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ πᾶσαν γυναῖκα 4
ἄνευ διαστολῆς ἡ γλῶσσα αὐτοῦ ψευδὴς ἐν συναλλάγματι μεθ᾽
ὅρκου. ἐν νυκτὶ καὶ ἐν ἀποκρύφοις ἁμαρτάνει ὡς οὐχ ὁρώμε- 5

---

21 πορνείᾳ μου. ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν
22 ἀληθινήν πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία. ἐὰν
ἀποπλύνῃ ἐν νίτρῳ καὶ πληθύνῃς σεαυτῇ πόαν κεκηλίδωσαι ἐν
23 ταῖς ἀδικίαις σου ἐναντίον ἐμοῦ λέγει κύριος. πῶς ἐρεῖς οὐκ
ἐμιάνθην καὶ ὀπίσω τῆς Βααλ οὐκ ἐπορεύθην ἰδὲ τὰς ὁδούς σου
ἐν τῷ πολυανδρίῳ καὶ γνῶθι τί ἐποίησας ὀψὲ φωνὴ αὐτῆς ὠλόλυ-
24 ξεν τὰς ὁδοὺς αὐτῆς. ἐπλάτυνεν ἐφ' ὕδατα ἐρήμου ἐν ἐπιθυμίαις
ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο παρεδόθη τίς ἐπιστρέψει αὐτήν
πάντες οἱ ζητοῦντες αὐτὴν οὐ κοπιάσουσιν ἐν τῇ ταπεινώσει αὐ-
25 τῆς εὑρήσουσιν αὐτήν. ἀπόστρεψον τὸν πόδα σου ἀπὸ ὁδοῦ
τραχείας καὶ τὸν φάρυγγά σου ἀπὸ δίψους ἡ δὲ εἶπεν ἀνδριοῦ-
26 μαι ὅτι ἠγαπήκει ἀλλοτρίους καὶ ὀπίσω αὐτῶν ἐπορεύετο. ὡς
αἰσχύνη κλέπτου ὅταν ἁλῷ οὕτως αἰσχυνθήσονται οἱ υἱοὶ Ισραηλ
αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν καὶ οἱ ἱερεῖς
27 αὐτῶν καὶ οἱ προφῆται αὐτῶν. τῷ ξύλῳ εἶπαν ὅτι πατήρ μου εἶ
σύ καὶ τῷ λίθῳ σὺ ἐγέννησάς με καὶ ἔστρεψαν ἐπ' ἐμὲ νῶτα καὶ
οὐ πρόσωπα αὐτῶν καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν
28 ἀνάστα καὶ σῶσον ἡμᾶς. καὶ ποῦ εἰσιν οἱ θεοί σου οὓς ἐποίησας
σεαυτῷ εἰ ἀναστήσονται καὶ σώσουσίν σε ἐν καιρῷ τῆς κακώσεώς
σου ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου Ιουδα καὶ κατ'

---

v.20 ὅτι[cs] ἀπό[pg] αἰών[ngmsc] συντρίβω[viaa2s] ὁ[dams] ζυγός[namsc] σύ[rpg-s] διασπάω[viaa2s] ὁ[damp] δεσμός[nampc] σύ[rpg-s] καί[cc] λέγω[viaa2s] οὐ[b] δουλεύω[vifa1s] ἀλλά[cc] πορεύομαι[vifm1s] ἐπί[pa] πᾶς[aiansn] βουνός[namsc] ὑψηλός[anamsn] καί[cc] ὑποκάτω[pg] πᾶς[aignsn] ξύλον[ngnsc] κατάσκιος[angnsn] ἐκεῖ[b] διαχέω[vifp1s] ἐν[pd] ὁ[ddfs] πορνεία[ndfsc] ἐγώ[rpg-s]. **v.21** ἐγώ[rpnms] δέ[cc] φυτεύω[viaa1s] σύ[rpa-s] ἄμπελος[nafsc] καρποφόρος[anafsn] πᾶς[aiafsn] ἀληθινός[anafsn] πῶς[b] στρέφω[viap2s] εἰς[pa] πικρία[nafsc] ὁ[dnfs] ἄμπελος[nnfsc] ὁ[dnfs] ἀλλότριος[annfsn]. **v.22** ἐάν[cs] ἀποπλύνω[vspm2s] ἐν[pd] νίτρον[ndnsc] καί[cc] πληθύνω[vspa2s] σεαυτοῦ[rxdfs] πόα[nafsc] κηλιδόω[vixp2s] ἐν[pd] ὁ[ddfp] ἀδικία[ndfpc] σύ[rpg-s] ἐναντίον[pg] ἐγώ[rpgms] λέγω[vipa3s] κύριος[nnmsc]. **v.23** πῶς[b] λέγω[vifa2s] οὐ[b] μιαίνω[viap1s] καί[cc] ὀπίσω[pg] ὁ[dgfs] Βάαλ[ngfsp] οὐ[b] πορεύομαι[viap1s] ὁράω[vdaa2s] ὁ[dafp] ὁδός[nafpc] σύ[rpg-s] ἐν[pd] ὁ[ddns] πολυάνδριος[andnsn] καί[cc] γινώσκω[vdaa2s] τίς[rqans] ποιέω[viaa2s] ὀψέ[b] φωνή[nnfsc] αὐτός[rpgfs] ὀλολύζω[viaa3s] ὁ[dafp] ὁδός[nafpc] αὐτός[rpgfs]. **v.24** πλατύνω[viaa3s] ἐπί[pa] ὕδωρ[nanpc] ἔρημος[ngfsc] ἐν[pd] ἐπιθυμία[ndfpc] ψυχή[ngfsc] αὐτός[rpgfs] πνευματοφορέομαι[viip3s] παραδίδωμι[viap3s] τίς[rqnms] ἐπιστρέφω[vifa3s] αὐτός[rpafs] πᾶς[ainmpn] ὁ[dnmp] ζητέω[vppanmp] αὐτός[rpafs] οὐ[b] κοπιάω[vifa3p] ἐν[pd] ὁ[ddfs] ταπείνωσις[ndfsc] αὐτός[rpgfs] εὑρίσκω[vifa3p] αὐτός[rpafs]. **v.25** ἀποστρέφω[vdaa2s] ὁ[dams] πούς[namsc] σύ[rpg-s] ἀπό[pg] ὁδός[ngfsc] τραχύς[angfsn] καί[cc] ὁ[dams] φάρυγξ[namsc] σύ[rpg-s] ἀπό[pg] δίψος[ngnsc] ὁ[dnfs] δέ[cc] λέγω[viaa3s] ἀνδρίζομαι[vifm1s] ὅτι[cs] ἀγαπάω[viya3s] ἀλλότριος[anampn] καί[cc] ὀπίσω[pg] αὐτός[rpgmp] πορεύομαι[viim3s]. **v.26** ὡς[cs] αἰσχύνη[nnfsc] κλέπτης[ngmsc] ὅταν[cs] ἁλίσκομαι[vsaa3s] οὕτως[b] αἰσχύνω[vifp3p] ὁ[dnmp] υἱός[nnmpc] Ἰσραήλ[ngmsp] αὐτός[rpnmp] καί[cc] ὁ[dnmp] βασιλεύς[nnmpc] αὐτός[rpgmp] καί[cc] ὁ[dnmp] ἄρχων[nnmpc] αὐτός[rpgmp] καί[cc] ὁ[dnmp] ἱερεύς[nnmpc] αὐτός[rpgmp] καί[cc] ὁ[dnmp] προφήτης[nnmpc] αὐτός[rpgmp]. **v.27** ὁ[ddns] ξύλον[ndnsc] λέγω[viaa3p] ὅτι[cs] πατήρ[nnmsc] ἐγώ[rpg-s] εἰμί[vipa2s] σύ[rpn-s] καί[cc] ὁ[ddms] λίθος[ndmsc] σύ[rpn-s] γεννάω[viaa2s] ἐγώ[rpa-s] καί[cc] στρέφω[viaa3p] ἐπί[pa] ἐγώ[rpams] νῶτον[nanpc] καί[cc] οὐ[b] πρόσωπον[nanpc] αὐτός[rpgmp] καί[cc] ἐν[pd] ὁ[ddms] καιρός[ndmsc] ὁ[dgnp] κακός[angnpn] αὐτός[rpgmp] λέγω[vifa3p] ἀνίστημι[vdaa2s] καί[cc] σῴζω[vdaa2s] ἐγώ[rpamp].

ἀριθμὸν διόδων τῆς Ιερουσαλημ ἔθυον τῇ Βααλ. ἵνα τί λαλεῖτε 29
πρός με πάντες ὑμεῖς ἠσεβήσατε καὶ πάντες ὑμεῖς ἠνομήσατε εἰς
ἐμέ λέγει κύριος. μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν παιδείαν οὐκ 30
ἐδέξασθε μάχαιρα κατέφαγεν τοὺς προφήτας ὑμῶν ὡς λέων ὀλε-
θρεύων καὶ οὐκ ἐφοβήθητε. ἀκούσατε λόγον κυρίου τάδε λέγει 31
κύριος μὴ ἔρημος ἐγενόμην τῷ Ισραηλ ἢ γῇ κεχερσωμένη διὰ τί
εἶπεν ὁ λαός μου οὐ κυριευθησόμεθα καὶ οὐχ ἥξομεν πρὸς σὲ
ἔτι. μὴ ἐπιλήσεται νύμφη τὸν κόσμον αὐτῆς καὶ παρθένος τὴν 32
στηθοδεσμίδα αὐτῆς ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας ὧν
οὐκ ἔστιν ἀριθμός. τί ἔτι καλὸν ἐπιτηδεύσεις ἐν ταῖς ὁδοῖς σου 33
τοῦ ζητῆσαι ἀγάπησιν οὐχ οὕτως ἀλλὰ καὶ σὺ ἐπονηρεύσω τοῦ
μιᾶναι τὰς ὁδούς σου. καὶ ἐν ταῖς χερσίν σου εὑρέθησαν αἵματα 34
ψυχῶν ἀθῴων οὐκ ἐν διορύγμασιν εὗρον αὐτούς ἀλλ᾽ ἐπὶ πάσῃ
δρυί. καὶ εἶπας ἀθῷός εἰμι ἀλλὰ ἀποστραφήτω ὁ θυμὸς αὐτοῦ 35
ἀπ᾽ ἐμοῦ ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σὲ ἐν τῷ λέγειν σε οὐχ ἥμαρτον.
τί κατεφρόνησας σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου καὶ ἀπὸ 36
Αἰγύπτου καταισχυνθήσῃ καθὼς κατῃσχύνθης ἀπὸ Ασσουρ. ὅτι 37
καὶ ἐντεῦθεν ἐξελεύσῃ καὶ αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου ὅτι
ἀπώσατο κύριος τὴν ἐλπίδα σου καὶ οὐκ εὐοδωθήσῃ ἐν αὐτῇ.

ἐὰν ἐξαποστείλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ καὶ ἀπέλθῃ ἀπ᾽ αὐ- **3**

---

v.28 καίᶜᶜ ποῦᵇ εἰμίᵛⁱᵖᵃ³ᵖ ὁᵈⁿᵐᵖ θεόςⁿⁿᵐᵖᶜ σύᵣᵖᵍᵐˢ ὅςᵣʳᵃᵐᵖ ποιέωᵛⁱᵃᵃ²ˢ σεαυτοῦʳˣᵈᵐˢ εἰᶜˢ ἀνίστημιᵛⁱᶠᵐ³ᵖ καίᶜᶜ σῴζωᵛⁱᶠᵃ³ᵖ σύᵣᵖᵃᵐˢ ἐνᵖᵈ καιρόςⁿᵈᵐˢᶜ ὁᵈᵍᶠˢ κάκωσιςⁿᵍᶠˢᶜ σύᵣᵖᵍᵐˢ ὅτιᶜˢ κατάᵖᵃ ἀριθμόςⁿᵃᵐˢᶜ ὁᵈᵍᶠᵖ πόλιςⁿᵍᶠᵖᶜ σύᵣᵖᵍᵐˢ εἰμίᵛⁱⁱᵃ³ᵖ θεόςⁿⁿᵐᵖᶜ σύᵣᵖᵍᵐˢ Ἰούδαςⁿᵛᵐˢᵖ καίᶜᶜ κατάᵖᵃ ἀριθμόςⁿᵃᵐˢᶜ δίοδοςⁿᵍᶠᵖᶜ ὁᵈᵍᶠˢ Ἰερουσαλήμⁿᵍᶠˢᵖ θύωᵛⁱⁱᵃ³ᵖ ὁᵈᵈᶠˢ Βάαλⁿᵈᶠˢᵖ. **v.29** ἵναᶜˢ τίςʳᵠⁿⁿˢ λαλέωᵛⁱᵖᵃ²ᵖ πρόςᵖᵃ ἐγώʳᵖᵃᵐˢ πᾶςᵃⁱⁿᵐᵖⁿ σύᵣᵖⁿᵐᵖ ἀσεβέωᵛⁱᵃᵃ²ᵖ καίᶜᶜ πᾶςᵃⁱⁿᵐᵖⁿ σύᵣᵖⁿᵐᵖ ἀνομέωᵛⁱᵃᵃ²ᵖ εἰςᵖᵃ ἐγώʳᵖᵃᵐˢ λέγωᵛⁱᵖᵃ³ˢ κύριοςⁿⁿᵐˢᶜ. **v.30** μάτηνᵇ πατάσσωᵛⁱᵃᵃ¹ˢ ὁᵈᵃⁿᵖ τέκνονⁿᵃⁿᵖᶜ σύᵣᵖᵍᵐᵖ παιδείαⁿᵃᶠˢᶜ οὐᵇ δέχομαιᵛⁱᵃᵐ²ᵖ μάχαιραⁿⁿᶠˢᶜ κατεσθίωᵛⁱᵃᵃ³ˢ ὁᵈᵃᵐᵖ προφήτηςⁿᵃᵐᵖᶜ σύᵣᵖᵍᵐᵖ ὡςᶜˢ λέωνⁿⁿᵐˢᶜ ὀλεθρεύωᵛᵖᵖᵃⁿᵐˢ καίᶜᶜ οὐᵇ φοβέωᵛⁱᵃᵖ²ᵖ. **v.31** ἀκούωᵛᵈᵃᵃ²ᵖ λόγοςⁿᵃᵐˢᶜ κύριοςⁿᵍᵐˢᶜ ὅδεʳᵈᵃⁿᵖ λέγωᵛⁱᵖᵃ³ˢ κύριοςⁿⁿᵐˢᶜ μήˣ ἔρημοςⁿⁿᶠˢᶜ γίνομαιᵛⁱᵃᵐ¹ˢ ὁᵈᵈᵐˢ Ἰσραήλⁿᵈᵐˢᵖ ἤᶜᶜ γῇⁿⁿᶠˢᶜ χερσόομαιᵛᵖˣᵖⁿᶠˢ διάᵖᵃ τίςʳᵠⁿˢ λέγωᵛⁱᵃᵃ³ˢ ὁᵈⁿᵐˢ λαόςⁿⁿᵐˢᶜ ἐγώʳᵖᵍᵐˢ οὐᵇ κυριεύωᵛⁱᶠᵖ¹ᵖ καίᶜᶜ οὐᵇ ἥκωᵛⁱᶠᵃ¹ᵖ πρόςᵖᵃ σύᵣᵖᵃᵐˢ ἔτιᵇ. **v.32** μήˣ ἐπιλανθάνομαιᵛⁱᶠᵐ³ˢ νύμφηⁿⁿᶠˢᶜ ὁᵈᵃᵐˢ κόσμοςⁿᵃᵐˢᶜ αὐτόςʳᵖᵍᶠˢ καίᶜᶜ παρθένοςⁿⁿᶠˢᶜ ὁᵈᵃᶠˢ στηθοδεσμίςⁿᵃᶠˢᶜ αὐτόςʳᵖᵍᶠˢ ὁᵈⁿᵐˢ δέᶜᶜ λαόςⁿⁿᵐˢᶜ ἐγώʳᵖᵍᵐˢ ἐπιλανθάνομαιᵛⁱᵃᵐ³ˢ ἐγώʳᵖᵍᵐˢ ἡμέραⁿᵃᶠᵖᶜ ὅςʳʳᵍᶠᵖ οὐᵇ εἰμίᵛⁱᵖᵃ³ˢ ἀριθμόςⁿⁿᵐˢᶜ. **v.33** τίςʳᵠⁿˢ ἔτιᵇ καλόςᵃⁿᵃⁿˢⁿ ἐπιτηδεύωᵛⁱᶠᵃ²ˢ ἐνᵖᵈ ὁᵈᵈᵖ ὁδόςⁿᵈᶠᵖᶜ σύᵣᵖᵍ⁻ˢ ὁᵈᵍⁿˢ ζητέωᵛⁿᵃᵃ ἀγάπησιςⁿᵃᶠˢᶜ οὐᵇ οὕτωςᵇ ἀλλάᶜᶜ καίᵇ σύᵣᵖⁿ⁻ˢ πονηρεύομαιᵛⁱᵃᵐ²ˢ ὁᵈᵍⁿˢ μιαίνωᵛⁿᵃᵃ ὁᵈᵃᶠᵖ ὁδόςⁿᵃᶠᵖᶜ σύᵣᵖᵍ⁻ˢ. **v.34** καίᶜᶜ ἐνᵖᵈ ὁᵈᵈᵖ χείρⁿᵈᶠᵖᶜ σύᵣᵖᵍ⁻ˢ εὑρίσκωᵛⁱᵃᵖ³ᵖ αἷμαⁿⁿⁿᵖᶜ ψυχήⁿᵍᶠᵖᶜ ἀθῷοςᵃⁿᵍᶠᵖⁿ οὐᵇ ἐνᵖᵈ διόρυγμαⁿᵈⁿᵖᶜ εὑρίσκωᵛⁱᵃᵃ¹ˢ αὐτόςʳᵖᵃᵐᵖ ἀλλάᶜᶜ ἐπίᵖᵈ πᾶςᵃⁱᵈᶠˢⁿ δρῦςⁿᵈᶠˢᶜ. **v.35** καίᶜᶜ λέγωᵛⁱᵃᵃ²ˢ ἀθῷοςᵃⁿⁿᶠˢʾⁿᵃⁿⁿᵐˢⁿ εἰμίᵛⁱᵖᵃ¹ˢ ἀλλάᶜᶜ ἀποστρέφωᵛᵈᵃᵖ³ˢ ὁᵈⁿᵐˢ θυμόςⁿⁿᵐˢᶜ αὐτόςʳᵖᵍᵐˢ ἀπόᵖᵍ ἐγώʳᵖᵍ⁻ˢ ἰδούⁱ ἐγώʳᵖⁿᵐˢ κρίνωᵛⁱᵖᵐ¹ˢ πρόςᵖᵃ σύʳᵖᵃ⁻ˢ ἐνᵖᵈ ὁᵈⁿˢ λέγωᵛⁿᵖᵃ σύʳᵖᵃ⁻ˢ οὐᵇ ἁμαρτάνωᵛⁱᵃᵃ¹ˢ. **v.36** τίςʳᵠⁿˢ καταφρονέωᵛⁱᵃᵃ²ˢ σφόδραᵇ ὁᵈᵍⁿˢ δευτερόωᵛⁿᵃᵃ ὁᵈᵃᶠᵖ ὁδόςⁿᵃᶠᵖᶜ σύᵣᵖᵍ⁻ˢ καίᶜᶜ ἀπόᵖᵍ Αἴγυπτοςⁿᵍᶠˢᵖ καταισχύνωᵛⁱᶠᵖ²ˢ καθὼςᶜˢ καταισχύνωᵛⁱᵃᵖ²ˢ ἀπόᵖᵍ Ασσουρⁿᵍᵐˢᵖ. **v.37** ὅτιᶜˢ καίᶜᶜ ἐντεῦθενᵇ ἐξέρχομαιᵛⁱᶠᵐ²ˢ καίᶜᶜ ὁᵈⁿᶠᵖ χείρⁿⁿᶠᵖᶜ σύᵣᵖᵍ⁻ˢ ἐπίᵖᵍ ὁᵈᵍᶠˢ κεφαλήⁿᵍᶠˢᶜ σύᵣᵖᵍ⁻ˢ ὅτιᶜˢ ἀπωθέωᵛⁱᵃᵐ³ˢ κύριοςⁿⁿᵐˢᶜ ὁᵈᵃᶠˢ ἐλπίςⁿᵃᶠˢᶜ σύᵣᵖᵍ⁻ˢ καίᶜᶜ οὐᵇ εὐοδόωᵛⁱᶠᵖ²ˢ ἐνᵖᵈ αὐτόςʳᵖᵈᶠˢ.

τοῦ καὶ γένηται ἀνδρὶ ἑτέρῳ μὴ ἀνακάμπτουσα ἀνακάμψει πρὸς
αὐτὸν ἔτι οὐ μιαινομένη μιανθήσεται ἡ γυνὴ ἐκείνη καὶ σὺ ἐξε-
πόρνευσας ἐν ποιμέσιν πολλοῖς καὶ ἀνέκαμπτες πρός με λέγει
2 κύριος. ἆρον εἰς εὐθεῖαν τοὺς ὀφθαλμούς σου καὶ ἰδέ ποῦ οὐχὶ
ἐξεφύρθης ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας αὐτοῖς ὡσεὶ κορώνη ἐρημου-
μένη καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς πορνείαις σου καὶ ἐν ταῖς κα-
3 κίαις σου. καὶ ἔσχες ποιμένας πολλοὺς εἰς πρόσκομμα σεαυτῇ
4 ὄψις πόρνης ἐγένετό σοι ἀπηναισχύντησας πρὸς πάντας. οὐχ ὡς
οἰκόν με ἐκάλεσας καὶ πατέρα καὶ ἀρχηγὸν τῆς παρθενίας σου.
5 μὴ διαμενεῖ εἰς τὸν αἰῶνα ἢ διαφυλαχθήσεται εἰς νεῖκος ἰδοὺ ἐ-
6 λάλησας καὶ ἐποίησας τὰ πονηρὰ ταῦτα καὶ ἠδυνάσθης. καὶ
εἶπεν κύριος πρός με ἐν ταῖς ἡμέραις Ιωσια τοῦ βασιλέως εἶδες ἃ
ἐποίησέν μοι ἡ κατοικία τοῦ Ισραηλ ἐπορεύθησαν ἐπὶ πᾶν ὄρος
ὑψηλὸν καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους καὶ ἐπόρνευσαν
7 ἐκεῖ. καὶ εἶπα μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα πρός με
ἀνάστρεψον καὶ οὐκ ἀνέστρεψεν καὶ εἶδεν τὴν ἀσυνθεσίαν αὐτῆς
8 ἡ ἀσύνθετος Ιουδα. καὶ εἶδον διότι περὶ πάντων ὧν κατελήμφθη
ἐν οἷς ἐμοιχᾶτο ἡ κατοικία τοῦ Ισραηλ καὶ ἐξαπέστειλα αὐτὴν καὶ
ἔδωκα αὐτῇ βιβλίον ἀποστασίου εἰς τὰς χεῖρας αὐτῆς καὶ οὐκ
ἐφοβήθη ἡ ἀσύνθετος Ιουδα καὶ ἐπορεύθη καὶ ἐπόρνευσεν καὶ
9 αὐτή. καὶ ἐγένετο εἰς οὐθὲν ἡ πορνεία αὐτῆς καὶ ἐμοίχευσεν

---

3. **v.1** ἐάν^{cs} ἐξαποστέλλω^{vsaa3s} ἀνήρ^{nnmsc} ὁ^{dafs} γυνή^{nafsc} αὐτός^{rpgms} καί^{cc} ἀπέρχομαι^{vsaa3s} ἀπό^{pg} αὐτός^{rpgms} καί^{cc} γίνομαι^{vsam3s} ἀνήρ^{ndmsc} ἕτερος^{aidmsn} μή^{x} ἀνακάμπτω^{vppanfs} ἀνακάμπτω^{vifa3s} πρός^{pa} αὐτός^{rpams} ἔτι^{b} οὐ^{b} μιαίνω^{vpppnfs} μιαίνω^{vifp3s} ὁ^{dnfs} γυνή^{nnfsc} ἐκεῖνος^{rdnfs} καί^{cc} σύ^{rpnfs} ἐκπορνεύω^{viaa2s} ἐν^{pd} ποιμήν^{ndmpc} πολύς^{andmpn} καί^{cc} ἀνακάμπτω^{viia2s} πρός^{pa} ἐγώ^{rpams} λέγω^{vipa3s} κύριος^{nnmsc}. **v.2** αἴρω^{vdaa2s} εἰς^{pa} εὐθύς^{anafsn} ὁ^{damp} ὀφθαλμός^{nampc} σύ^{rpgfs} καί^{cc} ὁράω^{vdaa2s} ποῦ^{b} οὐχί^{b} ἐκφύρω^{viap2s} ἐπί^{pd} ὁ^{ddfp} ὁδός^{ndfpc} καθίζω^{viaa2s} αὐτός^{rpdmp} ὡσεί^{x} κορώνη^{nnfsc} ἐρημόω^{vpppnfs} καί^{cc} μιαίνω^{viaa2s} ὁ^{dafs} γῆ^{nafsc} ἐν^{pd} ὁ^{ddfp} πορνεία^{ndfpc} σύ^{rpgfs} καί^{cc} ἐν^{pd} ὁ^{ddfp} κακία^{ndfpc} σύ^{rpgfs}. **v.3** καί^{cc} ἔχω^{viaa2s} ποιμήν^{nampc} πολύς^{anampn} εἰς^{pa} πρόσκομμα^{nansc} σεαυτοῦ^{rxdfs} ὄψις^{nnfsc} πόρνη^{ngfsc} γίνομαι^{viam3s} σύ^{rpdfs} ἀπαναισχυντέω^{viaa2s} πρός^{pa} πᾶς^{aiampn}. **v.4** οὐ^{b} ὡς^{cs} οἶκος^{namsc} ἐγώ^{rpams} καλέω^{viaa2s} καί^{cc} πατήρ^{namsc} καί^{cc} ἀρχηγός^{namsc} ὁ^{dgfs} παρθενία^{ngfsc} σύ^{rpgfs}. **v.5** μή^{x} διαμένω^{vifa3s} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ἤ^{cc} διαφυλάσσω^{vifp3s} εἰς^{pa} νεῖκος^{nansc} ἰδού^{i} λαλέω^{viaa2s} καί^{cc} ποιέω^{viaa2s} ὁ^{danp} πονηρός^{ananpn} οὗτος^{rdanp} καί^{cc} δύναμαι^{viap2s}. **v.6** καί^{cc} λέγω^{viaa3s} κύριος^{nnmsc} πρός^{pa} ἐγώ^{rpams} ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} Ιωσια^{ngmsp} ὁ^{dgms} βασιλεύς^{ngmsc} ὁράω^{viaa2s} ὅς^{rranp} ποιέω^{viaa3s} ἐγώ^{rpdms} ὁ^{dnfs} κατοικία^{nnfsc} ὁ^{dgms} Ισραήλ^{ngmsp} πορεύομαι^{viap3p} ἐπί^{pa} πᾶς^{aiansn} ὄρος^{nansc} ὑψηλός^{anansn} καί^{cc} ὑποκάτω^{pg} πᾶς^{aignsn} ξύλον^{ngnsc} ἀλσώδης^{angnsn} καί^{cc} πορνεύω^{viaa3p} ἐκεῖ^{b}. **v.7** καί^{cc} λέγω^{viaa1s} μετά^{pa} ὁ^{dans} πορνεύω^{vnaa} αὐτός^{rpafs} οὗτος^{rdanp} πᾶς^{aianpn} πρός^{pa} ἐγώ^{rpams} ἀναστρέφω^{vdaa2s} καί^{cc} οὐ^{b} ἀναστρέφω^{viaa3s} καί^{cc} ὁράω^{viaa3s} ὁ^{dafs} ἀσυνθεσία^{nafsc} αὐτός^{rpgfs} ὁ^{dnfs} ἀσύνθετος^{annfsn} Ἰούδας^{nnfsp}. **v.8** καί^{cc} ὁράω^{viaa1s} διότι^{cs} περί^{pg} πᾶς^{aignpn} ὅς^{rrgnp} καταλαμβάνω^{viap3s} ἐν^{pd} ὅς^{rrdnp} μοιχάομαι^{viim3s} ὁ^{dnfs} κατοικία^{nnfsc} ὁ^{dgms} Ισραήλ^{ngmsp} καί^{cc} ἐξαποστέλλω^{viaa1s} αὐτός^{rpafs} καί^{cc} δίδωμι^{viaa1s} αὐτός^{rpdfs} βιβλίον^{nansc} ἀποστάσιον^{ngnsc} εἰς^{pa} ὁ^{dafp} χείρ^{nafpc} αὐτός^{rpgfs} καί^{cc} οὐ^{b} φοβέω^{viap3s} ὁ^{dnfs} ἀσύνθετος^{annfsn} Ἰούδας^{nnfsp} καί^{cc} πορεύομαι^{viap3s} καί^{cc} πορνεύω^{viaa3s} καί^{b} αὐτός^{rtnfs}.

τὸ ξύλον καὶ τὸν λίθον. καὶ ἐν πᾶσιν τούτοις οὐκ ἐπεστράφη 10
πρός με ἡ ἀσύνθετος Ιουδα ἐξ ὅλης τῆς καρδίας αὐτῆς ἀλλ᾽ ἐπὶ
ψεύδει. καὶ εἶπεν κύριος πρός με ἐδικαίωσεν τὴν ψυχὴν αὐ- 11
τοῦ Ισραηλ ἀπὸ τῆς ἀσυνθέτου Ιουδα. πορεύου καὶ ἀνάγνωθι 12
τοὺς λόγους τούτους πρὸς βορρᾶν καὶ ἐρεῖς ἐπιστράφητι πρός
με ἡ κατοικία τοῦ Ισραηλ λέγει κύριος καὶ οὐ στηριῶ τὸ πρό-
σωπόν μου ἐφ᾽ ὑμᾶς ὅτι ἐλεήμων ἐγώ εἰμι λέγει κύριος καὶ οὐ
μηνιῶ ὑμῖν εἰς τὸν αἰῶνα. πλὴν γνῶθι τὴν ἀδικίαν σου ὅτι εἰς 13
κύριον τὸν θεόν σου ἠσέβησας καὶ διέχεας τὰς ὁδούς σου εἰς ἀλ-
λοτρίους ὑποκάτω παντὸς ξύλου ἀλσώδους τῆς δὲ φωνῆς μου οὐχ
ὑπήκουσας λέγει κύριος. ἐπιστράφητε υἱοὶ ἀφεστηκότες λέγει 14
κύριος διότι ἐγὼ κατακυριεύσω ὑμῶν καὶ λήμψομαι ὑμᾶς ἕνα
ἐκ πόλεως καὶ δύο ἐκ πατριᾶς καὶ εἰσάξω ὑμᾶς εἰς Σιων. καὶ 15
δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου καὶ ποιμανοῦσιν ὑ-
μᾶς ποιμαίνοντες μετ᾽ ἐπιστήμης. καὶ ἔσται ἐὰν πληθυνθῆτε καὶ 16
αὐξηθῆτε ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις λέγει κύριος οὐκ
ἐροῦσιν ἔτι κιβωτὸς διαθήκης ἁγίου Ισραηλ οὐκ ἀναβήσεται ἐπὶ
καρδίαν οὐκ ὀνομασθήσεται οὐδὲ ἐπισκεφθήσεται καὶ οὐ ποιη-
θήσεται ἔτι. ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ 17
καλέσουσιν τὴν Ιερουσαλημ θρόνος κυρίου καὶ συναχθήσονται
εἰς αὐτὴν πάντα τὰ ἔθνη καὶ οὐ πορεύσονται ἔτι ὀπίσω τῶν ἐν-

---

v.9 καί^{cc} γίνομαι^{viam3s} εἰς^{pa} οὐθείς^{rians} ὁ^{dnfs} πορνεία^{nnfsc} αὐτός^{rpgfs} καί^{cc} μοιχεύω^{viaa3s} ὁ^{dans} ξύλον^{nansc} καί^{cc} ὁ^{dams} λίθος^{namsc}. **v.10** καί^{cc} ἐν^{pd} πᾶς^{aidnpn} οὗτος^{rddnp} οὐ^{b} ἐπιστρέφω^{viap3s} πρός^{pa} ἐγώ^{rpams} ὁ^{dnfs} ἀσύνθετος^{annfsn} Ἰούδας^{nnfsp} ἐκ^{pg} ὅλος^{angfsn} ὁ^{dgfs} καρδία^{ngfsc} αὐτός^{rpgfs} ἀλλά^{cc} ἐπί^{pd} ψεῦδος^{ndnsc}. **v.11** καί^{cc} λέγω^{viaa3s} κύριος^{nnmsc} πρός^{pa} ἐγώ^{rpams} δικαιόω^{viaa3s} ὁ^{dafs} ψυχή^{nafsc} αὐτός^{rpgms} Ἰσραήλ^{nnmsp} ἀπό^{pg} ὁ^{dgfs} ἀσύνθετος^{angfsn} Ἰούδας^{ngfsp}. **v.12** πορεύομαι^{vdpm2s} καί^{cc} ἀναγινώσκω^{vdaa2s} ὁ^{damp} λόγος^{nampc} οὗτος^{rdamp} πρός^{pa} βορέας^{namsc} καί^{cc} λέγω^{vifa2s} ἐπιστρέφω^{vdap2s} πρός^{pa} ἐγώ^{rpams} ὁ^{dnfs} κατοικία^{nnfsc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp} λέγω^{vipa3s} κύριος^{nnmsc} καί^{cc} οὐ^{b} στηρίζω^{vifa1s} ὁ^{dans} πρόσωπον^{nansc} ἐγώ^{rpgfs} ἐπί^{pa} σύ$^{rpa-p}$ ὅτι^{cs} ἐλεήμων^{annmsn} ἐγώ^{rpnms} εἰμί^{vipa1s} λέγω^{vipa3s} κύριος^{nnmsc} καί^{cc} οὐ^{b} μηνίω^{vifa1s} σύ$^{rpd-p}$ εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.13** πλήν^{b} γινώσκω^{vdaa2s} ὁ^{dafs} ἀδικία^{nafsc} σύ^{rpgfs} ὅτι^{cs} εἰς^{pa} κύριος^{namsc} ὁ^{dams} θεός^{namsc} σύ^{rpgfs} ἀσεβέω^{viaa2s} καί^{cc} διαχέω^{viaa2s} ὁ^{dafp} ὁδός^{nafpc} σύ^{rpgfs} εἰς^{pa} ἀλλότριος^{anampn} ὑποκάτω^{pg} πᾶς^{aignsn} ξύλον^{ngnsc} ἀλσώδης^{angnsn} ὁ^{dgfs} δέ^{cc} φωνή^{ngfsc} ἐγώ^{rpgms} οὐ^{b} ὑπακούω^{viaa2s} λέγω^{vipa3s} κύριος^{nnmsc}. **v.14** ἐπιστρέφω^{vdap2p} υἱός^{nnmpc} ἀφίστημι^{vpxanmp} λέγω^{vipa3s} κύριος^{nnmsc} διότι^{cs} ἐγώ^{rpnms} κατακυριεύω^{vifa1s} σύ^{rpgmp} καί^{cc} λαμβάνω^{vifm1s} σύ^{rpamp} εἷς^{acamsn} ἐκ^{pg} πόλις^{ngfsc} καί^{cc} δύο^{ac-n} ἐκ^{pg} πατριά^{ngfsc} καί^{cc} εἰσάγω^{vifa1s} σύ^{rpamp} εἰς^{pa} Σιών^{nafsp}. **v.15** καί^{cc} δίδωμι^{vifa1s} σύ^{rpdmp} ποιμήν^{nampc} κατά^{pa} ὁ^{dafs} καρδία^{nafsc} ἐγώ^{rpgms} καί^{cc} ποιμαίνω^{vifa3p} σύ^{rpamp} ποιμαίνω^{vppanmp} μετά^{pg} ἐπιστήμη^{ngfsc}. **v.16** καί^{cc} εἰμί^{vifm3s} ἐάν^{cs} πληθύνω^{vsap2p} καί^{cc} αὐξάνω^{vsap2p} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} ἐκεῖνος^{rddfp} λέγω^{vipa3s} κύριος^{nnmsc} οὐ^{b} λέγω^{vifa3p} ἔτι^{b} κιβωτός^{nnfsc} διαθήκη^{ngfsc} ἅγιος^{angmsn} Ἰσραήλ^{ngmsp} οὐ^{b} ἀναβαίνω^{vifm3s} ἐπί^{pa} καρδία^{nafsc} οὐ^{b} ὀνομάζω^{vifp3s} οὐδέ^{cc} ἐπισκέπτομαι^{vifp3s} καί^{cc} οὐ^{b} ποιέω^{vifp3s} ἔτι^{b}.

18 θυμημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς. ἐν ταῖς ἡμέραις
ἐκείναις συνελεύσονται οἶκος Ιουδα ἐπὶ τὸν οἶκον τοῦ Ισραηλ καὶ
ἥξουσιν ἐπὶ τὸ αὐτὸ ἀπὸ γῆς βορρᾶ καὶ ἀπὸ πασῶν τῶν χωρῶν
19 ἐπὶ τὴν γῆν ἣν κατεκληρονόμησα τοὺς πατέρας αὐτῶν. καὶ ἐγὼ
εἶπα γένοιτο κύριε ὅτι τάξω σε εἰς τέκνα καὶ δώσω σοι γῆν ἐκλε-
κτὴν κληρονομίαν θεοῦ παντοκράτορος ἐθνῶν καὶ εἶπα πατέρα
20 καλέσετέ με καὶ ἀπ᾽ ἐμοῦ οὐκ ἀποστραφήσεσθε. πλὴν ὡς ἀθετεῖ
γυνὴ εἰς τὸν συνόντα αὐτῇ οὕτως ἠθέτησεν εἰς ἐμὲ οἶκος Ισραηλ
21 λέγει κύριος. φωνὴ ἐκ χειλέων ἠκούσθη κλαυθμοῦ καὶ δεήσεως
υἱῶν Ισραηλ ὅτι ἠδίκησαν ἐν ταῖς ὁδοῖς αὐτῶν ἐπελάθοντο θεοῦ
22 ἁγίου αὐτῶν. ἐπιστράφητε υἱοὶ ἐπιστρέφοντες καὶ ἰάσομαι τὰ
συντρίμματα ὑμῶν ἰδοὺ δοῦλοι ἡμεῖς ἐσόμεθά σοι ὅτι σὺ κύριος
23 ὁ θεὸς ἡμῶν εἶ. ὄντως εἰς ψεῦδος ἦσαν οἱ βουνοὶ καὶ ἡ δύναμις
24 τῶν ὀρέων πλὴν διὰ κυρίου θεοῦ ἡμῶν ἡ σωτηρία τοῦ Ισραηλ. ἡ
δὲ αἰσχύνη κατανάλωσεν τοὺς μόχθους τῶν πατέρων ἡμῶν ἀπὸ
νεότητος ἡμῶν τὰ πρόβατα αὐτῶν καὶ τοὺς μόσχους αὐτῶν καὶ
25 τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν. ἐκοιμήθημεν ἐν τῇ
αἰσχύνῃ ἡμῶν καὶ ἐπεκάλυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν διότι ἔναντι
τοῦ θεοῦ ἡμῶν ἡμάρτομεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν ἀπὸ νε-
ότητος ἡμῶν ἕως τῆς ἡμέρας ταύτης καὶ οὐχ ὑπηκούσαμεν τῆς

---

v.17 ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} ἐκεῖνος^{rddfp} καί^{cc} ἐν^{pd} ὁ^{ddms} καιρός^{ndmsc} ἐκεῖνος^{rddms} καλέω^{vifa3p} ὁ^{dafs} Ἰερουσαλήμ^{nafsp} θρόνος^{nnmsc} κύριος^{ngmsc} καί^{cc} συνάγω^{vifp3p} εἰς^{pa} αὐτός^{rpafs} πᾶς^{ainnpn} ὁ^{dnnp} ἔθνος^{nnnpc} καί^{cc} οὐ^{b} πορεύομαι^{vifm3p} ἔτι^{b} ὀπίσω^{pg} ὁ^{dgnp} ἐνθύμημα^{ngnpc} ὁ^{dgfs} καρδία^{ngfsc} αὐτός^{rpgmp} ὁ^{dgfs} πονηρός^{angfsn}. **v.18** ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} ἐκεῖνος^{rddfp} συνέρχομαι^{vifm3p} οἶκος^{nnmsc} Ἰούδας^{ngmsp} ἐπί^{pa} ὁ^{dams} οἶκος^{namsc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp} καί^{cc} ἥκω^{vifa3p} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rpans} ἀπό^{pg} γῆ^{ngfsc} βορέας^{ngmsc} καί^{cc} ἀπό^{pg} πᾶς^{aigfpn} ὁ^{dgfp} χώρα^{ngfpc} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} ὅς^{rrafs} κατακληρονομέω^{viaa1s} ὁ^{damp} πατήρ^{nampc} αὐτός^{rpgmp}. **v.19** καί^{cc} ἐγώ^{rpnms} λέγω^{viaa1s} γίνομαι^{voam3s} κύριος^{nvmsc} ὅτι^{cs} τάσσω^{vifa1s} σύ^{rpams} εἰς^{pa} τέκνον^{nanpc} καί^{cc} δίδωμι^{vifa1s} σύ^{rpdms} γῆ^{nafsc} ἐκλεκτός^{anafsn} κληρονομία^{nafsc} θεός^{ngmsc} παντοκράτωρ^{ngmsc} ἔθνος^{ngnpc} καί^{cc} λέγω^{viaa1s} πατήρ^{namsc} καλέω^{vifa2p} ἐγώ^{rpams} καί^{cc} ἀπό^{pg} ἐγώ^{rpgms} οὐ^{b} ἀποστρέφω^{vifp2p}. **v.20** πλήν^{b} ὡς^{cs} ἀθετέω^{vipa3s} γυνή^{nnfsc} εἰς^{pa} ὁ^{dams} σύνειμι^{vppaams} αὐτός^{rpdfs} οὕτως^{b} ἀθετέω^{viaa3s} εἰς^{pa} ἐγώ^{rpams} οἶκος^{nnmsc} Ἰσραήλ^{ngmsp} λέγω^{vipa3s} κύριος^{nnmsc}. **v.21** φωνή^{nnfsc} ἐκ^{pg} χεῖλος^{ngnpc} ἀκούω^{viap3s} κλαυθμός^{ngmsc} καί^{cc} δέησις^{ngfsc} υἱός^{ngmpc} Ἰσραήλ^{ngmsp} ὅτι^{cs} ἀδικέω^{viaa3p} ἐν^{pd} ὁ^{ddfp} ὁδός^{ndfpc} αὐτός^{rpgmp} ἐπιλανθάνομαι^{viam3p} θεός^{ngmsc} ἅγιος^{angmsn} αὐτός^{rpgmp}. **v.22** ἐπιστρέφω^{vdap2p} υἱός^{nnmpc} ἐπιστρέφω^{vppanmp} καί^{cc} ἰάομαι^{vifm1s} ὁ^{danp} σύντριμμα^{nanpc} σύ^{rpgmp} ἰδού^{i} δοῦλος^{nnmpc} ἐγώ^{rpnmp} εἰμί^{vifm1p} σύ^{rpdms} ὅτι^{cs} σύ^{rpnms} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} ἐγώ^{rpgmp} εἰμί^{vipa2s}. **v.23** ὄντως^{b} εἰς^{pa} ψεῦδος^{nansc} εἰμί^{viia3p} ὁ^{dnmp} βουνός^{nnmpc} καί^{cc} ὁ^{dnfs} δύναμις^{nnfsc} ὁ^{dgnp} ὄρος^{ngnpc} πλήν^{b} διά^{pg} κύριος^{ngmsc} θεός^{ngmsc} ἐγώ^{rpgmp} ὁ^{dnfs} σωτηρία^{nnfsc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp}. **v.24** ὁ^{dnfs} δέ^{cc} αἰσχύνη^{nnfsc} καταναλίσκω^{viaa3s} ὁ^{damp} μόχθος^{nampc} ὁ^{dgmp} πατήρ^{ngmpc} ἐγώ^{rpgmp} ἀπό^{pg} νεότης^{ngfsc} ἐγώ^{rpgmp} ὁ^{danp} πρόβατον^{nanpc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{damp} μόσχος^{nampc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{damp} υἱός^{nampc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dafp} θυγάτηρ^{nafpc} αὐτός^{rpgmp}.

φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν.

ἐὰν ἐπιστραφῇ Ισραηλ λέγει κύριος πρός με ἐπιστραφήσεται **4**
ἐὰν περιέλῃ τὰ βδελύγματα αὐτοῦ ἐκ στόματος αὐτοῦ καὶ ἀπὸ
τοῦ προσώπου μου εὐλαβηθῇ. καὶ ὀμόσῃ ζῇ κύριος μετὰ ἀλη- 2
θείας καὶ ἐν κρίσει καὶ ἐν δικαιοσύνῃ καὶ εὐλογήσουσιν ἐν αὐτῇ
ἔθνη καὶ ἐν αὐτῷ αἰνέσουσιν τῷ θεῷ ἐν Ιερουσαλημ. ὅτι τάδε 3
λέγει κύριος τοῖς ἀνδράσιν Ιουδα καὶ τοῖς κατοικοῦσιν Ιερου-
σαλημ νεώσατε ἑαυτοῖς νεώματα καὶ μὴ σπείρητε ἐπ᾽ ἀκάνθαις.
περιτμήθητε τῷ θεῷ ὑμῶν καὶ περιτέμεσθε τὴν σκληροκαρδίαν 4
ὑμῶν ἄνδρες Ιουδα καὶ οἱ κατοικοῦντες Ιερουσαλημ μὴ ἐξέλθῃ
ὡς πῦρ ὁ θυμός μου καὶ ἐκκαυθήσεται καὶ οὐκ ἔσται ὁ σβέσων
ἀπὸ προσώπου πονηρίας ἐπιτηδευμάτων ὑμῶν. ἀναγγείλατε ἐν 5
τῷ Ιουδα καὶ ἀκουσθήτω ἐν Ιερουσαλημ εἴπατε σημάνατε ἐπὶ τῆς
γῆς σάλπιγγι καὶ κεκράξατε μέγα εἴπατε συνάχθητε καὶ εἰσέλθω-
μεν εἰς τὰς πόλεις τὰς τειχήρεις. ἀναλαβόντες φεύγετε εἰς Σιων 6
σπεύσατε μὴ στῆτε ὅτι κακὰ ἐγὼ ἐπάγω ἀπὸ βορρᾶ καὶ συντριβὴν
μεγάλην. ἀνέβη λέων ἐκ τῆς μάνδρας αὐτοῦ ἐξολεθρεύων ἔθνη 7
ἐξῆρεν καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ τοῦ θεῖναι τὴν γῆν εἰς
ἐρήμωσιν καὶ πόλεις καθαιρεθήσονται παρὰ τὸ μὴ κατοικεῖσθαι
αὐτάς. ἐπὶ τούτοις περιζώσασθε σάκκους καὶ κόπτεσθε καὶ ἀ- 8

---

v.25 κοιμάομαι^{viap1p} ἐν^{pd} ὁ^{ddfs} αἰσχύνη^{ndfsc} ἐγώ^{rpgmp} καί^{cc} ἐπικαλύπτω^{viaa3s} ἐγώ^{rpamp} ὁ^{dnfs} ἀτιμία^{nnfsc} ἐγώ^{rpgmp} διότι^{cs} ἔναντι^{pg} ὁ^{dgms} θεός^{ngmsc} ἐγώ^{rpgmp} ἁμαρτάνω^{viaa1p} ἐγώ^{rpnmp} καί^{cc} ὁ^{dnmp} πατήρ^{nnmpc} ἐγώ^{rpgmp} ἀπό^{pg} νεότης^{ngfsc} ἐγώ^{rpgmp} ἕως^{pg} ὁ^{dgfs} ἡμέρα^{ngfsc} οὗτος^{rdgfs} καί^{cc} οὐ^{b} ὑπακούω^{viaa1p} ὁ^{dgfs} φωνή^{ngfsc} κύριος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} ἐγώ^{rpgmp}. **4. v.1** ἐάν^{cs} ἐπιστρέφω^{vsap3s} Ἰσραήλ^{nnmsp} λέγω^{vipa3s} κύριος^{nnmsc} πρός^{pa} ἐγώ^{rpams} ἐπιστρέφω^{vifp3s} ἐάν^{cs} περιαιρέω^{vsaa3s} ὁ^{danp} βδέλυγμα^{nanpc} αὐτός^{rpgms} ἐκ^{pg} στόμα^{ngnsc} αὐτός^{rpgms} καί^{cc} ἀπό^{pg} ὁ^{dgns} πρόσωπον^{ngnsc} ἐγώ^{rpgms} εὐλαβέομαι^{vsap3s}. **v.2** καί^{cc} ὄμνυμι^{vsaa3s} ζάω^{vipa3s} κύριος^{nnmsc} μετά^{pg} ἀλήθεια^{ngfsc} καί^{cc} ἐν^{pd} κρίσις^{ndfsc} καί^{cc} ἐν^{pd} δικαιοσύνη^{ndfsc} καί^{cc} εὐλογέω^{vifa3p} ἐν^{pd} αὐτός^{rpdfs} ἔθνος^{nnnpc} καί^{cc} ἐν^{pd} αὐτός^{rpdms} αἰνέω^{vifa3p} ὁ^{ddms} θεός^{ndmsc} ἐν^{pd} Ἰερουσαλήμ^{ndfsp}. **v.3** ὅτι^{cs} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ὁ^{ddmp} ἀνήρ^{ndmpc} Ἰούδας^{ngmsp} καί^{cc} ὁ^{ddmp} κατοικέω^{vppadmp} Ἰερουσαλήμ^{nafsp} νεόω^{vdaa2p} ἑαυτοῦ^{rxdmp} νέωμα^{nanpc} καί^{cc} μή^{x} σπείρω^{vsaa2}ʼ^{pvspa2p} ἐπί^{pd} ἄκανθα^{ndfpc}. **v.4** περιτέμνω^{vdap2p} ὁ^{ddms} θεός^{ndmsc} σύ^{rpgmp} καί^{cc} περιτέμνω^{vdam2p} ὁ^{dafs} σκληροκαρδία^{nafsc} σύ^{rpgmp} ἀνήρ^{nvmpc} Ἰούδας^{ngmsp} καί^{cc} ὁ^{dnmp} κατοικέω^{vppanmp} Ἰερουσαλήμ^{nafsp} μή^{x} ἐξέρχομαι^{vsaa3s} ὡς^{cs} πῦρ^{nnnsc} ὁ^{dnms} θυμός^{nnmsc} ἐγώ^{rpgms} καί^{cc} ἐκκαίω^{vifp3s} καί^{cc} οὐ^{b} εἰμί^{vifm3s} ὁ^{dnms} σβέννυμι^{vpfanms} ἀπό^{pg} πρόσωπον^{ngnsc} πονηρία^{ngfsc} ἐπιτήδευμα^{ngnpc} σύ^{rpgmp}. **v.5** ἀναγγέλλω^{vdaa2p} ἐν^{pd} ὁ^{ddms} Ἰούδας^{ndmsp} καί^{cc} ἀκούω^{vdap3s} ἐν^{pd} Ἰερουσαλήμ^{ndfsp} λέγω^{vdaa2p} σημαίνω^{vdaa2p} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} σάλπιγξ^{ndfsc} καί^{cc} κράζω^{vdaa2p} μέγας$^{anans'nb}$ λέγω^{vdaa2p} συνάγω^{vdap2p} καί^{cc} εἰσέρχομαι^{vsaa1p} εἰς^{pa} ὁ^{dafp} πόλις^{nafpc} ὁ^{dafp} τειχήρης^{anafpn}. **v.6** ἀναλαμβάνω^{vpaanmp} φεύγω^{vdpa2p} εἰς^{pa} Σιών^{nafsp} σπεύδω^{vdaa2p} μή^{x} ἵστημι^{vdaa2p} ὅτι^{cs} κακός^{ananpn} ἐγώ^{rpnms} ἐπάγω^{vipa1s} ἀπό^{pg} βορέας^{ngmsc} καί^{cc} συντριβή^{nafsc} μέγας^{anafsn}. **v.7** ἀναβαίνω^{viaa3s} λέων^{nnmsc} ἐκ^{pg} ὁ^{dgfs} μάνδρα^{ngfsc} αὐτός^{rpgms} ἐξολεθρεύω^{vppanms} ἔθνος^{nanpc} ἐξαίρω^{viaa3s} καί^{cc} ἐξέρχομαι^{viaa3s} ἐκ^{pg} ὁ^{dgms} τόπος^{ngmsc} αὐτός^{rpgms} ὁ^{dgns} τίθημι^{vnaa} ὁ^{dafs} γῆ^{nafsc} εἰς^{pa} ἐρήμωσις^{nafsc} καί^{cc} πόλις^{nnfpc} καθαιρέω^{vifp3p} παρά^{pa} ὁ^{dans} μή^{x} κατοικέω^{vnpm} αὐτός^{rpafp}.

9 λαλάξατε διότι οὐκ ἀπεστράφη ὁ θυμὸς κυρίου ἀφ᾽ ὑμῶν. καὶ
ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει κύριος ἀπολεῖται ἡ καρδία τοῦ
βασιλέως καὶ ἡ καρδία τῶν ἀρχόντων καὶ οἱ ἱερεῖς ἐκστήσονται
10 καὶ οἱ προφῆται θαυμάσονται. καὶ εἶπα ᾧ δέσποτα κύριε ἄρα
γε ἀπατῶν ἠπάτησας τὸν λαὸν τοῦτον καὶ τὴν Ιερουσαλημ λέ-
γων εἰρήνη ἔσται ὑμῖν καὶ ἰδοὺ ἥψατο ἡ μάχαιρα ἕως τῆς ψυχῆς
11 αὐτῶν. ἐν τῷ καιρῷ ἐκείνῳ ἐροῦσιν τῷ λαῷ τούτῳ καὶ τῇ Ιερου-
σαλημ πνεῦμα πλανήσεως ἐν τῇ ἐρήμῳ ὁδὸς τῆς θυγατρὸς τοῦ
12 λαοῦ μου οὐκ εἰς καθαρὸν οὐδ᾽ εἰς ἅγιον. πνεῦμα πληρώσεως
13 ἥξει μοι νῦν δὲ ἐγὼ λαλῶ κρίματα πρὸς αὐτούς. ἰδοὺ ὡς νε-
φέλη ἀναβήσεται καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ κουφότεροι
14 ἀετῶν οἱ ἵπποι αὐτοῦ οὐαὶ ἡμῖν ὅτι ταλαιπωροῦμεν. ἀπόπλυνε
ἀπὸ κακίας τὴν καρδίαν σου Ιερουσαλημ ἵνα σωθῇς ἕως πότε
15 ὑπάρξουσιν ἐν σοὶ διαλογισμοὶ πόνων σου. διότι φωνὴ ἀναγγέλ-
λοντος ἐκ Δαν ἤξει καὶ ἀκουσθήσεται πόνος ἐξ ὄρους Εφραιμ.
16 ἀναμνήσατε ἔθνη ἰδοὺ ἤκασιν ἀναγγείλατε ἐν Ιερουσαλημ συ-
στροφαὶ ἔρχονται ἐκ γῆς μακρόθεν καὶ ἔδωκαν ἐπὶ τὰς πόλεις
17 Ιουδα φωνὴν αὐτῶν. ὡς φυλάσσοντες ἀγρὸν ἐγένοντο ἐπ᾽ αὐ-
18 τὴν κύκλῳ ὅτι ἐμοῦ ἠμέλησας λέγει κύριος. αἱ ὁδοί σου καὶ
τὰ ἐπιτηδεύματά σου ἐποίησαν ταῦτά σοι αὕτη ἡ κακία σου ὅτι

---

v.8 ἐπίpd οὗτοςrddnp περιζώννυμιvdam2p σάκκοςnampc καίcc κόπτωvdpm2p καίcc ἀλαλάζωvdaa2p διότιcs οὐb ἀποστρέφωviap3s ὁdnms θυμόςnnmsc κύριοςngmsc ἀπόpg σύrpg-p. **v.9** καίcc εἰμίvifm3s ἐνpd ἐκεῖνοςrddfs ὁddfs ἡμέραndfsc λέγωvipa3s κύριοςnnmsc ἀπόλλυμιvifm3s ὁdnfs καρδίαnnfsc ὁdgms βασιλεύςngmsc καίcc ὁdnfs καρδίαnnfsc ὁdgmp ἄρχωνngmpc καίcc ὁdnmp ἱερεύςnnmpc ἐξίστημιvifm3p καίcc ὁdnmp προφήτηςnnmpc θαυμάζωvifm3p. **v.10** καίcc λέγωviaa1s ὦi δεσπότηςnvmsc κύριοςnvmsc ἄραx γέx ἀπατάωvppanms ἀπατάωviaa2s ὁdams λαόςnamsc οὗτοςrdams καίcc ὁdafs Ἰερουσαλήμnafsp λέγωvppanms εἰρήνηnnfsc εἰμίvifm3s σύrpd-p καίcc ἰδούi ἄπτωviam3s ὁdnfs μάχαιραnnfsc ἕωςpg ὁdgfs ψυχήngfsc αὐτόςrpgmp. **v.11** ἐνpd ὁddms καιρόςndmsc ἐκεῖνοςrddms λέγωvifa3p ὁddms λαόςndmsc οὗτοςrddms καίcc ὁddfs Ἰερουσαλήμndfsp πνεῦμαnnnsc πλάνησιςngfsc ἐνpd ὁddfs ἔρημοςndfsc ὁδόςnnfsc ὁdgfs θυγάτηρngfsc ὁdgms λαόςngmsc ἐγώrpg-s οὐb εἰςpa καθαρόςanansn οὐδέcc εἰςpa ἅγιοςanansn. **v.12** πνεῦμαnansc πλήρωσιςngfsc ἥκωvifa3s ἐγώrpd-s νῦνb δέcc ἐγώrpn-s λαλέωvipa1s κρίμαnanpc πρόςpa αὐτόςrpamp. **v.13** ἰδούi ὡςcs νεφέληnnfsc ἀναβαίνωvifm3s καίcc ὡςcs καταιγίςnnfsc ὁdnnp ἅρμαnnnpc αὐτόςrpgms κοῦφοςannmpc ἀετόςngmpc ὁdnmp ἵππος nnmpc αὐτόςrpgms οὐαίi ἐγώrpd-p ὅτιcs ταλαιπωρέωvipa1p. **v.14** ἀποπλύνωvdpa2s ἀπόpg κακίαngfsc ὁdafs καρδίαnafsc σύrpg-s Ἰερουσαλήμnvfsp ἵναcs σῴζωvsap2s ἕωςbpp πότεb ὑπάρχωvifa3p ἐνpd σύrpd-s διαλογισμόςnnmpc πόνοςngmpc σύrpg-s. **v.15** διότιcs φωνήnnfsc ἀναγγέλλωvppagms ἐκpg Δάνngfsp ἥκωvifa3s καίcc ἀκούωvifp3s πόνοςnnmsc ἐκpg ὄροςngnsc Ἐφραίμngmsp. **v.16** ἀναμιμνήσκωvdaa2p ἔθνοςnanpc ἰδούi ἥκωvixa3p ἀναγγέλλωvdaa2p ἐνpd Ἰερουσαλήμndfsp συστροφήnnfpc ἔρχομαιvipm3p ἐκpg γῆngfsc μακρόθενb καίcc δίδωμιviaa3p ἐπίpa ὁdafp πόλιςnafpc Ἰούδαςngmsp φωνήnafsc αὐτόςrpgfp. **v.17** ὡςcs φυλάσσωvppanmp ἀγρόςnamsc γίνομαιviam3p ἐπίpa αὐτόςrpafs κύκλοςb ὅτιcs ἐγώrpgms ἀμελέωviaa2s λέγωvipa3s κύριοςnnmsc.

πικρά ὅτι ἥψατο ἕως τῆς καρδίας σου. τὴν κοιλίαν μου τὴν 19
κοιλίαν μου ἀλγῶ καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου μαιμάσσει ἡ ψυχή μου σπαράσσεται ἡ καρδία μου οὐ σιωπήσομαι ὅτι φωνὴν σάλπιγγος ἤκουσεν ἡ ψυχή μου κραυγὴν πολέμου. καὶ 20
ταλαιπωρίαν συντριμμὸν ἐπικαλεῖται ὅτι τεταλαιπώρηκεν πᾶσα ἡ γῆ ἄφνω τεταλαιπώρηκεν ἡ σκηνή διεσπάσθησαν αἱ δέρρεις μου. ἕως πότε ὄψομαι φεύγοντας ἀκούων φωνὴν σαλπίγγων. διότι 21, 22
οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐμὲ οὐκ ᾔδεισαν υἱοὶ ἄφρονές εἰσιν καὶ οὐ συνετοί σοφοί εἰσιν τοῦ κακοποιῆσαι τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἐπέγνωσαν. ἐπέβλεψα ἐπὶ τὴν γῆν καὶ ἰδοὺ οὐθέν καὶ εἰς 23
τὸν οὐρανόν καὶ οὐκ ἦν τὰ φῶτα αὐτοῦ. εἶδον τὰ ὄρη καὶ ἦν 24
τρέμοντα καὶ πάντας τοὺς βουνοὺς ταρασσομένους. ἐπέβλεψα 25
καὶ ἰδοὺ οὐκ ἦν ἄνθρωπος καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐπτοεῖτο. εἶδον καὶ ἰδοὺ ὁ Κάρμηλος ἔρημος καὶ πᾶσαι αἱ πόλεις 26
ἐμπεπυρισμέναι πυρὶ ἀπὸ προσώπου κυρίου καὶ ἀπὸ προσώπου ὀργῆς θυμοῦ αὐτοῦ ἠφανίσθησαν. τάδε λέγει κύριος ἔρημος 27
ἔσται πᾶσα ἡ γῆ συντέλειαν δὲ οὐ μὴ ποιήσω. ἐπὶ τούτοις πεν- 28
θείτω ἡ γῆ καὶ συσκοτασάτω ὁ οὐρανὸς ἄνωθεν διότι ἐλάλησα καὶ οὐ μετανοήσω ὥρμησα καὶ οὐκ ἀποστρέψω ἀπ᾽ αὐτῆς. ἀπὸ 29
φωνῆς ἱππέως καὶ ἐντεταμένου τόξου ἀνεχώρησεν πᾶσα χώρα εἰσέδυσαν εἰς τὰ σπήλαια καὶ εἰς τὰ ἄλση ἐκρύβησαν καὶ ἐπὶ τὰς πέτρας ἀνέβησαν πᾶσα πόλις ἐγκατελείφθη οὐ κατοικεῖ ἐν αὐταῖς

---

v.18 ὁ^{dnfp} ὁδός^{nnfpc} σύ^{rpgfs} καί^{cc} ὁ^{dnnp} ἐπιτήδευμα^{nnnpc} σύ^{rpgfs} ποιέω^{viaa3p} οὗτος^{rdanp} σύ^{rpdfs} οὗτος^{rdnfs} ὁ^{dnfs} κακία^{nnfsc} σύ^{rpgfs} ὅτι^{cs} πικρός^{annfsn} ὅτι^{cs} ἅπτω^{viam3s} ἕως^{pg} ὁ^{dgfs} καρδία^{ngfsc} σύ^{rpgfs}. **v.19** ὁ^{dafs} κοιλία^{nafsc} ἐγώ$^{rpg-s}$ ὁ^{dafs} κοιλία^{nafsc} ἐγώ$^{rpg-s}$ ἀλγέω^{vipa1s} καί^{cc} ὁ^{danp} αἰσθητήριον^{nanpc} ὁ^{dgfs} καρδία^{ngfsc} ἐγώ$^{rpg-s}$ μαιμάσσω^{vipa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ σπαράσσω^{vipp3s} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ οὐ^{b} σιωπάω^{vifm1s} ὅτι^{cs} φωνή^{nafsc} σάλπιγξ^{ngfsc} ἀκούω^{viaa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$ κραυγή^{nafsc} πόλεμος^{ngmsc}. **v.20** καί^{cc} ταλαιπωρία^{nafsc} συντριμμός^{namsc} ἐπικαλέω^{vipm3s} ὅτι^{cs} ταλαιπωρέω^{vixa3s} πᾶς^{ainfsn} ὁ^{dnfs} γῆ^{nnfsc} ἄφνω^{b} ταλαιπωρέω^{vixa3s} ὁ^{dnfs} σκηνή^{nnfsc} διασπάω^{viap3p} ὁ^{dnfp} δέρρις^{nnfpc} ἐγώ$^{rpg-s}$. **v.21** ἕως^{bpp} πότε^{b} ὁράω^{vifm1s} φεύγω^{vppaamp} ἀκούω^{vppanms} φωνή^{nafsc} σάλπιγξ^{ngfpc}. **v.22** διότι^{cs} ὁ^{dnmp} ἡγέομαι^{vppmnmp} ὁ^{dgms} λαός^{ngmsc} ἐγώ$^{rpg-s}$ ἐγώ$^{rpa-s}$ οὐ^{b} οἶδα^{viya3p} υἱός^{nnmpc} ἄφρων^{annmpn} εἰμί^{vipa3p} καί^{cc} οὐ^{b} συνετός^{annmpn} σοφός^{annmpn} εἰμί^{vipa3p} ὁ^{dgns} κακοποιέω^{vnaa} ὁ^{dans} δέ^{cc} καλῶς^{b} ποιέω^{vnaa} οὐ^{b} ἐπιγινώσκω^{viaa3p}. **v.23** ἐπιβλέπω^{viaa1s} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} καί^{cc} ἰδού^{i} οὐθείς^{rinns} καί^{cc} εἰς^{pa} ὁ^{dams} οὐρανός^{namsc} καί^{cc} οὐ^{b} εἰμί^{viia3s} ὁ^{dnnp} φῶς^{nnnpc} αὐτός^{rpgms}. **v.24** ὁράω^{viaa1s} ὁ^{danp} ὄρος^{nanpc} καί^{cc} εἰμί^{viia3s} τρέμω^{vppannp} καί^{cc} πᾶς^{aiampn} ὁ^{damp} βουνός^{nampc} ταράσσω^{vppmamp}. **v.25** ἐπιβλέπω^{viaa1s} καί^{cc} ἰδού^{i} οὐ^{b} εἰμί^{viia3s} ἄνθρωπος^{nnmsc} καί^{cc} πᾶς^{ainnpn} ὁ^{dnnp} πετεινός^{nnnpc} ὁ^{dgms} οὐρανός^{ngmsc} πτοέω^{viip3s}. **v.26** ὁράω^{viaa1s} καί^{cc} ἰδού^{i} ὁ^{dnms} Κάρμηλος^{nnmsp} ἔρημος^{annfsn} καί^{cc} πᾶς^{ainfpn} ὁ^{dnfp} πόλις^{nnfpc} ἐμπυρίζω^{vpxpnfp} πῦρ^{ndnsc} ἀπό^{pg} πρόσωπον^{ngnsc} κύριος^{ngmsc} καί^{cc} ἀπό^{pg} πρόσωπον^{ngnsc} ὀργή^{ngfsc} θυμός^{ngmsc} αὐτός^{rpgms} ἀφανίζω^{viap3p}. **v.27** ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἔρημος^{annfsn} εἰμί^{vifm3s} πᾶς^{ainfsn} ὁ^{dnfs} γῆ^{nnfsc} συντέλεια^{nafsc} δέ^{cc} οὐ^{b} μή^{x} ποιέω^{vifa1s}. **v.28** ἐπί^{pd} οὗτος^{rddnp} πενθέω^{vdpa3s} ὁ^{dnfs} γῆ^{nnfsc} καί^{cc} συσκοτάζω^{vdaa3s} ὁ^{dnms} οὐρανός^{nnmsc} ἄνωθεν^{b} διότι^{cs} λαλέω^{viaa1s} καί^{cc} οὐ^{b} μετανοέω^{vifa1s} ὁρμάω^{viaa1s} καί^{cc} οὐ^{b} ἀποστρέφω^{vifa1s} ἀπό^{pg} αὐτός^{rpgfs}.

30 ἄνθρωπος. καὶ σὺ τί ποιήσεις ἐὰν περιβάλῃ κόκκινον καὶ κο-
σμήσῃ κόσμῳ χρυσῷ καὶ ἐὰν ἐγχρίσῃ στίβι τοὺς ὀφθαλμούς σου
εἰς μάτην ὁ ὡραϊσμός σου ἀπώσαντό σε οἱ ἐρασταί σου τὴν ψυχήν
31 σου ζητοῦσιν. ὅτι φωνὴν ὡς ὠδινούσης ἤκουσα τοῦ στεναγμοῦ
σου ὡς πρωτοτοκούσης φωνὴ θυγατρὸς Σιων ἐκλυθήσεται καὶ πα-
ρήσει τὰς χεῖρας αὐτῆς οἴμμοι ἐγώ ὅτι ἐκλείπει ἡ ψυχή μου ἐπὶ
τοῖς ἀνῃρημένοις.

5 περιδράμετε ἐν ταῖς ὁδοῖς Ιερουσαλημ καὶ ἴδετε καὶ γνῶτε καὶ
ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς ἐὰν εὕρητε ἄνδρα εἰ ἔστιν ποιῶν
2 κρίμα καὶ ζητῶν πίστιν καὶ ἵλεως ἔσομαι αὐτοῖς λέγει κύριος. ζῇ
3 κύριος λέγουσιν διὰ τοῦτο οὐκ ἐπὶ ψεύδεσιν ὀμνύουσιν. κύριε
οἱ ὀφθαλμοί σου εἰς πίστιν ἐμαστίγωσας αὐτούς καὶ οὐκ ἐπό-
νεσαν συνετέλεσας αὐτούς καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν
ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν καὶ οὐκ ἠθέλησαν
4 ἐπιστραφῆναι. καὶ ἐγὼ εἶπα ἴσως πτωχοί εἰσιν διότι οὐκ ἐδυνά-
5 σθησαν ὅτι οὐκ ἔγνωσαν ὁδὸν κυρίου καὶ κρίσιν θεοῦ. πορεύ-
σομαι πρὸς τοὺς ἀδροὺς καὶ λαλήσω αὐτοῖς ὅτι αὐτοὶ ἐπέγνωσαν
ὁδὸν κυρίου καὶ κρίσιν θεοῦ καὶ ἰδοὺ ὁμοθυμαδὸν συνέτριψαν
6 ζυγόν διέρρηξαν δεσμούς. διὰ τοῦτο ἔπαισεν αὐτοὺς λέων ἐκ τοῦ
δρυμοῦ καὶ λύκος ἔως τῶν οἰκιῶν ὠλέθρευσεν αὐτούς καὶ πάρδα-
λις ἐγρηγόρησεν ἐπὶ τὰς πόλεις αὐτῶν πάντες οἱ ἐκπορευόμενοι

---

v.29 ἀπόpg φωνήngfsc ἱππεύςngmsc καίcc ἐντείνωvpxpgns τόξονngnsc ἀναχωρέωviaa3s πᾶςainfsn χώραnnfsc εἰσδύωviaa3p εἰςpa ὁdanp σπήλαιονnanpc καίcc εἰςpa ὁdanp ἄλσοςnanpc κρύπτωviap3p καίcc ἐπίpa ὁdafp πέτραnafpc ἀναβαίνωviaa3p πᾶςainfsn πόλιςnnfsc ἐγκαταλείπωviap3s οὐb κατοικέωvipa3s ἐνpd αὐτόςrpdfp ἄνθρωποςnnmsc. **v.30** καίcc σύrpn-s τίςrqans ποιέωvifa2s ἐάνcs περιβάλλωvsam2s κόκκινοςanamsn καίcc κοσμέωvsam2s κόσμοςndmsc χρυσοῦςandmsn καίcc ἐάνcs ἐγχρίωvsam2s στίβιndnsc ὁdamp ὀφθαλμόςnampc σύrpg-s εἰςpp μάτηνb ὁdnms ὡραϊσμόςnnmsc σύrpg-s ἀπωθέωviam3p σύrpa-s ὁdnmp ἐραστήςnnmpc σύrpg-s ὁdafs ψυχήnafsc σύrpg-s ζητέωvipa3p. **v.31** ὅτιcs φωνήnafsc ὡςcs ὠδίνωvppagfs ἀκούωviaa1s ὁdgms στεναγμόςngmsc σύrpg-s ὡςcs πρωτοτοκέωvppagfs φωνήnnfsc θυγάτηρngfsc Σιών ngfsp ἐκλύωvifp3s καίcc παρίημιvifa3s ὁdafp χείρnafpc αὐτόςrpgfs οἴμμοιi ἐγώrpn-s ὅτιcs ἐκλείπωvipa3s ὁdnfs ψυχήnnfsc ἐγώrpg-s ἐπίpd ὁddmp ἀναιρέωvpxpdmp. **5. v.1** περιτρέχωvdaa2p ἐνpd ὁddfp ὁδόςndfpc Ἰερουσαλήμngfsp καίcc ὁράωvdaa2p καίcc γινώσκωvdaa2p καίcc ζητέωvdaa2p ἐνpd ὁddfp πλατύςandfpn αὐτόςrpgfs ἐάνcs εὑρίσκωvsaa2p ἀνήρnamsc εἰcs εἰμίvipa3s ποιέωvppanms κρίμαnansc καίcc ζητέωvppanms πίστιςnafsc καίcc ἵλεωςannmsn εἰμίvifm1s αὐτόςrpdmp λέγωvipa3s κύριοςnnmsc. **v.2** ζάωvipa3s κύριοςnnmsc λέγωvipa3p διάpa οὗτοςrdans οὐb ἐπίpd ψεῦδοςndnpc ὄμνυμιvipa3p. **v.3** κύριοςnvmsc ὁdnmp ὀφθαλμόςnnmpc σύrpg-s εἰςpa πίστιςnafsc μαστιγόωviaa2s αὐτόςrpamp καίcc οὐb πονέωviaa3p συντελέωviaa2s αὐτόςrpamp καίcc οὐb θέλωviaa3p δέχομαιvnam παιδείαnafsc στερεόωviaa3p ὁdanp πρόσωπονnanpc αὐτόςrpgmp ὑπέρpa πέτραnafsc καίcc οὐb θέλωviaa3p ἐπιστρέφωvnap. **v.4** καίcc ἐγώrpnms λέγωviaa1s ἴσωςb πτωχόςannmpn εἰμίvipa3p διότιcs οὐb δύναμαιviap3p ὅτιcs οὐb γινώσκωviaa3p ὁδόςnafsc κύριοςngmsc καίcc κρίσιςnafsc θεόςngmsc. **v.5** πορεύομαιvifm1s πρόςpa ὁdamp ἀδρόςanampn καίcc λαλέωvifa1s αὐτόςrpdmp ὅτιcs αὐτόςrpnmp ἐπιγινώσκωviaa3p ὁδόςnafsc κύριοςngmsc καίcc κρίσιςnafsc θεόςngmsc καίcc ἰδούi ὁμοθυμαδόνb συντρίβωviaa3p ζυγόςnamsc διαρρήγνυμιviaa3p δεσμόςnampc.

ἀπ᾽ αὐτῶν θηρευθήσονται ὅτι ἐπλήθυναν ἀσεβείας αὐτῶν ἴσχυσαν
ἐν ταῖς ἀποστροφαῖς αὐτῶν. ποίᾳ τούτων ἵλεως γένωμαί σοι οἱ 7
υἱοί σου ἐγκατέλιπόν με καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσιν θεοῖς καὶ
ἐχόρτασα αὐτούς καὶ ἐμοιχῶντο καὶ ἐν οἴκοις πορνῶν κατέλυον.
ἵπποι θηλυμανεῖς ἐγενήθησαν ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλη- 8
σίον αὐτοῦ ἐχρεμέτιζον. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι λέγει 9
κύριος ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου. ἀνάβητε 10
ἐπὶ τοὺς προμαχῶνας αὐτῆς καὶ κατασκάψατε συντέλειαν δὲ μὴ
ποιήσητε ὑπολίπεσθε τὰ ὑποστηρίγματα αὐτῆς ὅτι τοῦ κυρίου εἰ-
σίν. ὅτι ἀθετῶν ἠθέτησεν εἰς ἐμέ λέγει κύριος οἶκος Ισραηλ καὶ 11
οἶκος Ιουδα. ἐψεύσαντο τῷ κυρίῳ ἑαυτῶν καὶ εἶπαν οὐκ ἔστιν 12
ταῦτα οὐχ ἥξει ἐφ᾽ ἡμᾶς κακά καὶ μάχαιραν καὶ λιμὸν οὐκ ὀψό-
μεθα. οἱ προφῆται ἡμῶν ἦσαν εἰς ἄνεμον καὶ λόγος κυρίου οὐχ 13
ὑπῆρχεν ἐν αὐτοῖς οὕτως ἔσται αὐτοῖς. διὰ τοῦτο τάδε λέγει κύ- 14
ριος παντοκράτωρ ἀνθ᾽ ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο ἰδοὺ ἐγὼ δέ-
δωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ καὶ τὸν λαὸν τοῦτον
ξύλα καὶ καταφάγεται αὐτούς. ἰδοὺ ἐγὼ ἐπάγω ἐφ᾽ ὑμᾶς ἔθνος 15
πόρρωθεν οἶκος Ισραηλ λέγει κύριος ἔθνος οὗ οὐκ ἀκούσῃ τῆς
φωνῆς τῆς γλώσσης αὐτοῦ. πάντες ἰσχυροὶ καὶ κατέδονται τὸν 16, 17
θερισμὸν ὑμῶν καὶ τοὺς ἄρτους ὑμῶν καὶ κατέδονται τοὺς υἱοὺς

---

v.6 διάpa οὗτοςrdans παίωviaa3s αὐτόςrpamp λέωνnnmsc ἐκpg ὁdgms δρυμόςngmsc καίcc λύκοςnnmsc ἔωςpg ὁdgfp οἰκίαngfpc ὀλεθρεύωviaa3s αὐτόςrpamp καίcc πάρδαλιςnnfsc γρηγορέωviaa3s ἐπίpa ὁdafp πόλιςnafpc αὐτόςrpgmp πᾶςainmpn ὁdnmp ἐκπορεύομαιvppmnmp ἀπόpg αὐτόςrpgmp θηρεύωvifp3p ὅτιcs πληθύνωviaa3p ἀσέβειαnafpc αὐτόςrpgmp ἰσχύωviaa3p ἐνpd ὁddfp ἀποστροφήndfpc αὐτόςrpgmp. **v.7** ποῖοςaqdfsn οὗτοςrdgmp ἵλεωςannmsn γίνομαιvsam1s σύrpdfs ὁdnmp υἱόςnnmpc σύrpgfs ἐγκαταλείπωviaa3p ἐγώrpams καίcc ὄμνυμιviia3p ἐνpd ὁddmp οὐb εἰμίvppadmp θεόςndmpc καίcc χορτάζωviaa1s αὐτόςrpamp καίcc μοιχάομαιviim3p καίcc ἐνpd οἶκοςndmpc πόρνηngfpc καταλύωviia3p. **v.8** ἵπποςnnmpc θηλυμανήςannmpn γίνομαιviap3p ἕκαστοςainmsn ἐπίpa ὁdafs γυνήnafsc ὁdgms πλησίονb αὐτόςrpgms χρεμετίζωviia3p. **v.9** μήx ἐπίpd οὗτοςrddnp οὐb ἐπισκέπτομαιvifm1s λέγωvipa3s κύριοςnnmsc ἢcc ἐνpd ἔθνοςndnsc τοιοῦτοςaddnsn οὐb ἐκδικέωvifa3s ὁdnfs ψυχήnnfsc ἐγώrpgms. **v.10** ἀναβαίνωvdaa2p ἐπίpa ὁdamp προμαχώνnampc αὐτόςrpgfs καίcc κατασκάπτωvdaa2p συντέλειαnafsc δέcc μήx ποιέωvsaa2p ὑπολείπωvdam2p ὁdanp ὑποστήριγμαnanpc αὐτόςrpgfs ὅτιcs ὁdgms κύριοςngmsc εἰμίvipa3p. **v.11** ὅτιcs ἀθετέωvppanms ἀθετέωviaa3s εἰςpa ἐγώrpams λέγωvipa3s κύριοςnnmsc οἶκοςnnmsc Ἰσραήλngmsp καίcc οἶκοςnnmsc Ἰούδαςngmsp. **v.12** ψεύδομαιviam3p ὁddms κύριοςndmsc ἑαυτοῦrxgmp καίcc λέγωviaa3p οὐb εἰμίvipa3s οὗτοςrdnnp οὐb ἥκωvifa3s ἐπίpa ἐγώrpamp κακόςannnpn καίcc μάχαιραnafsc καίcc λιμόςnamsc οὐb ὁράωvifm1p. **v.13** ὁdnmp προφήτηςnnmpc ἐγώrpgmp εἰμίviia3p εἰςpa ἄνεμοςnamsc καίcc λόγοςnnmsc κύριοςngmsc οὐb ὑπάρχωviia3s ἐνpd αὐτόςrpdmp οὕτωςb εἰμίvifm3s αὐτόςrpdmp. **v.14** διάpa οὗτοςrdans ὅδεrdanp λέγωvipa3s κύριοςnnmsc παντοκράτωρnnmsc ἀντίpg ὅςrrgnp λαλέωviaa2p ὁdans ῥῆμαnansc οὗτοςrdans ἰδούi ἐγώrpnms δίδωμιvixa1s ὁdamp λόγοςnampc ἐγώrpgms εἰςpa ὁdans στόμαnansc σύrpgms πῦρnansc καίcc ὁdams λαόςnamsc οὗτοςrdams ξύλονnanpc καίcc κατεσθίωvifm3s αὐτόςrpamp. **v.15** ἰδούi ἐγώrpnms ἐπάγωvipa1s ἐπίpa σύrpa-p ἔθνοςnansc πόρρωθενb οἶκοςnnmsc Ἰσραήλngmsp λέγωvipa3s κύριοςnnmsc ἔθνοςnansc ὅςrrgns οὐb ἀκούωvifm2s ὁdgfs φωνήngfsc ὁdgfs γλῶσσαngfsc αὐτόςrpgns.

ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν καὶ κατέδονται τὰ πρόβατα ὑμῶν καὶ τοὺς μόσχους ὑμῶν καὶ κατέδονται τοὺς ἀμπελῶνας ὑμῶν καὶ τοὺς συκῶνας ὑμῶν καὶ τοὺς ἐλαιῶνας ὑμῶν καὶ ἀλοήσουσιν τὰς πόλεις τὰς ὀχυρὰς ὑμῶν ἐφ᾽ αἷς ὑμεῖς πεποίθατε ἐπ᾽ αὐταῖς
18 ἐν ῥομφαίᾳ. καὶ ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις λέγει κύριος ὁ
19 θεός σου οὐ μὴ ποιήσω ὑμᾶς εἰς συντέλειαν. καὶ ἔσται ὅταν εἴπητε τίνος ἕνεκεν ἐποίησεν κύριος ὁ θεὸς ἡμῶν ἡμῖν ἅπαντα ταῦτα καὶ ἐρεῖς αὐτοῖς ἀνθ᾽ ὧν ἐδουλεύσατε θεοῖς ἀλλοτρίοις ἐν
20 τῇ γῇ ὑμῶν οὕτως δουλεύσετε ἀλλοτρίοις ἐν γῇ οὐχ ὑμῶν. ἀναγγείλατε ταῦτα εἰς τὸν οἶκον Ιακωβ καὶ ἀκουσθήτω ἐν τῷ Ιουδα.
21 ἀκούσατε δὴ ταῦτα λαὸς μωρὸς καὶ ἀκάρδιος ὀφθαλμοὶ αὐτοῖς
22 καὶ οὐ βλέπουσιν ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσιν. μὴ ἐμὲ οὐ φοβηθήσεσθε λέγει κύριος ἢ ἀπὸ προσώπου μου οὐκ εὐλαβηθήσεσθε τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ πρόσταγμα αἰώνιον καὶ οὐχ ὑπερβήσεται αὐτό καὶ ταραχθήσεται καὶ οὐ δυνήσεται
23 καὶ ἠχήσουσιν τὰ κύματα αὐτῆς καὶ οὐχ ὑπερβήσεται αὐτό. τῷ δὲ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος καὶ ἀπειθὴς καὶ ἐξέκλιναν
24 καὶ ἀπήλθοσαν. καὶ οὐκ εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν φοβηθῶμεν δὴ κύριον τὸν θεὸν ἡμῶν τὸν διδόντα ἡμῖν ὑετὸν πρόιμον καὶ ὄψιμον κατὰ καιρὸν πληρώσεως προστάγματος θερισμοῦ καὶ ἐ-
25 φύλαξεν ἡμῖν. αἱ ἀνομίαι ὑμῶν ἐξέκλιναν ταῦτα καὶ αἱ ἁμαρτίαι

---

v.17 καί^cc κατεσθίω^vifm3p ὁ^dams θερισμός^namsc σύ^rpg-p καί^cc ὁ^damp ἄρτος^nampc σύ^rpg-p καί^cc κατεσθίω^vifm3p ὁ^damp υἱός^nampc σύ^rpg-p καί^cc ὁ^dafp θυγάτηρ^nafpc σύ^rpg-p καί^cc κατεσθίω^vifm3p ὁ^danp πρόβατον^nanpc σύ^rpg-p καί^cc ὁ^damp μόσχος^nampc σύ^rpg-p καί^cc κατεσθίω^vifm3p ὁ^damp ἀμπελών^nampc σύ^rpg-p καί^cc ὁ^damp συκών^nampc σύ^rpg-p καί^cc ὁ^damp ἐλαιών^nampc σύ^rpg-p καί^cc ἀλοάω^vifa3p ὁ^dafp πόλις^nafpc ὁ^dafp ὀχυρός^anafpn σύ^rpg-p ἐπί^pd ὅς^rrdfp σύ^rpn-p πείθω^vixa2p ἐπί^pd αὐτός^rpdfp ἐν^pd ῥομφαία^ndfsc. **v.18** καί^cc εἰμί^vifm3s ἐν^pd ὁ^ddfp ἡμέρα^ndfpc ἐκεῖνος^rddfp λέγω^vipa3s κύριος^nnmsc ὁ^dnms θεός^nnmsc σύ^rpg-s οὐ^b μή^x ποιέω^vifa1s σύ^rpa-p εἰς^pa συντέλεια^nafsc. **v.19** καί^cc εἰμί^vifm3s ὅταν^cs λέγω^vsaa2p τίς^rqgns ἕνεκα^pg ποιέω^viaa3s κύριος^nnmsc ὁ^dnms θεός^nnmsc ἐγώ^rpg-p ἐγώ^rpd-p ἅπας^ananpn οὗτος^rdanp καί^cc λέγω^vifa2s αὐτός^rpdmp ἀντί^pg ὅς^rrgnp δουλεύω^viaa2p θεός^ndmpc ἀλλότριος^andmpn ἐν^pd ὁ^ddfs γῆ^ndfsc σύ^rpg-p οὗτως^b δουλεύω^vifa2p ἀλλότριος^andmpn ἐν^pd γῆ^ndfsc οὐ^b σύ^rpg-p. **v.20** ἀναγγέλλω^vdaa2p οὗτος^rdanp εἰς^pa ὁ^dams οἶκος^namsc Ἰακώβ^ngmsp καί^cc ἀκούω^vdap3s ἐν^pd ὁ^ddms Ἰούδας^ndmsp. **v.21** ἀκούω^vdaa2p δή^x οὗτος^rdanp λαός^nnmsc μωρός^annmsn καί^cc ἀκάρδιος^annmsn ὀφθαλμός^nnmpc αὐτός^rpdmp καί^cc οὐ^b βλέπω^vipa3p οὗς^nnnpc αὐτός^rpdmp καί^cc οὐ^b ἀκούω^vipa3p. **v.22** μή^x ἐγώ^rpams οὐ^b φοβέω^vifp2p λέγω^vipa3s κύριος^nnmsc ἤ^cc ἀπό^pg πρόσωπον^ngnsc ἐγώ^rpgms οὐ^b εὐλαβέομαι^vifp2p ὁ^dams τάσσω^vpaaams ἄμμος^nafsc ὅριον^nansc ὁ^ddfs θάλασσα^ndfsc πρόσταγμα^nansc αἰώνιος^anansn καί^cc οὐ^b ὑπερβαίνω^vifm3s αὐτός^rpans καί^cc ταράσσω^vifp3s καί^cc οὐ^b δύναμαι^vifm3s καί^cc ἠχέω^vifa3p ὁ^dnnp κῦμα^nnnpc αὐτός^rpgfs καί^cc οὐ^b ὑπερβαίνω^vifm3s αὐτός^rpans. **v.23** ὁ^ddms δέ^cc λαός^ndmsc οὗτος^rddms γίνομαι^viap3s καρδία^nnfsc ἀνήκοος^annfsn καί^cc ἀπειθής^annfsn καί^cc ἐκκλίνω^viaa3p καί^cc ἀπέρχομαι^viaa3p. **v.24** καί^cc οὐ^b λέγω^viaa3p ἐν^pd ὁ^ddfs καρδία^ndfsc αὐτός^rpgmp φοβέω^vsap1p δή^x κύριος^namsc ὁ^dams θεός^namsc ἐγώ^rpg-p ὁ^dams δίδωμι^vppaams ἐγώ^rpd-p ὑετός^namsc πρόϊμος^anamsn καί^cc ὄψιμος^anamsn κατά^pa καιρός^namsc πλήρωσις^ngfsc πρόσταγμα^ngnsc θερισμός^ngmsc καί^cc φυλάσσω^viaa3s ἐγώ^rpd-p.

ὑμῶν ἀπέστησαν τὰ ἀγαθὰ ἀφ᾽ ὑμῶν. ὅτι εὑρέθησαν ἐν τῷ λαῷ 26
μου ἀσεβεῖς καὶ παγίδας ἔστησαν διαφθεῖραι ἄνδρας καὶ συνε-
λαμβάνοσαν. ὡς παγὶς ἐφεσταμένη πλήρης πετεινῶν οὕτως οἱ 27
οἶκοι αὐτῶν πλήρεις δόλου διὰ τοῦτο ἐμεγαλύνθησαν καὶ ἐπλού-
τησαν. καὶ παρέβησαν κρίσιν οὐκ ἔκριναν κρίσιν ὀρφανοῦ καὶ 28
κρίσιν χήρας οὐκ ἐκρίνοσαν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι 29
λέγει κύριος ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου.
ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς. οἱ προφῆται προφη- 30, 31
τεύουσιν ἄδικα καὶ οἱ ἱερεῖς ἐπεκρότησαν ταῖς χερσὶν αὐτῶν καὶ
ὁ λαός μου ἠγάπησεν οὕτως καὶ τί ποιήσετε εἰς τὰ μετὰ ταῦτα.

ἐνισχύσατε υἱοὶ Βενιαμιν ἐκ μέσου τῆς Ιερουσαλημ καὶ ἐν Θε- **6**
κουε σημάνατε σάλπιγγι καὶ ὑπὲρ Βαιθαχαρμα ἄρατε σημεῖον ὅτι
κακὰ ἐκκέκυφεν ἀπὸ βορρᾶ καὶ συντριβὴ μεγάλη γίνεται. καὶ 2
ἀφαιρεθήσεται τὸ ὕψος σου θύγατερ Σιων. εἰς αὐτὴν ἥξουσιν 3
ποιμένες καὶ τὰ ποίμνια αὐτῶν καὶ πήξουσιν ἐπ᾽ αὐτὴν σκηνὰς
κύκλῳ καὶ ποιμανοῦσιν ἕκαστος τῇ χειρὶ αὐτοῦ. παρασκευά- 4
σασθε ἐπ᾽ αὐτὴν εἰς πόλεμον ἀνάστητε καὶ ἀναβῶμεν ἐπ᾽ αὐτὴν
μεσημβρίας οὐαὶ ἡμῖν ὅτι κέκλικεν ἡ ἡμέρα ὅτι ἐκλείπουσιν αἱ
σκιαὶ τῆς ἑσπέρας. ἀνάστητε καὶ ἀναβῶμεν ἐν τῇ νυκτὶ καὶ δια- 5
φθείρωμεν τὰ θεμέλια αὐτῆς. ὅτι τάδε λέγει κύριος ἔκκοψον τὰ 6
ξύλα αὐτῆς ἔκχεον ἐπὶ Ιερουσαλημ δύναμιν ὦ πόλις ψευδής ὅλη

---

v.25 ὁ^{dnfp} ἀνομία^{nnfpc} σύ$^{rpg-p}$ ἐκκλίνω^{viaa3p} οὗτος^{rdanp} καί^{cc} ὁ^{dnfp} ἁμαρτία^{nnfpc} σύ$^{rpg-p}$ ἀφίστημι^{viaa3p} ὁ^{danp} ἀγαθός^{ananpn} ἀπό^{pg} σύ$^{rpg-p}$. **v.26** ὅτι^{cs} εὑρίσκω^{viap3p} ἐν^{pd} ὁ^{ddms} λαός^{ndmsc} ἐγώ^{rpgms} ἀσεβής^{annmpn} καί^{cc} παγὶς^{nafpc} ἵστημι^{viaa3p} διαφθείρω^{vnaa} ἀνήρ^{nampc} καί^{cc} συλλαμβάνω^{viia3p}. **v.27** ὡς^{cs} παγὶς^{nnfsc} ἐφίστημι^{vpxmnfs} πλήρης^{annfsn} πετεινός^{ngnpc} οὕτως^{b} ὁ^{dnmp} οἶκος^{nnmpc} αὐτός^{rpgmp} πλήρης^{annmpn} δόλος^{ngmsc} διά^{pa} οὗτος^{rdans} μεγαλύνω^{viap3p} καί^{cc} πλουτέω^{viaa3p}. **v.28** καί^{cc} παραβαίνω^{viaa3p} κρίσις^{nafsc} οὐ^{b} κρίνω^{viaa3p} κρίσις^{nafsc} ὀρφανός^{angmsn} καί^{cc} κρίσις^{nafsc} χήρα^{ngfsc} οὐ^{b} κρίνω^{viia3p}. **v.29** μή^{x} ἐπί^{pd} οὗτος^{rddnp} οὐ^{b} ἐπισκέπτομαι^{vifm1s} λέγω^{vipa3s} κύριος^{nnmsc} ἤ^{cc} ἐν^{pd} ἔθνος^{ndnsc} ὁ^{ddns} τοιοῦτος^{addnsn} οὐ^{b} ἐκδικέω^{vifa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg-s}$. **v.30** ἔκστασις^{nnfsc} καί^{cc} φρικτός^{annnpn} γίνομαι^{viap3s} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.31** ὁ^{dnmp} προφήτης^{nnmpc} προφητεύω^{vipa3p} ἄδικος^{ananpn} καί^{cc} ὁ^{dnmp} ἱερεύς^{nnmpc} ἐπικροτέω^{viaa3p} ὁ^{ddfp} χείρ^{ndfpc} αὐτός^{rpgmp} καί^{cc} ὁ^{dnms} λαός^{nnmsc} ἐγώ$^{rpg-s}$ ἀγαπάω^{viaa3s} οὕτως^{b} καί^{cc} τίς^{rqans} ποιέω^{vifa2p} εἰς^{pa} ὁ^{danp} μετά^{pa} οὗτος^{rdanp}.

6. v.1 ἐνισχύω^{vdaa2p} υἱός^{nnmpc} Βενιαμίν^{ngmsp} ἐκ^{pg} μέσος^{angnsn} ὁ^{dgfs} Ἰερουσαλήμ^{ngfsp} καί^{cc} ἐν^{pd} Θεκουε^{nd-sp} σημαίνω^{vdaa2p} σάλπιγξ^{ndfsc} καί^{cc} ὑπέρ^{pa} Βαιθαχαρμα^{nafsp} αἴρω^{vdaa2p} σημεῖον^{nansc} ὅτι^{cs} κακός^{annnpn} ἐκκύπτω^{vixa3s} ἀπό^{pg} βορέας^{ngmsc} καί^{cc} συντριβή^{nnfsc} μέγας^{annfsn} γίνομαι^{vipm3s}. **v.2** καί^{cc} ἀφαιρέω^{vifp3s} ὁ^{dnns} ὕψος^{nnnsc} σύ^{rpgfs} θυγάτηρ^{nvfsc} Σιών^{ngfsp}. **v.3** εἰς^{pa} αὐτός^{rpafs} ἥκω^{vifa3p} ποιμήν^{nnmpc} καί^{cc} ὁ^{dnnp} ποίμνιον^{nnnpc} αὐτός^{rpgmp} καί^{cc} πήγνυμι^{vifa3p} ἐπί^{pa} αὐτός^{rpafs} σκηνή^{nafpc} κύκλος^{b} καί^{cc} ποιμαίνω^{vifa3p} ἕκαστος^{ainmsn} ὁ^{ddfs} χείρ^{ndfsc} αὐτός^{rpgms}. **v.4** παρασκευάζω^{vdam2p} ἐπί^{pa} αὐτός^{rpafs} εἰς^{pa} πόλεμος^{namsc} ἀνίστημι^{vdaa2p} καί^{cc} ἀναβαίνω^{vsaa1p} ἐπί^{pa} αὐτός^{rpafs} μεσημβρία^{ngfsc} οὐαί^{i} ἐγώ$^{rpd-p}$ ὅτι^{cs} κλίνω^{vixa3s} ὁ^{dnfs} ἡμέρα^{nnfsc} ὅτι^{cs} ἐκλείπω^{vipa3p} ὁ^{dnfp} σκιά^{nnfpc} ὁ^{dgfs} ἑσπέρα^{ngfsc}. **v.5** ἀνίστημι^{vdaa2p} καί^{cc} ἀναβαίνω^{vsaa1p} ἐν^{pd} ὁ^{ddfs} νύξ^{ndfsc} καί^{cc} διαφθείρω^{vspa1p} ὁ^{danp} θεμέλιον^{nanpc} αὐτός^{rpgfs}.

7 καταδυναστεία ἐν αὐτῇ. ὡς ψύχει λάκκος ὕδωρ οὕτως ψύχει
κακία αὐτῆς ἀσέβεια καὶ ταλαιπωρία ἀκουσθήσεται ἐν αὐτῇ ἐπὶ
8 πρόσωπον αὐτῆς διὰ παντός πόνῳ καὶ μάστιγι. παιδευθήσῃ Ιε-
ρουσαλημ μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ μὴ ποιήσω σε ἄβατον
9 γῆν ἥτις οὐ κατοικηθήσεται. ὅτι τάδε λέγει κύριος καλαμᾶσθε
καλαμᾶσθε ὡς ἄμπελον τὰ κατάλοιπα τοῦ Ισραηλ ἐπιστρέψατε
10 ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλλον αὐτοῦ. πρὸς τίνα λαλήσω καὶ
διαμαρτύρωμαι καὶ ἀκούσεται ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν καὶ
οὐ δύνανται ἀκούειν ἰδοὺ τὸ ῥῆμα κυρίου ἐγένετο αὐτοῖς εἰς ὀ-
11 νειδισμόν οὐ μὴ βουληθῶσιν αὐτὸ ἀκοῦσαι. καὶ τὸν θυμόν μου
ἔπλησα καὶ ἐπέσχον καὶ οὐ συνετέλεσα αὐτούς ἐκχεῶ ἐπὶ νή-
πια ἔξωθεν καὶ ἐπὶ συναγωγὴν νεανίσκων ἅμα ὅτι ἀνὴρ καὶ γυνὴ
12 συλλημφθήσονται πρεσβύτερος μετὰ πλήρους ἡμερῶν. καὶ με-
ταστραφήσονται αἱ οἰκίαι αὐτῶν εἰς ἑτέρους ἀγροὶ καὶ αἱ γυναῖκες
αὐτῶν ἐπὶ τὸ αὐτό ὅτι ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς κατοικοῦν-
13 τας τὴν γῆν ταύτην λέγει κύριος. ὅτι ἀπὸ μικροῦ αὐτῶν καὶ ἕως
μεγάλου πάντες συνετελέσαντο ἄνομα ἀπὸ ἱερέως καὶ ἕως ψευ-
14 δοπροφήτου πάντες ἐποίησαν ψευδῆ. καὶ ἰῶντο τὸ σύντριμμα
τοῦ λαοῦ μου ἐξουθενοῦντες καὶ λέγοντες εἰρήνη εἰρήνη καὶ ποῦ
15 ἐστιν εἰρήνη. κατῃσχύνθησαν ὅτι ἐξελίποσαν καὶ οὐδ᾽ ὡς καται-
σχυνόμενοι κατῃσχύνθησαν καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν

---

v.6 ὅτι^{cs} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἐκκόπτω^{vdaa2s} ὁ^{danp} ξύλον^{nanpc} αὐτός^{rpgfs} ἐκχέω^{vdaa2s} ἐπί^{pa} Ἰερουσαλήμ^{nafsp} δύναμις^{nafsc} ὦ^{i} πόλις^{nvfsc} ψευδής^{anvfsn} ὅλος^{annfsn} καταδυναστεία^{nnfsc} ἐν^{pd} αὐτός^{rpdfs}. **v.7** ὡς^{cs} ψύχω^{vipa3s} λάκκος^{nnmsc} ὕδωρ^{nansc} οὕτως^{b} ψύχω^{vipa3s} κακία^{nnfsc} αὐτός^{rpgfs} ἀσέβεια^{nnfsc} καί^{cc} ταλαιπωρία^{nnfsc} ἀκούω^{vifp3s} ἐν^{pd} αὐτός^{rpdfs} ἐπί^{pa} πρόσωπον^{nansc} αὐτός^{rpgfs} διά^{pg} πᾶς^{aignsn} πόνος^{ndmsc} καί^{cc} μάστιξ^{ndfsc}. **v.8** παιδεύω^{vifp2s} Ἰερουσαλήμ^{nvfsp} μή^{x} ἀφίστημι^{vsaa3s} ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ^{rpgms} ἀπό^{pg} σύ^{rpgfs} μή^{x} ποιέω^{vsaa1s} σύ^{rpafs} ἄβατος^{anafsn} γῆ^{nafsc} ὅστις^{rrnfs} οὐ^{b} κατοικέω^{vifp3s}. **v.9** ὅτι^{cs} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} καλαμάομαι^{vipm2p} καλαμάομαι^{vipm2p} ὡς^{cs} ἄμπελος^{nafsc} ὁ^{danp} κατάλοιπος^{ananpn} ὁ^{dgms} Ἰσραήλ^{ngmsp} ἐπιστρέφω^{vdaa2p} ὡς^{cs} ὁ^{dnms} τρυγάω^{vppanms} ἐπί^{pa} ὁ^{dams} κάρταλλος^{namsc} αὐτός^{rpgms}. **v.10** πρός^{pa} τίς^{rqams} λαλέω^{vsaa1s} καί^{cc} διαμαρτύρομαι^{vspm1s} καί^{cc} ἀκούω^{vifm3s} ἰδού^{i} ἀπερίτμητος^{annnpn} ὁ^{dnnp} οὖς^{nnnpc} αὐτός^{rpgmp} καί^{cc} οὐ^{b} δύναμαι^{vipm3p} ἀκούω^{vnpa} ἰδού^{i} ὁ^{dnns} ῥῆμα^{nnnsc} κύριος^{ngmsc} γίνομαι^{viam3s} αὐτός^{rpdmp} εἰς^{pa} ὀνειδισμός^{namsc} οὐ^{b} μή^{x} βούλομαι^{vsap3p} αὐτός^{rpans} ἀκούω^{vnaa}. **v.11** καί^{cc} ὁ^{dams} θυμός^{namsc} ἐγώ^{rpgms} πίμπλημι^{viaa1s} καί^{cc} ἐπέχω^{viaa1s} καί^{cc} οὐ^{b} συντελέω^{viaa1s} αὐτός^{rpamp} ἐκχέω^{vifa1s} ἐπί^{pa} νήπιος^{ananpn} ἔξωθεν^{b} καί^{cc} ἐπί^{pa} συναγωγή^{nafsc} νεανίσκος^{ngmpc} ἅμα^{b} ὅτι^{cs} ἀνήρ^{nnmsc} καί^{cc} γυνή^{nnfsc} συλλαμβάνω^{vifp3p} πρεσβύτερος^{annmsc} μετά^{pg} πλήρης^{angmsn} ἡμέρα^{ngfpc}. **v.12** καί^{cc} μεταστρέφω^{vifp3p} ὁ^{dnfp} οἰκία^{nnfpc} αὐτός^{rpgmp} εἰς^{pa} ἕτερος^{aiampn} ἀγρός^{nnmpc} καί^{cc} ὁ^{dnfp} γυνή^{nnfpc} αὐτός^{rpgmp} ἐπί^{pa} ὁ^{dans} αὐτός^{rpans} ὅτι^{cs} ἐκτείνω^{vifa1s} ὁ^{dafs} χείρ^{nafsc} ἐγώ^{rpgms} ἐπί^{pa} ὁ^{damp} κατοικέω^{vppaamp} ὁ^{dafs} γῆ^{nafsc} οὗτος^{rdafs} λέγω^{vipa3s} κύριος^{nnmsc}. **v.13** ὅτι^{cs} ἀπό^{pg} μικρός^{angmsn} αὐτός^{rpgmp} καί^{cc} ἕως^{pg} μέγας^{angmsn} πᾶς^{ainmpn} συντελέω^{viam3p} ἄνομος^{ananpn} ἀπό^{pg} ἱερεύς^{ngmsc} καί^{cc} ἕως^{pg} ψευδοπροφήτης^{ngmsc} πᾶς^{ainmpn} ποιέω^{viaa3p} ψευδής^{ananpn}. **v.14** καί^{cc} ἰάομαι^{viim3p} ὁ^{dans} σύντριμμα^{nansc} ὁ^{dgms} λαός^{ngmsc} ἐγώ^{rpgms} ἐξουθενέω^{vppanmp} καί^{cc} λέγω^{vppanmp} εἰρήνη^{nnfsc} εἰρήνη^{nnfsc} καί^{cc} ποῦ^{b} εἰμί^{vipa3s} εἰρήνη^{nnfsc}.

διὰ τοῦτο πεσοῦνται ἐν τῇ πτώσει αὐτῶν καὶ ἐν καιρῷ ἐπισκοπῆς
αὐτῶν ἀπολοῦνται εἶπεν κύριος. τάδε λέγει κύριος στῆτε ἐπὶ 16
ταῖς ὁδοῖς καὶ ἴδετε καὶ ἐρωτήσατε τρίβους κυρίου αἰωνίους καὶ
ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθή καὶ βαδίζετε ἐν αὐτῇ καὶ εὑ-
ρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν καὶ εἶπαν οὐ πορευσόμεθα.
κατέστακα ἐφ᾽ ὑμᾶς σκοπούς ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος 17
καὶ εἶπαν οὐκ ἀκουσόμεθα. διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη καὶ οἱ 18
ποιμαίνοντες τὰ ποίμνια αὐτῶν. ἄκουε γῆ ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ 19
τὸν λαὸν τοῦτον κακά τὸν καρπὸν ἀποστροφῆς αὐτῶν ὅτι τῶν λό-
γων μου οὐ προσέσχον καὶ τὸν νόμον μου ἀπώσαντο. ἵνα τί μοι 20
λίβανον ἐκ Σαβα φέρετε καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν τὰ ὁλο-
καυτώματα ὑμῶν οὐκ εἰσιν δεκτά καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν
μοι. διὰ τοῦτο τάδε λέγει κύριος ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λα- 21
ὸν τοῦτον ἀσθένειαν καὶ ἀσθενήσουσιν ἐν αὐτῇ πατέρες καὶ υἱοὶ
ἅμα γείτων καὶ ὁ πλησίον αὐτοῦ ἀπολοῦνται. τάδε λέγει κύριος 22
ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βορρᾶ καὶ ἔθνη ἐξεγερθήσεται ἀπ᾽ ἐσχά-
του τῆς γῆς. τόξον καὶ ζιβύνην κρατήσουσιν ἰταμός ἐστιν καὶ 23
οὐκ ἐλεήσει φωνὴ αὐτοῦ ὡς θάλασσα κυμαίνουσα ἐφ᾽ ἵπποις καὶ
ἅρμασιν παρατάξεται ὡς πῦρ εἰς πόλεμον πρὸς σέ θύγατερ Σιων.
ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν παρελύθησαν αἱ χεῖρες ἡμῶν θλῖψις 24

---

ἐχθρός ἑστερέωσεν δεξιὰν αὐτοῦ ὡς ὑπεναντίος καὶ ἀπέκτεινεν
πάντα τὰ ἐπιθυμήματα ὀφθαλμῶν μου ἐν σκηνῇ θυγατρὸς Σιων
5 ἐξέχεεν ὡς πῦρ τὸν θυμὸν αὐτοῦ. ἐγενήθη κύριος ὡς ἐχθρός
κατεπόντισεν Ισραηλ κατεπόντισεν πάσας τὰς βάρεις αὐτῆς διέ-
φθειρεν τὰ ὀχυρώματα αὐτοῦ καὶ ἐπλήθυνεν τῇ θυγατρὶ Ιουδα

---

v.20 ὁράω^{vdaa2s} κύριος^{nvmsc} ὅτι^{cs} θλίβω^{vipp1s} ὁ^{dnfs} κοιλία^{nnfsc} ἐγώ$^{rpg-s}$ ταράσσω^{viap3s} καί^{cc} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ στρέφω^{viap3s} ἐν^{pd} ἐγώ$^{rpd-s}$ ὅτι^{cs} παραπικραίνω^{vppanfs} παραπικραίνω^{viaa1s} ἔξωθεν^{b} ἀτεκνόω^{viaa3s} ἐγώ$^{rpa-s}$ μάχαιρα^{nnfsc} ὥσπερ^{cs} θάνατος^{nnmsc} ἐν^{pd} οἶκος^{ndmsc}. **v.21** ἀκούω^{vdaa2p} δή^{x} ὅτι^{cs} στενάζω^{vipa1s} ἐγώ$^{rpn-s}$ οὐ^{b} εἰμί^{vipa3s} ὁ^{dnms} παρακαλέω^{vppanms} ἐγώ$^{rpa-s}$ πᾶς^{ainmpn} ὁ^{dnmp} ἐχθρός^{annmpn} ἐγώ$^{rpg-s}$ ἀκούω^{viaa3p} ὁ^{danp} κακός^{ananpn} ἐγώ$^{rpg-s}$ καί^{cc} χαίρω^{viap3p} ὅτι^{cs} σύ$^{rpn-s}$ ποιέω^{viaa2s} ἐπάγω^{viaa2s} ἡμέρα^{nafsc} καλέω^{viaa2s} καιρός^{namsc} καί^{cc} γίνομαι^{viam3p} ὅμοιος^{annmpn} ἐγώ$^{rpd-s}$. **v.22** εἰσέρχομαι^{voaa3s} πᾶς^{ainfsn} ὁ^{dnfs} κακία^{nnfsc} αὐτός^{rpgmp} κατά^{pa} πρόσωπον^{nansc} σύ$^{rpg-s}$ καί^{cc} ἐπιφυλλίζω^{vdaa2s} αὐτός^{rpdmp} ὅς^{rrams} τρόπος^{namsc} ποιέω^{viaa3p} ἐπιφυλλίς^{nafsc} περί^{pg} πᾶς^{aignpn} ὁ^{dgnp} ἁμάρτημα^{ngnpc} ἐγώ$^{rpg-s}$ ὅτι^{cs} πολύς^{annmpn} ὁ^{dnmp} στεναγμός^{nnmpc} ἐγώ$^{rpg-s}$ καί^{cc} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ λυπέω^{vipp3s}.

2. v.1 πῶς^{b} γνοφόω^{viaa3s} ἐν^{pd} ὀργή^{ndfsc} αὐτός^{rpgms} κύριος^{nnmsc} ὁ^{dafs} θυγάτηρ^{nafsc} Σιών^{ngfsp} καταρρίπτω^{viaa3s} ἐκ^{pg} οὐρανός^{ngmsc} εἰς^{pa} γῆ^{nafsc} δόξασμα^{nansc} Ἰσραήλ^{ngmsp} καί^{cc} οὐ^{b} μιμνήσκομαι^{viap3s} ὑποπόδιον^{ngnsc} πούς^{ngmpc} αὐτός^{rpgms} ἐν^{pd} ἡμέρα^{ndfsc} ὀργή^{ngfsc} αὐτός^{rpgms}. **v.2** καταποντίζω^{viaa3s} κύριος^{nnmsc} οὐ^{b} φείδομαι^{vpamnms} πᾶς^{aianpn} ὁ^{danp} ὡραῖος^{ananpn} Ἰακώβ^{ngmsp} καθαιρέω^{viaa3s} ἐν^{pd} θυμός^{ndmsc} αὐτός^{rpgms} ὁ^{danp} ὀχύρωμα^{nanpc} ὁ^{dgfs} θυγάτηρ^{ngfsc} Ἰούδας^{ngmsp} κολλάω^{viaa3s} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} βεβηλόω^{viaa3s} βασιλεύς^{namsc} αὐτός^{rpgfs} καί^{cc} ἄρχων^{nampc} αὐτός^{rpgfs}. **v.3** συγκλάω^{viaa3s} ἐν^{pd} ὀργή^{ndfsc} θυμός^{ngmsc} αὐτός^{rpgms} πᾶς^{aiansn} κέρας^{nansc} Ἰσραήλ^{ngmsp} ἀποστρέφω^{viaa3s} ὀπίσω^{b} δεξιός^{anafsn} αὐτός^{rpgms} ἀπό^{pg} πρόσωπον^{ngnsc} ἐχθρός^{angmsn} καί^{cc} ἀνάπτω^{viaa3s} ἐν^{pd} Ἰακώβ^{ndmsp} ὡς^{cs} πῦρ^{nansc} φλόξ^{nafsc} καί^{cc} κατεσθίω^{viaa3s} πᾶς^{aianpn} ὁ^{danp} κύκλος^{b}. **v.4** ἐντείνω^{viaa3s} τόξον^{nansc} αὐτός^{rpgms} ὡς^{cs} ἐχθρός^{annmsn} στερεόω^{viaa3s} δεξιός^{anafsn} αὐτός^{rpgms} ὡς^{cs} ὑπεναντίος^{annmsn} καί^{cc} ἀποκτείνω^{viaa3s} πᾶς^{aianpn} ὁ^{danp} ἐπιθύμημα^{nanpc} ὀφθαλμός^{ngmpc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} σκηνή^{ndfsc} θυγάτηρ^{ngfsc} Σιών^{ngfsp} ἐκχέω^{viaa3s} ὡς^{cs} πῦρ^{nansc} ὁ^{dams} θυμός^{namsc} αὐτός^{rpgms}.

ταπεινουμένην καὶ τεταπεινωμένην. καὶ διεπέτασεν ὡς ἄμπελον 6
τὸ σκήνωμα αὐτοῦ διέφθειρεν ἑορτὴν αὐτοῦ ἐπελάθετο κύριος
ὃ ἐποίησεν ἐν Σιων ἑορτῆς καὶ σαββάτου καὶ παρώξυνεν ἐμβρι-
μήματι ὀργῆς αὐτοῦ βασιλέα καὶ ἱερέα καὶ ἄρχοντα. ἀπώσατο 7
κύριος θυσιαστήριον αὐτοῦ ἀπετίναξεν ἁγίασμα αὐτοῦ συνέτρι-
ψεν ἐν χειρὶ ἐχθροῦ τεῖχος βάρεων αὐτῆς φωνὴν ἔδωκαν ἐν οἴκῳ
κυρίου ὡς ἐν ἡμέρᾳ ἑορτῆς. καὶ ἐπέστρεψεν κύριος τοῦ δια- 8
φθεῖραι τεῖχος θυγατρὸς Σιων ἐξέτεινεν μέτρον οὐκ ἀπέστρεψεν
χεῖρα αὐτοῦ ἀπὸ καταπατήματος καὶ ἐπένθησεν τὸ προτείχισμα
καὶ τεῖχος ὁμοθυμαδὸν ἠσθένησεν. ἐνεπάγησαν εἰς γῆν πύλαι 9
αὐτῆς ἀπώλεσεν καὶ συνέτριψεν μοχλοὺς αὐτῆς βασιλέα αὐτῆς
καὶ ἄρχοντας αὐτῆς ἐν τοῖς ἔθνεσιν οὐκ ἔστιν νόμος καί γε προ-
φῆται αὐτῆς οὐκ εἶδον ὅρασιν παρὰ κυρίου. ἐκάθισαν εἰς τὴν 10
γῆν ἐσιώπησαν πρεσβύτεροι θυγατρὸς Σιων ἀνεβίβασαν χοῦν ἐ-
πὶ τὴν κεφαλὴν αὐτῶν περιεζώσαντο σάκκους κατήγαγον εἰς γῆν
ἀρχηγοὺς παρθένους ἐν Ιερουσαλημ. ἐξέλιπον ἐν δάκρυσιν οἱ 11
ὀφθαλμοί μου ἐταράχθη ἡ καρδία μου ἐξεχύθη εἰς γῆν ἡ δόξα
μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου ἐν τῷ ἐκλιπεῖν
νήπιον καὶ θηλάζοντα ἐν πλατείαις πόλεως. ταῖς μητράσιν αὐτῶν 12
εἶπαν ποῦ σῖτος καὶ οἶνος ἐν τῷ ἐκλύεσθαι αὐτοὺς ὡς τραυματίας
ἐν πλατείαις πόλεως ἐν τῷ ἐκχεῖσθαι ψυχὰς αὐτῶν εἰς κόλπον

---

v.5 γίνομαι^{viap3s} κύριος^{nnmsc} ὡς^{cs} ἐχθρός^{annmsn} καταποντίζω^{viaa3s} Ἰσραήλ^{namsp} καταποντίζω^{viaa3s} πᾶς^{aiafpn} ὁ^{dafp} βάρις^{nafpc} αὐτός^{rpgfs} διαφθείρω^{viaa3s} ὁ^{danp} ὀχύρωμα^{nanpc} αὐτός^{rpgms} καί^{cc} πληθύνω^{viaa3s} ὁ^{ddfs} θυγάτηρ^{ndfsc} Ἰούδας^{ngmsp} ταπεινόω^{vpppafs} καί^{cc} ταπεινόω^{vpxpafs}. **v.6** καί^{cc} διαπετάννυμι^{viaa3s} ὡς^{cs} ἄμπελος^{nafsc} ὁ^{dans} σκήνωμα^{nansc} αὐτός^{rpgms} διαφθείρω^{viaa3s} ἑορτή^{nafsc} αὐτός^{rpgms} ἐπιλανθάνομαι^{viam3s} κύριος^{nnmsc} ὅς^{rrans} ποιέω^{viaa3s} ἐν^{pd} Σιών^{ndfsp} ἑορτή^{ngfsc} καί^{cc} σάββατον^{ngnsc} καί^{cc} παροξύνω^{viaa3s} ἐμβρίμημα^{ndnsc} ὀργή^{ngfsc} αὐτός^{rpgms} βασιλεύς^{namsc} καί^{cc} ἱερεύς^{namsc} καί^{cc} ἄρχων^{namsc}. **v.7** ἀπωθέω^{viam3s} κύριος^{nnmsc} θυσιαστήριον^{nansc} αὐτός^{rpgms} ἀποτινάσσω^{viaa3s} ἁγίασμα^{nansc} αὐτός^{rpgms} συντρίβω^{viaa3s} ἐν^{pd} χείρ^{ndfsc} ἐχθρός^{angmsn} τεῖχος^{nansc} βάρις^{ngfpc} αὐτός^{rpgfs} φωνή^{nafsc} δίδωμι^{viaa3p} ἐν^{pd} οἶκος^{ndmsc} κύριος^{ngmsc} ὡς^{cs} ἐν^{pd} ἡμέρα^{ndfsc} ἑορτή^{ngfsc}. **v.8** καί^{cc} ἐπιστρέφω^{viaa3s} κύριος^{nnmsc} ὁ^{dgns} διαφθείρω^{vnaa} τεῖχος^{nansc} θυγάτηρ^{ngfsc} Σιών^{ngfsp} ἐκτείνω^{viaa3s} μέτρον^{nansc} οὐ^{b} ἀποστρέφω^{viaa3s} χείρ^{nafsc} αὐτός^{rpgms} ἀπό^{pg} καταπάτημα^{ngnsc} καί^{cc} πενθέω^{viaa3s} ὁ^{dans} προτείχισμα^{nansc} καί^{cc} τεῖχος^{nansc} ὁμοθυμαδόν^{b} ἀσθενέω^{viaa3s}. **v.9** ἐμπήγνυμι^{viap3p} εἰς^{pa} γῆ^{nafsc} πύλη^{nnfpc} αὐτός^{rpgfs} ἀπόλλυμι^{viaa3s} καί^{cc} συντρίβω^{viaa3s} μοχλός^{nampc} αὐτός^{rpgfs} βασιλεύς^{namsc} αὐτός^{rpgfs} καί^{cc} ἄρχων^{nampc} αὐτός^{rpgfs} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc} οὐ^{b} εἰμί^{vipa3s} νόμος^{nnmsc} καί^{cc} γέ^{x} προφήτης^{nnmpc} αὐτός^{rpgfs} οὐ^{b} ὁράω^{viaa3p} ὅρασις^{nafsc} παρά^{pg} κύριος^{ngmsc}. **v.10** καθίζω^{viaa3p} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} σιωπάω^{viaa3p} πρεσβύτερος^{annmpc} θυγάτηρ^{ngfsc} Σιών^{ngfsp} ἀναβιβάζω^{viaa3p} χοῦς^{namsc} ἐπί^{pa} ὁ^{dafs} κεφαλή^{nafsc} αὐτός^{rpgmp} περιζώννυμι^{viam3p} σάκκος^{nampc} κατάγω^{viaa3p} εἰς^{pa} γῆ^{nafsc} ἀρχηγός^{nampc} παρθένος^{nafpc} ἐν^{pd} Ἰερουσαλήμ^{ndfsp}. **v.11** ἐκλείπω^{viaa3p} ἐν^{pd} δάκρυ^{ndnpc} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} ἐγώ$^{rpg-s}$ ταράσσω^{viap3s} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg-s}$ ἐκχέω^{viap3s} εἰς^{pa} γῆ^{nafsc} ὁ^{dnfs} δόξα^{nnfsc} ἐγώ$^{rpg-s}$ ἐπί^{pa} ὁ^{dans} σύντριμμα^{nansc} ὁ^{dgfs} θυγάτηρ^{ngfsc} ὁ^{dgms} λαός^{ngmsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddns} ἐκλείπω^{vnaa} νήπιος^{annnsn} καί^{cc} θηλάζω^{vppannp} ἐν^{pd} πλατύς^{andfpn} πόλις^{ngfsc}.

13 μητέρων αὐτῶν. τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι θύγατερ
Ιερουσαλημ τίς σώσει σε καὶ παρακαλέσει σε παρθένος θύγα-
τερ Σιων ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου τίς ἰάσεταί σε.
14 προφῆταί σου εἶδοσάν σοι μάταια καὶ ἀφροσύνην καὶ οὐκ ἀπε-
κάλυψαν ἐπὶ τὴν ἀδικίαν σου τοῦ ἐπιστρέψαι αἰχμαλωσίαν σου
15 καὶ εἶδοσάν σοι λήμματα μάταια καὶ ἐξώσματα. ἐκρότησαν ἐπὶ
σὲ χεῖρας πάντες οἱ παραπορευόμενοι ὁδόν ἐσύρισαν καὶ ἐκίνη-
σαν τὴν κεφαλὴν αὐτῶν ἐπὶ τὴν θυγατέρα Ιερουσαλημ ἡ αὕτη
ἡ πόλις ἣν ἐροῦσιν στέφανος δόξης εὐφροσύνη πάσης τῆς γῆς.
16 διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου ἐσύρισαν καὶ
ἔβρυξαν ὀδόντας εἶπαν κατεπίομεν αὐτήν πλὴν αὕτη ἡ ἡμέρα
17 ἣν προσεδοκῶμεν εὕρομεν αὐτήν εἴδομεν. ἐποίησεν κύριος ἃ
ἐνεθυμήθη συνετέλεσεν ῥήματα αὐτοῦ ἃ ἐνετείλατο ἐξ ἡμερῶν
ἀρχαίων καθεῖλεν καὶ οὐκ ἐφείσατο καὶ ηὐφρανεν ἐπὶ σὲ ἐχθρόν
18 ὕψωσεν κέρας θλίβοντός σε. ἐβόησεν καρδία αὐτῶν πρὸς κύ-
ριον τείχη Σιων καταγάγετε ὡς χειμάρρους δάκρυα ἡμέρας καὶ
νυκτός μὴ δῷς ἔκνηψιν σεαυτῇ μὴ σιωπήσαιτο θύγατερ ὁ ὀφθαλ-
19 μός σου. ἀνάστα ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου
ἔκχεον ὡς ὕδωρ καρδίαν σου ἀπέναντι προσώπου κυρίου ἆρον
πρὸς αὐτὸν χεῖράς σου περὶ ψυχῆς νηπίων σου τῶν ἐκλυομένων

---

v.12 ὁ^ddfp μήτηρ^ndfpc αὐτός^rpgmp λέγω^viaa3p ποῦ^b σῖτος^nnmsc καί^cc οἶνος^nnmsc ἐν^pd ὁ^ddns ἐκλύω^vnpp αὐτός^rpamp ὡς^cs τραυματίας^nampc ἐν^pd πλατύς^andfpn πόλις^ngfsc ἐν^pd ὁ^ddns ἐκχέω^vnpp ψυχή^nafpc αὐτός^rpgmp εἰς^pa κόλπος^namsc μήτηρ^ngfpc αὐτός^rpgmp. **v.13** τίς^rqans μαρτυρέω^vifa1s σύ^rpd-s ἤ^cc τίς^rqans ὁμοιόω^vifa1s σύ^rpd-s θυγάτηρ^nvfsc Ἰερουσαλήμ^ngfsp τίς^rqnms σῴζω^vifa3s σύ^rpa-s καί^cc παρακαλέω^vifa3s σύ^rpa-s παρθένος^nnfsc θυγάτηρ^nvfsc Σιών^ngfsp ὅτι^cs μεγαλύνω^viap3s ποτήριον^nnnsc συντριβή^ngfsc σύ^rpg-s τίς^rqnms ἰάομαι^vifm3s σύ^rpa-s. **v.14** προφήτης^nnmpc σύ^rpg-s ὁράω^viaa3p σύ^rpd-s μάταιος^ananpn καί^cc ἀφροσύνη^nafsc καί^cc οὐ^b ἀποκαλύπτω^viaa3p ἐπί^pa ὁ^dafs ἀδικία^nafsc σύ^rpg-s ὁ^dgns ἐπιστρέφω^vnaa αἰχμαλωσία^nafsc σύ^rpg-s καί^cc ὁράω^viaa3p σύ^rpd-s λῆμμα^nanpc μάταιος^ananpn καί^cc ἔξωσμα^nanpc. **v.15** κροτέω^viaa3p ἐπί^pa σύ^rpa-s χείρ^nafpc πᾶς^ainmpn ὁ^dnmp παραπορεύομαι^vppmnmp ὁδός^nafsc συρίζω^viaa3p καί^cc κινέω^viaa3p ὁ^dafs κεφαλή^nafsc αὐτός^rpgmp ἐπί^pa ὁ^dafs θυγάτηρ^nafsc Ἰερουσαλήμ^ngfsp ἤ^b οὗτος^rdnfs ὁ^dnfs πόλις^nnfsc ὅς^rrafs λέγω^vifa3p στέφανος^nnmsc δόξα^ngfsc εὐφροσύνη^nnfsc πᾶς^aigfsn ὁ^dgfs γῆ^ngfsc. **v.16** διανοίγω^viaa3p ἐπί^pa σύ^rpa-s στόμα^nansc αὐτός^rpgmp πᾶς^ainmpn ὁ^dnmp ἐχθρός^annmpn σύ^rpg-s συρίζω^viaa3p καί^cc βρύχω^viaa3p ὀδούς^nampc λέγω^viaa3p καταπίνω^viia1p αὐτός^rpafs πλήν^b οὗτος^rdnfs ὁ^dnfs ἡμέρα^nnfsc ὅς^rrafs προσδοκάω^viia1p εὑρίσκω^viaa1p αὐτός^rpafs ὁράω^viaa1p. **v.17** ποιέω^viaa3s κύριος^nnmsc ὅς^rrnnp ἐνθυμέομαι^viap3s συντελέω^viaa3s ῥῆμα^nanpc αὐτός^rpgms ὅς^rranp ἐντέλλομαι^viam3s ἐκ^pg ἡμέρα^ngfpc ἀρχαῖος^angfpn καθαιρέω^viaa3s καί^cc οὐ^b φείδομαι^viam3s καί^cc εὐφραίνω^viaa3s ἐπί^pa σύ^rpa-s ἐχθρός^anamsn ὑψόω^viaa3s κέρας^nansc θλίβω^vppagms σύ^rpa-s. **v.18** βοάω^viaa3s καρδία^nnfsc αὐτός^rpgmp πρός^pa κύριος^namsc τεῖχος^nvnpc Σιών^ngfsp κατάγω^vdaa2p ὡς^cs χείμαρρος^nampc δάκρυ^nanpc ἡμέρα^ngfsc καί^cc νύξ^ngfsc μή^x δίδωμι^vsaa2s ἔκνηψις^nafsc σεαυτοῦ^rxdfs μή^x σιωπάω^voam3s θυγάτηρ^nvfsc ὁ^dnms ὀφθαλμός^nnmsc σύ^rpg-s.

λιμῷ ἐπ᾽ ἀρχῆς πασῶν ἐξόδων. ἰδέ κύριε καὶ ἐπίβλεψον τίνι ἐ- 20
πεφύλλισας οὕτως εἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν
ἐπιφυλλίδα ἐποίησεν μάγειρος φονευθήσονται νήπια θηλάζοντα
μαστούς ἀποκτενεῖς ἐν ἁγιάσματι κυρίου ἱερέα καὶ προφήτην.
ἐκοιμήθησαν εἰς τὴν ἔξοδον παιδάριον καὶ πρεσβύτης παρθένοι 21
μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ ἐν ῥομφαίᾳ
καὶ ἐν λιμῷ ἀπέκτεινας ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγείρευσας οὐκ
ἐφείσω. ἐκάλεσεν ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν καὶ 22
οὐκ ἐγένοντο ἐν ἡμέρᾳ ὀργῆς κυρίου ἀνασῳζόμενος καὶ καταλε-
λειμμένος ὡς ἐπεκράτησα καὶ ἐπλήθυνα ἐχθρούς μου πάντας.

ἐγὼ ἀνὴρ ὁ βλέπων πτωχείαν ἐν ῥάβδῳ θυμοῦ αὐτοῦ ἐπ᾽ ἐμέ. **3**
παρέλαβέν με καὶ ἀπήγαγεν εἰς σκότος καὶ οὐ φῶς. πλὴν ἐν ἐμοὶ 2, 3
ἐπέστρεψεν χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν. ἐπαλαίωσεν σάρκας 4
μου καὶ δέρμα μου ὀστέα μου συνέτριψεν. ἀνῳκοδόμησεν κατ᾽ 5
ἐμοῦ καὶ ἐκύκλωσεν κεφαλήν μου καὶ ἐμόχθησεν. ἐν σκοτεινοῖς 6
ἐκάθισέν με ὡς νεκροὺς αἰῶνος. ἀνῳκοδόμησεν κατ᾽ ἐμοῦ καὶ 7
οὐκ ἐξελεύσομαι ἐβάρυνεν χαλκόν μου. καί γε κεκράξομαι καὶ 8
βοήσω ἀπέφραξεν προσευχήν μου. ἀνῳκοδόμησεν ὁδούς μου 9
ἐνέφραξεν τρίβους μου ἐτάραξεν. ἄρκος ἐνεδρεύουσα αὐτός μοι 10
λέων ἐν κρυφαίοις. κατεδίωξεν ἀφεστηκότα καὶ κατέπαυσέν με 11

---

v.19 ἀνίστημι^{vdaa2s} ἀγαλλιάω^{vdam2s} ἐν^{pd} νύξ^{ndfsc} εἰς^{pa} ἀρχή^{nafpc} φυλακή^{ngfsc} σύ$^{rpg\text{-}s}$ ἐκχέω^{vdaa2s} ὡς^{cs} ὕδωρ^{nansc} καρδία^{nafsc} σύ$^{rpg\text{-}s}$ ἀπέναντι^{pg} πρόσωπον^{ngnsc} κύριος^{ngmsc} αἴρω^{vdaa2s} πρός^{pa} αὐτός^{rpams} χείρ^{nafpc} σύ$^{rpg\text{-}s}$ περί^{pg} ψυχή^{ngfsc} νήπιος^{angmpn} σύ$^{rpg\text{-}s}$ ὁ^{dgmp} ἐκλύω^{vpppgmp} λιμός^{ndmsc} ἐπί^{pg} ἀρχή^{ngfsc} πᾶς^{aigfpn} ἔξοδος^{ngfpc}. **v.20** ὁράω^{vdaa2s} κύριος^{nvmsc} καί^{cc} ἐπιβλέπω^{vdaa2s} τίς^{rqdns} ἐπιφυλλίζω^{viaa2s} οὕτως^{b} εἰ^{cs} ἐσθίω^{vifm3p} γυνή^{nnfpc} καρπός^{namsc} κοιλία^{ngfsc} αὐτός^{rpgmp} ἐπιφυλλίς^{nafsc} ποιέω^{viaa3s} μάγειρος^{nnmsc} φονεύω^{vifp3p} νήπιος^{annnpn} θηλάζω^{vppannp} μαστός^{nampc} ἀποκτείνω^{vifa2s} ἐν^{pd} ἁγίασμα^{ndnsc} κύριος^{ngmsc} ἱερεύς^{namsc} καί^{cc} προφήτης^{namsc}. **v.21** κοιμάομαι^{viap3p} εἰς^{pa} ὁ^{dafs} ἔξοδος^{nafsc} παιδάριον^{nnnsc} καί^{cc} πρεσβύτης^{nnmsc} παρθένος^{nnfpc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} νεανίσκος^{nnmpc} ἐγώ$^{rpg\text{-}s}$ πορεύομαι^{viap3p} ἐν^{pd} αἰχμαλωσία^{ndfsc} ἐν^{pd} ῥομφαία^{ndfsc} καί^{cc} ἐν^{pd} λιμός^{ndmsc} ἀποκτείνω^{viaa2s} ἐν^{pd} ἡμέρα^{ndfsc} ὀργή^{ngfsc} σύ$^{rpg\text{-}s}$ μαγειρεύω^{viaa2s} οὐ^{b} φείδομαι^{viam2s}. **v.22** καλέω^{viaa3s} ἡμέρα^{nafsc} ἑορτή^{ngfsc} παροικία^{ngfsc} ἐγώ$^{rpg\text{-}s}$ κυκλόθεν^{b} καί^{cc} οὐ^{b} γίνομαι^{viam3p} ἐν^{pd} ἡμέρα^{ndfsc} ὀργή^{ngfsc} κύριος^{ngmsc} ἀνασῴζω^{vppmnms} καί^{cc} καταλείπω^{vpxpnms} ὡς^{cs} ἐπικρατέω^{viaa1s} καί^{cc} πληθύνω^{viaa1s} ἐχθρός^{anampn} ἐγώ$^{rpg\text{-}s}$ πᾶς^{aiampn}. **3. v.1** ἐγώ$^{rpn\text{-}s}$ ἀνήρ^{nnmsc} ὁ^{dnms} βλέπω^{vppanms} πτωχεία^{nafsc} ἐν^{pd} ῥάβδος^{ndfsc} θυμός^{ngmsc} αὐτός^{rpgms} ἐπί^{pa} ἐγώ$^{rpa\text{-}s}$. **v.2** παραλαμβάνω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ καί^{cc} ἀπάγω^{viaa3s} εἰς^{pa} σκότος^{nansc} καί^{cc} οὐ^{b} φῶς^{nansc}. **v.3** πλήν^{b} ἐν^{pd} ἐγώ$^{rpd\text{-}s}$ ἐπιστρέφω^{viaa3s} χείρ^{nafsc} αὐτός^{rpgms} ὅλος^{anafsn} ὁ^{dafs} ἡμέρα^{nafsc}. **v.4** παλαιόω^{viaa3s} σάρξ^{nafpc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} δέρμα^{nansc} ἐγώ$^{rpg\text{-}s}$ ὀστέον^{nanpc} ἐγώ$^{rpg\text{-}s}$ συντρίβω^{viaa3s}. **v.5** ἀνοικοδομέω^{viaa3s} κατά^{pg} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} κυκλόω^{viaa3s} κεφαλή^{nafsc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} μοχθέω^{viaa3s}. **v.6** ἐν^{pd} σκοτεινός^{andnpn} καθίζω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ ὡς^{cs} νεκρός^{anampn} αἰών^{ngmsc}. **v.7** ἀνοικοδομέω^{viaa3s} κατά^{pg} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} οὐ^{b} ἐξέρχομαι^{vifm1s} βαρύνω^{viaa3s} χαλκός^{namsc} ἐγώ$^{rpg\text{-}s}$. **v.8** καί^{cc} γέ^{x} κράζω^{vifm1s} καί^{cc} βοάω^{vifa1s} ἀποφράσσω^{viaa3s} προσευχή^{nafsc} ἐγώ$^{rpg\text{-}s}$. **v.9** ἀνοικοδομέω^{viaa3s} ὁδός^{nafpc} ἐγώ$^{rpg\text{-}s}$ ἐμφράσσω^{viaa3s} τρίβος^{nafpc} ἐγώ$^{rpg\text{-}s}$ ταράσσω^{viaa3s}. **v.10** ἄρκος^{nnfsc} ἐνεδρεύω^{vppanfs} αὐτός^{rpnms} ἐγώ$^{rpd\text{-}s}$ λέων^{nnmsc} ἐν^{pd} κρυφαῖος^{andnpn}.

12 ἔθετό με ἡφανισμένην. ἐνέτεινεν τόξον αὐτοῦ καὶ ἐστήλωσέν με
13 ὡς σκοπὸν εἰς βέλος. εἰσήγαγεν τοῖς νεφροῖς μου ἰοὺς φαρέτρας
14 αὐτοῦ. ἐγενήθην γέλως παντὶ λαῷ μου ψαλμὸς αὐτῶν ὅλην τὴν
15, 16 ἡμέραν. ἐχόρτασέν με πικρίας ἐμέθυσέν με χολῆς. καὶ ἐξέβα-
17 λεν ψήφῳ ὀδόντας μου ἐψώμισέν με σποδόν. καὶ ἀπώσατο ἐξ
18 εἰρήνης ψυχήν μου ἐπελαθόμην ἀγαθὰ καὶ εἶπα ἀπώλετο νεῖκός
19 μου καὶ ἡ ἐλπίς μου ἀπὸ κυρίου. ἐμνήσθην ἀπὸ πτωχείας μου
20 καὶ ἐκ διωγμοῦ μου πικρίας καὶ χολῆς μου. μνησθήσεται καὶ
21 καταδολεσχήσει ἐπ᾽ ἐμὲ ἡ ψυχή μου. ταύτην τάξω εἰς τὴν καρ-
25 δίαν μου διὰ τοῦτο ὑπομενῶ. ἀγαθὸς κύριος τοῖς ὑπομένουσιν
26 αὐτόν ψυχῇ ἣ ζητήσει αὐτὸν ἀγαθὸν. καὶ ὑπομενεῖ καὶ ἡσυχάσει
27 εἰς τὸ σωτήριον κυρίου. ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεό-
28 τητι αὐτοῦ. καθήσεται κατὰ μόνας καὶ σιωπήσεται ὅτι ἦρεν ἐφ᾽
30 ἑαυτῷ. δώσει τῷ παίοντι αὐτὸν σιαγόνα χορτασθήσεται ὀνειδι-
31, 32 σμῶν. ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται κύριος. ὅτι ὁ ταπεινώσας
33 οἰκτιρήσει κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. ὅτι οὐκ ἀπεκρίθη
34 ἀπὸ καρδίας αὐτοῦ καὶ ἐταπείνωσεν υἱοὺς ἀνδρός. τοῦ ταπεινῶ-
35 σαι ὑπὸ τοὺς πόδας αὐτοῦ πάντας δεσμίους γῆς. τοῦ ἐκκλῖναι
36 κρίσιν ἀνδρὸς κατέναντι προσώπου ὑψίστου. καταδικάσαι ἄν-
37 θρωπον ἐν τῷ κρίνεσθαι αὐτὸν κύριος οὐκ εἶπεν. τίς οὕτως εἶπεν

---

v.11 καταδιώκω^{viaa3s} ἀφίστημι^{vpxaams} καί^{cc} καταπαύω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ τίθημι^{viam3s} ἐγώ$^{rpa\text{-}s}$ ἀφανίζω^{vpxpafs}. **v.12** ἐντείνω^{viaa3s} τόξον^{nansc} αὐτός^{rpgms} καί^{cc} στηλόω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ ὡς^{cs} σκοπός^{namsc} εἰς^{pa} βέλος^{nansc}. **v.13** εἰσάγω^{viaa3s} ὁ^{ddmp} νεφρός^{ndmpc} ἐγώ$^{rpg\text{-}s}$ ἰός^{nampc} φαρέτρα^{ngfsc} αὐτός^{rpgms}. **v.14** γίνομαι^{viap1s} γέλως^{nnmsc} πᾶς^{aidmsn} λαός^{ndmsc} ἐγώ$^{rpg\text{-}s}$ ψαλμός^{nnmsc} αὐτός^{rpgmp} ὅλος^{anafsn} ὁ^{dafs} ἡμέρα^{nafsc}. **v.15** χορτάζω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ πικρία^{ngfsc} μεθύσκω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ χολή^{ngfsc}. **v.16** καί^{cc} ἐκβάλλω^{viaa3s} ψῆφος^{ndfsc} ὀδούς^{nampc} ἐγώ$^{rpg\text{-}s}$ ψωμίζω^{viaa3s} ἐγώ$^{rpa\text{-}s}$ σποδός^{nafsc}. **v.18** καί^{cc} λέγω^{viaa1s} ἀπόλλυμι^{viam3s} νεῖκος^{nnnsc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} ὁ^{dnfs} ἐλπίς^{nnfsc} ἐγώ$^{rpg\text{-}s}$ ἀπό^{pg} κύριος^{ngmsc}. **v.19** μιμνήσκομαι^{viap1s} ἀπό^{pg} πτωχεία^{ngfsc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} ἐκ^{pg} διωγμός^{ngmsc} ἐγώ$^{rpg\text{-}s}$ πικρία^{ngfsc} καί^{cc} χολή^{ngfsc} ἐγώ$^{rpg\text{-}s}$. **v.20** μιμνήσκομαι^{vifp3s} καί^{cc} καταδολεσχέω^{vifa3s} ἐπί^{pa} ἐγώ$^{rpa\text{-}s}$ ὁ^{dnfs} ψυχή^{nnfsc} ἐγώ$^{rpg\text{-}s}$. **v.21** οὗτος^{rdafs} τάσσω^{vifa1s} εἰς^{pa} ὁ^{dafs} καρδία^{nafsc} ἐγώ$^{rpg\text{-}s}$ διά^{pa} οὗτος^{rdans} ὑπομένω^{vifa1s}. **v.25** ἀγαθός^{annmsn} κύριος^{nnmsc} ὁ^{ddmp} ὑπομένω^{vppadmp} αὐτός^{rpams} ψυχή^{ndfsc} ὅς^{rrnfs} ζητέω^{vifa3s} αὐτός^{rpams} ἀγαθός^{anamsn}. **v.26** καί^{cc} ὑπομένω^{vifa3s} καί^{cc} ἡσυχάζω^{vifa3s} εἰς^{pa} ὁ^{dans} σωτήριον^{nansc} κύριος^{ngmsc}. **v.27** ἀγαθός^{annnsn} ἀνήρ^{ndmsc} ὅταν^{cs} αἴρω^{vsaa3s} ζυγός^{namsc} ἐν^{pd} νεότης^{ndfsc} αὐτός^{rpgms}. **v.28** κάθημαι^{vifm3s} κατά^{pa} μόνος^{anafpn} καί^{cc} σιωπάω^{vifm3s} ὅτι^{cs} αἴρω^{viaa3s} ἐπί^{pd} ἑαυτοῦ^{rxdms}. **v.30** δίδωμι^{vifa3s} ὁ^{ddms} παίω^{vppadms} αὐτός^{rpams} σιαγών^{namsc} χορτάζω^{vifp3s} ὀνειδισμός^{ngmpc}. **v.31** ὅτι^{cs} οὐ^{b} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} ἀπωθέω^{vifm3s} κύριος^{nnmsc}. **v.32** ὅτι^{cs} ὁ^{dnms} ταπεινόω^{vpaanms} οἰκτίρω^{vifa3s} κατά^{pa} ὁ^{dans} πλῆθος^{nansc} ὁ^{dgns} ἔλεος^{ngnsc} αὐτός^{rpgms}. **v.33** ὅτι^{cs} οὐ^{b} ἀποκρίνομαι^{viap3s} ἀπό^{pg} καρδία^{ngfsc} αὐτός^{rpgms} καί^{cc} ταπεινόω^{viaa3s} υἱός^{nampc} ἀνήρ^{ngmsc}. **v.34** ὁ^{dgns} ταπεινόω^{vnaa} ὑπό^{pa} ὁ^{damp} πούς^{nampc} αὐτός^{rpgms} πᾶς^{aiampn} δέσμιος^{anampn} γῆ^{ngfsc}. **v.35** ὁ^{dgns} ἐκκλίνω^{vnaa} κρίσις^{nafsc} ἀνήρ^{ngmsc} κατέναντι^{b} πρόσωπον^{ngnsc} ὕψιστος^{angmsn}. **v.36** καταδικάζω^{vnaa} ἄνθρωπος^{namsc} ἐν^{pd} ὁ^{ddns} κρίνω^{vnpp} αὐτός^{rpams} κύριος^{nnmsc} οὐ^{b} λέγω^{viaa3s}.

καὶ ἐγενήθη κύριος οὐκ ἐνετείλατο. ἐκ στόματος ὑψίστου οὐκ 38
ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν. τί γογγύσει ἄνθρωπος ζῶν 39
ἀνὴρ περὶ τῆς ἁμαρτίας αὐτοῦ. ἐξηρευνήθη ἡ ὁδὸς ἡμῶν καὶ 40
ἠτάσθη καὶ ἐπιστρέψωμεν ἕως κυρίου. ἀναλάβωμεν καρδίας 41
ἡμῶν ἐπὶ χειρῶν πρὸς ὑψηλὸν ἐν οὐρανῷ. ἡμαρτήσαμεν ἠσεβή- 42
σαμεν καὶ οὐχ ἱλάσθης. ἐπεσκέπασας ἐν θυμῷ καὶ ἀπεδίωξας 43
ἡμᾶς ἀπέκτεινας οὐκ ἐφείσω. ἐπεσκέπασας νεφέλην σεαυτῷ εἵ- 44
νεκεν προσευχῆς. καμμύσαι με καὶ ἀπωσθῆναι ἔθηκας ἡμᾶς 45
ἐν μέσῳ τῶν λαῶν. διήνοιξαν ἐφ᾽ ἡμᾶς τὸ στόμα αὐτῶν πάντες 46
οἱ ἐχθροὶ ἡμῶν. φόβος καὶ θυμὸς ἐγενήθη ἡμῖν ἔπαρσις καὶ 47
συντριβή. ἀφέσεις ὑδάτων κατάξει ὁ ὀφθαλμός μου ἐπὶ τὸ σύν- 48
τριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου. ὁ ὀφθαλμός μου κατεπόθη 49
καὶ οὐ σιγήσομαι τοῦ μὴ εἶναι ἔκνηψιν. ἕως οὗ διακύψῃ καὶ 50
ἴδῃ κύριος ἐξ οὐρανοῦ. ὁ ὀφθαλμός μου ἐπιφυλλιεῖ ἐπὶ τὴν 51
ψυχήν μου παρὰ πάσας θυγατέρας πόλεως. θηρεύοντες ἐθήρ- 52
ρευσάν με ὡς στρουθίον οἱ ἐχθροί μου δωρεάν. ἐθανάτωσαν ἐν
λάκκῳ ζωήν μου καὶ ἐπέθηκαν λίθον ἐπ᾽ ἐμοί. ὑπερεχύθη ὕδωρ 54
ἐπὶ κεφαλήν μου εἶπα ἀπῶσμαι. ἐπεκαλεσάμην τὸ ὄνομά σου 55
κύριε ἐκ λάκκου κατωτάτου. φωνήν μου ἤκουσας μὴ κρύψῃς 56
τὰ ὦτά σου εἰς τὴν δέησίν μου. εἰς τὴν βοήθειάν μου ἤγγισας 57

---

v.37 τίς[rqnms] οὕτως[b] λέγω[viaa3s] καί[cc] γίνομαι[viap3s] κύριος[nnmsc] οὐ[b] ἐντέλλομαι[viam3s].
v.38 ἐκ[pg] στόμα[ngnsc] ὕψιστος[angmsn] οὐ[b] ἐξέρχομαι[vifm3s] ὁ[dnnp] κακός[annnpn] καί[cc] ὁ[dnns] ἀγαθός[annnsn]. **v.39** τίς[rqans] γογγύζω[vifa3s] ἄνθρωπος[nnmsc] ζάω[vppanms] ἀνήρ[nnmsc] περί[pg] ὁ[dgfs] ἁμαρτία[ngfsc] αὐτός[rpgms]. **v.40** ἐξερευνάω[viap3s] ὁ[dnfs] ὁδός[nnfsc] ἐγώ[rpg-p] καί[cc] ἐτάζω[viap3s] καί[cc] ἐπιστρέφω[vsaa1p] ἕως[pg] κύριος[ngmsc]. **v.41** ἀναλαμβάνω[vsaa1p] καρδία[nafpc] ἐγώ[rpg-p] ἐπί[pg] χείρ[ngfpc] πρός[pa] ὑψηλός[anamsn] ἐν[pd] οὐρανός[ndmsc]. **v.42** ἁμαρτάνω[viaa1p] ἀσεβέω[viaa1p] καί[cc] οὐ[b] ἱλάσκομαι[viap2s]. **v.43** ἐπισκεπάζω[viaa2s] ἐν[pd] θυμός[ndmsc] καί[cc] ἀποδιώκω[viaa2s] ἐγώ[rpa-p] ἀποκτείνω[viaa2s] οὐ[b] φείδομαι[viam2s]. **v.44** ἐπισκεπάζω[viaa2s] νεφέλη[nafsc] σεαυτοῦ[rxdms] εἵνεκεν[pg] προσευχή[ngfsc]. **v.45** καμμύω[vnaa] ἐγώ[rpa-s] καί[cc] ἀπωθέω[vnap] τίθημι[viaa2s] ἐγώ[rpa-p] ἐν[pd] μέσος[andnsn] ὁ[dgmp] λαός[ngmpc]. **v.46** διανοίγω[viaa3p] ἐπί[pa] ἐγώ[rpa-p] ὁ[dans] στόμα[nansc] αὐτός[rpgmp] πᾶς[ainmpn] ὁ[dnmp] ἐχθρός[annmpn] ἐγώ[rpg-p]. **v.47** φόβος[nnmsc] καί[cc] θυμός[nnmsc] γίνομαι[viap3s] ἐγώ[rpd-p] ἔπαρσις[nnfsc] καί[cc] συντριβή[nnfsc]. **v.48** ἄφεσις[nafpc] ὕδωρ[ngnpc] κατάγω[vifa3s] ὁ[dnms] ὀφθαλμός[nnmsc] ἐγώ[rpg-s] ἐπί[pa] ὁ[dans] σύντριμμα[nansc] ὁ[dgfs] θυγάτηρ[ngfsc] ὁ[dgms] λαός[ngmsc] ἐγώ[rpg-s]. **v.49** ὁ[dnms] ὀφθαλμός[nnmsc] ἐγώ[rpg-s] καταπίνω[viap3s] καί[cc] οὐ[b] σιγάω[vifm1s] ὁ[dgns] μή[x] εἰμί[vnpa] ἔκνηψις[nafsc]. **v.50** ἕως[pg] ὅς[rrgns] διακύπτω[vsaa3s] καί[cc] ὁράω[vsaa3s] κύριος[nnmsc] ἐκ[pg] οὐρανός[ngmsc]. **v.51** ὁ[dnms] ὀφθαλμός[nnmsc] ἐγώ[rpg-s] ἐπιφυλλίζω[vifa3s] ἐπί[pa] ὁ[dafs] ψυχή[nafsc] ἐγώ[rpg-s] παρά[pa] πᾶς[aiafpn] θυγάτηρ[nafpc] πόλις[ngfsc]. **v.52** θηρεύω[vppanmp] θηρεύω[viaa3p] ἐγώ[rpa-s] ὡς[cs] στρουθίον[nnnsc] ὁ[dnmp] ἐχθρός[annmpn] ἐγώ[rpg-s] δωρεάν[b]. **v.53** θανατόω[viaa3p] ἐν[pd] λάκκος[ndmsc] ζωή[nafsc] ἐγώ[rpg-s] καί[cc] ἐπιτίθημι[viaa3p] λίθος[namsc] ἐπί[pd] ἐγώ[rpd-s]. **v.54** ὑπερχέομαι[viap3s] ὕδωρ[nnnsc] ἐπί[pa] κεφαλή[nafsc] ἐγώ[rpg-s] λέγω[viaa1s] ἀπωθέω[vixp1s]. **v.55** ἐπικαλέω[viam1s] ὁ[dans] ὄνομα[nansc] σύ[rpg-s] κύριος[nvmsc] ἐκ[pg] λάκκος[ngmsc] κατώτατος[angmss]. **v.56** φωνή[nafsc] ἐγώ[rpg-s] ἀκούω[viaa2s] μή[x] κρύπτω[vsaa2s] ὁ[danp] οὖς[nanpc] σύ[rpg-s] εἰς[pa] ὁ[dafs] δέησις[nafsc] ἐγώ[rpg-s].

58 ἐν ᾗ σε ἡμέρᾳ ἐπεκαλεσάμην εἶπάς μοι μὴ φοβοῦ. ἐδίκασας
59 κύριε τὰς δίκας τῆς ψυχῆς μου ἐλυτρώσω τὴν ζωήν μου. εἶδες
60 κύριε τὰς ταραχάς μου ἔκρινας τὴν κρίσιν μου. εἶδες πᾶσαν τὴν
61 ἐκδίκησιν αὐτῶν εἰς πάντας διαλογισμοὺς αὐτῶν ἐν ἐμοί. ἤκου-
σας τὸν ὀνειδισμὸν αὐτῶν πάντας τοὺς διαλογισμοὺς αὐτῶν κατ'
62 ἐμοῦ. χείλη ἐπανιστανομένων μοι καὶ μελέτας αὐτῶν κατ' ἐμοῦ
63 ὅλην τὴν ἡμέραν. καθέδραν αὐτῶν καὶ ἀνάστασιν αὐτῶν ἐπίβλε-
64 ψον ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτῶν. ἀποδώσεις αὐτοῖς ἀνταπόδομα
65 κύριε κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν. ἀποδώσεις αὐτοῖς ὑπερα-
66 σπισμὸν καρδίας μόχθον σου αὐτοῖς. καταδιώξεις ἐν ὀργῇ καὶ
ἐξαναλώσεις αὐτοὺς ὑποκάτω τοῦ οὐρανοῦ κύριε.

4 πῶς ἀμαυρωθήσεται χρυσίον ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ
2 ἀγαθόν ἐξεχύθησαν λίθοι ἅγιοι ἐπ' ἀρχῆς πασῶν ἐξόδων. υἱ-
οὶ Σιων οἱ τίμιοι οἱ ἐπηρμένοι ἐν χρυσίῳ πῶς ἐλογίσθησαν εἰς
3 ἀγγεῖα ὀστράκινα ἔργα χειρῶν κεραμέως. καί γε δράκοντες ἐξέ-
δυσαν μαστούς ἐθήλασαν σκύμνοι αὐτῶν θυγατέρες λαοῦ μου εἰς
4 ἀνίατον ὡς στρουθίον ἐν ἐρήμῳ. ἐκολλήθη ἡ γλῶσσα θηλάζοντος
πρὸς τὸν φάρυγγα αὐτοῦ ἐν δίψει νήπια ᾔτησαν ἄρτον ὁ διακλῶν
5 οὐκ ἔστιν αὐτοῖς. οἱ ἔσθοντες τὰς τρυφὰς ἠφανίσθησαν ἐν ταῖς
6 ἐξόδοις οἱ τιθηνούμενοι ἐπὶ κόκκων περιεβάλοντο κοπρίας. καὶ
ἐμεγαλύνθη ἀνομία θυγατρὸς λαοῦ μου ὑπὲρ ἀνομίας Σοδομων

---

v.57 εἰς^{pa} ὁ^{dafs} βοήθεια^{nafsc} ἐγώ$^{rpg-s}$ ἐγγίζω^{viaa2s} ἐν^{pd} ὅς^{rrdfs} σύ$^{rpa-s}$ ἡμέρα^{ndfsc} ἐπικαλέω^{viam1s} λέγω^{viaa2s} ἐγώ$^{rpd-s}$ μή^{x} φοβέω^{vdpm2s}. **v.58** δικάζω^{viaa2s} κύριος^{nvmsc} ὁ^{dafp} δίκη^{nafpc} ὁ^{dgfs} ψυχή^{ngfsc} ἐγώ$^{rpg-s}$ λυτρόω^{viam2s} ὁ^{dafs} ζωή^{nafsc} ἐγώ$^{rpg-s}$. **v.59** ὁράω^{viaa2s} κύριος^{nvmsc} ὁ^{dafp} ταραχή^{nafpc} ἐγώ$^{rpg-s}$ κρίνω^{viaa2s} ὁ^{dafs} κρίσις^{nafsc} ἐγώ$^{rpg-s}$. **v.60** ὁράω^{viaa2s} πᾶς^{aiafsn} ὁ^{dafs} ἐκδίκησις^{nafsc} αὐτός^{rpgmp} εἰς^{pa} πᾶς^{aiampn} διαλογισμός^{nampc} αὐτός^{rpgmp} ἐν^{pd} ἐγώ$^{rpd-s}$. **v.61** ἀκούω^{viaa2s} ὁ^{dams} ὀνειδισμός^{namsc} αὐτός^{rpgmp} πᾶς^{aiampn} ὁ^{damp} διαλογισμός^{nampc} αὐτός^{rpgmp} κατά^{pg} ἐγώ$^{rpg-s}$. **v.62** χεῖλος^{nanpc} ἐπανίστημι^{vppmgmp} ἐγώ^{rpdms} καί^{cc} μελέτη^{nafpc} αὐτός^{rpgmp} κατά^{pg} ἐγώ$^{rpg-s}$ ὅλος^{anafsn} ὁ^{dafs} ἡμέρα^{nafsc}. **v.63** καθέδρα^{nafsc} αὐτός^{rpgmp} καί^{cc} ἀνάστασις^{nafsc} αὐτός^{rpgmp} ἐπιβλέπω^{vdaa2s} ἐπί^{pa} ὁ^{damp} ὀφθαλμός^{nampc} αὐτός^{rpgmp}. **v.64** ἀποδίδωμι^{vifa2s} αὐτός^{rpdmp} ἀνταπόδομα^{nansc} κύριος^{nvmsc} κατά^{pa} ὁ^{danp} ἔργον^{nanpc} ὁ^{dgfp} χείρ^{ngfpc} αὐτός^{rpgmp}. **v.65** ἀποδίδωμι^{vifa2s} αὐτός^{rpdmp} ὑπερασπισμός^{namsc} καρδία^{ngfsc} μόχθος^{namsc} σύ$^{rpg-s}$ αὐτός^{rpdmp}. **v.66** καταδιώκω^{vifa2s} ἐν^{pd} ὀργή^{ndfsc} καί^{cc} ἐξαναλίσκω^{vifa2s} αὐτός^{rpamp} ὑποκάτω^{pg} ὁ^{dgms} οὐρανός^{ngmsc} κύριος^{nvmsc}. **4. v.1** πῶς^{b} ἀμαυρόω^{vifp3s} χρυσίον^{nnnsc} ἀλλοιόω^{vifp3s} ὁ^{dnns} ἀργύριον^{nnnsc} ὁ^{dnns} ἀγαθός^{annnsn} ἐκχέω^{viap3p} λίθος^{nnmpc} ἅγιος^{annmpn} ἐπί^{pg} ἀρχή^{ngfsc} πᾶς^{aigfpn} ἔξοδος^{ngfpc}. **v.2** υἱός^{nnmpc} Σιών^{ngfsp} ὁ^{dnmp} τίμιος^{annmpn} ὁ^{dnmp} ἐπαίρω^{vpppnmp} ἐν^{pd} χρυσίον^{ndnsc} πῶς^{b} λογίζομαι^{viap3p} εἰς^{pa} ἀγγεῖον^{nanpc} ὀστράκινος^{ananpn} ἔργον^{nanpc} χείρ^{ngfpc} κεραμεύς^{ngmsc}. **v.3** καί^{cc} γέ^{x} δράκων^{nnmpc} ἐκδύω^{viaa3p} μαστός^{nampc} θηλάζω^{viaa3p} σκύμνος^{nnmpc} αὐτός^{rpgmp} θυγάτηρ^{nnfpc} λαός^{ngmsc} ἐγώ$^{rpg-s}$ εἰς^{pa} ἀνίατος^{anamsn} ὡς^{cs} στρουθίον^{nnnsc} ἐν^{pd} ἔρημος^{ndfsc}. **v.4** κολλάω^{viap3s} ὁ^{dnfs} γλῶσσα^{nnfsc} θηλάζω^{vppagms} πρός^{pa} ὁ^{dams} φάρυγξ^{namsc} αὐτός^{rpgms} ἐν^{pd} δίψος^{ndnsc} νήπιος^{annnpn} αἰτέω^{viaa3p} ἄρτος^{namsc} ὁ^{dnms} διακλάω^{vppanms} οὐ^{b} εἰμί^{vipa3s} αὐτός^{rpdmp}. **v.5** ὁ^{dnmp} ἔσθω^{vppanmp} ὁ^{dafp} τρυφή^{nafpc} ἀφανίζω^{viap3p} ἐν^{pd} ὁ^{ddfp} ἔξοδος^{ndfpc} ὁ^{dnmp} τιθηνέω^{vpppnmp} ἐπί^{pg} κόκκος^{ngmpc} περιβάλλω^{viam3p} κοπρία^{nafpc}.

τῆς κατεστραμμένης ὥσπερ σπουδῇ καὶ οὐκ ἐπόνεσαν ἐν αὐτῇ χεῖρας. ἐκαθαριώθησαν ναζιραῖοι αὐτῆς ὑπὲρ χιόνα ἔλαμψαν 7
ὑπὲρ γάλα ἐπυρρώθησαν ὑπὲρ λίθους σαπφείρου τὸ ἀπόσπασμα
αὐτῶν. ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν οὐκ ἐπεγνώσθη- 8
σαν ἐν ταῖς ἐξόδοις ἐπάγη δέρμα αὐτῶν ἐπὶ τὰ ὀστέα αὐτῶν ἐξη-
ράνθησαν ἐγενήθησαν ὥσπερ ξύλον. καλοὶ ἦσαν οἱ τραυματίαι 9
ῥομφαίας ἢ οἱ τραυματίαι λιμοῦ ἐπορεύθησαν ἐκκεκεντημένοι
ἀπὸ γενημάτων ἀγρῶν. χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν 10
τὰ παιδία αὐτῶν ἐγενήθησαν εἰς βρῶσιν αὐταῖς ἐν τῷ συντρίμματι
τῆς θυγατρὸς λαοῦ μου. συνετέλεσεν κύριος θυμὸν αὐτοῦ ἐξέ- 11
χεεν θυμὸν ὀργῆς αὐτοῦ καὶ ἀνῆψεν πῦρ ἐν Σιων καὶ κατέφαγεν
τὰ θεμέλια αὐτῆς. οὐκ ἐπίστευσαν βασιλεῖς γῆς πάντες οἱ κα- 12
τοικοῦντες τὴν οἰκουμένην ὅτι εἰσελεύσεται ἐχθρὸς καὶ ἐκθλίβων
διὰ τῶν πυλῶν Ιερουσαλημ. ἐξ ἁμαρτιῶν προφητῶν αὐτῆς ἀδι- 13
κιῶν ἱερέων αὐτῆς τῶν ἐκχεόντων αἷμα δίκαιον ἐν μέσῳ αὐτῆς.
ἐσαλεύθησαν ἐγρήγοροι αὐτῆς ἐν ταῖς ἐξόδοις ἐμολύνθησαν ἐν 14
αἵματι ἐν τῷ μὴ δύνασθαι αὐτοὺς ἥψαντο ἐνδυμάτων αὐτῶν. ἀ- 15
πόστητε ἀκαθάρτων καλέσατε αὐτούς ἀπόστητε ἀπόστητε μὴ ἅ-
πτεσθε ὅτι ἀνήφθησαν καί γε ἐσαλεύθησαν εἴπατε ἐν τοῖς ἔθνεσιν
οὐ μὴ προσθῶσιν τοῦ παροικεῖν. πρόσωπον κυρίου μερὶς αὐ- 16
τῶν οὐ προσθήσει ἐπιβλέψαι αὐτοῖς πρόσωπον ἱερέων οὐκ ἔλαβον

---

v.6 καί^{cc} μεγαλύνω^{viap3s} ἀνομία^{nnfsc} θυγατηρ^{ngfsc} λαός^{ngmsc} ἐγώ$^{rpg-s}$ ὑπέρ^{pg} ἀνομία^{ngfsc} Σόδομα^{ngnpp} ὁ^{dgfs} καταστρέφω^{vpxpgfs} ὥσπερ^{cs} σπουδή^{ndfsc} καί^{cc} οὐ^{b} πονέω^{viaa3p} ἐν^{pd} αὐτός^{rpdfs} χείρ^{nafpc}. **v.7** καθαριόω^{viap3p} ναζιραῖος^{annmpn} αὐτός^{rpgfs} ὑπέρ^{pa} χιών^{nafsc} λάμπω^{viaa3p} ὑπέρ^{pa} γάλα^{nansc} πυρρόομαι^{viap3p} ὑπέρ^{pa} λίθος^{nampc} σάπφειρος^{ngfsc} ὁ^{dnns} ἀπόσπασμα^{nnnsc} αὐτός^{rpgmp}. **v.8** σκοτάζω^{viaa3s} ὑπέρ^{pa} ἀσβόλη^{nafsc} ὁ^{dnns} εἶδος^{nnnsc} αὐτός^{rpgmp} οὐ^{b} ἐπιγινώσκω^{viap3p} ἐν^{pd} ὁ^{ddfp} ἔξοδος^{ndfpc} πήγνυμι^{viap3s} δέρμα^{nnnsc} αὐτός^{rpgmp} ἐπί^{pa} ὁ^{danp} ὀστέον^{nanpc} αὐτός^{rpgmp} ξηραίνω^{viap3p} γίνομαι^{viap3p} ὥσπερ^{cs} ξύλον^{nnnsc}. **v.9** καλός^{annmpn} εἰμί^{viia3p} ὁ^{dnmp} τραυματίας^{nnmpc} ῥομφαία^{ngfsc} ἤ^{cc} ὁ^{dnmp} τραυματίας^{nnmpc} λιμός^{ngmsc} πορεύομαι^{viap3p} κεντέω^{vpxpnmp} ἀπό^{pg} γένημα^{ngnpc} ἀγρός^{ngmpc}. **v.10** χείρ^{nnfpc} γυνή^{ngfpc} οἰκτίρμων^{angfpn} ἕψω^{viaa3p} ὁ^{danp} παιδίον^{nanpc} αὐτός^{rpgfp} γίνομαι^{viap3p} εἰς^{pa} βρῶσις^{nafsc} αὐτός^{rpdfp} ἐν^{pd} ὁ^{ddns} σύντριμμα^{ndnsc} ὁ^{dgfs} θυγατηρ^{ngfsc} λαός^{ngmsc} ἐγώ$^{rpg-s}$. **v.11** συντελέω^{viaa3s} κύριος^{nnmsc} θυμός^{namsc} αὐτός^{rpgms} ἐκχέω^{viaa3s} θυμός^{namsc} ὀργή^{ngfsc} αὐτός^{rpgms} καί^{cc} ἀνάπτω^{viaa3s} πῦρ^{nansc} ἐν^{pd} Σιών^{ndfsp} καί^{cc} κατεσθίω^{viaa3s} ὁ^{danp} θεμέλιον^{nanpc} αὐτός^{rpgfs}. **v.12** οὐ^{b} πιστεύω^{viaa3p} βασιλεύς^{nnmpc} γῆ^{ngfsc} πᾶς^{ainmpn} ὁ^{dnmp} κατοικέω^{vppanmp} ὁ^{dafs} οἰκουμένη^{nafsc} ὅτι^{cs} εἰσέρχομαι^{vifm3s} ἐχθρός^{annmsn} καί^{cc} ἐκθλίβω^{vppanms} διά^{pg} ὁ^{dgfp} πύλη^{ngfpc} Ἰερουσαλήμ^{ngfsp}. **v.13** ἐκ^{pg} ἁμαρτία^{ngfpc} προφήτης^{ngmpc} αὐτός^{rpgfs} ἀδικία^{ngfpc} ἱερεύς^{ngmpc} αὐτός^{rpgfs} ὁ^{dgmp} ἐκχέω^{vppagmp} αἷμα^{nansc} δίκαιος^{anansn} ἐν^{pd} μέσος^{andnsn} αὐτός^{rpgfs}. **v.14** σαλεύω^{viap3p} ἐγείρω^{voxa3s} αὐτός^{rpgfs} ἐν^{pd} ὁ^{ddfp} ἔξοδος^{ndfpc} μολύνω^{viap3p} ἐν^{pd} αἷμα^{ndnsc} ἐν^{pd} ὁ^{ddns} μή^{x} δύναμαι^{vnpm} αὐτός^{rpamp} ἅπτω^{viam3p} ἔνδυμα^{ngnpc} αὐτός^{rpgmp}. **v.15** ἀφίστημι^{vdaa2p} ἀκάθαρτος^{angmpn} καλέω^{vdaa2p} αὐτός^{rpamp} ἀφίστημι^{vdaa2p} ἀφίστημι^{vdaa2p} μή^{x} ἅπτω^{vdpm2p} ὅτι^{cs} ἀνάπτω^{viap3p} καί^{cc} γέ^{x} σαλεύω^{viap3p} λέγω^{vdaa2p} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc} οὐ^{b} μή^{x} προστίθημι^{vsaa3p} ὁ^{dgns} παροικέω^{vnpa}.

17 πρεσβύτας οὐκ ἠλέησαν. ἔτι ὄντων ἡμῶν ἐξέλιπον οἱ ὀφθαλμοὶ
ἡμῶν εἰς τὴν βοήθειαν ἡμῶν μάταια ἀποσκοπευόντων ἡμῶν ἀπε-
18 σκοπεύσαμεν εἰς ἔθνος οὐ σῷζον. ἐθηρεύσαμεν μικροὺς ἡμῶν
τοῦ μὴ πορεύεσθαι ἐν ταῖς πλατείαις ἡμῶν ἤγγικεν ὁ καιρὸς ἡμῶν
19 ἐπληρώθησαν αἱ ἡμέραι ἡμῶν πάρεστιν ὁ καιρὸς ἡμῶν. κοῦφοι
ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ ἀετοὺς οὐρανοῦ ἐπὶ τῶν ὀρέων
20 ἐξήφθησαν ἐν ἐρήμῳ ἐνήδρευσαν ἡμᾶς. πνεῦμα προσώπου ἡ-
μῶν χριστὸς κυρίου συνελήμφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν οὗ
21 εἴπαμεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν. χαῖρε καὶ
εὐφραίνου θύγατερ Ιδουμαίας ἡ κατοικοῦσα ἐπὶ γῆς καί γε ἐπὶ
σὲ διελεύσεται τὸ ποτήριον κυρίου καὶ μεθυσθήσῃ καὶ ἀποχεεῖς.
22 ἐξέλιπεν ἡ ἀνομία σου θύγατερ Σιων οὐ προσθήσει ἔτι ἀποικίσαι
σε ἐπεσκέψατο ἀνομίας σου θύγατερ Εδωμ ἀπεκάλυψεν ἐπὶ τὰ
ἁσεβήματά σου.

5 μνήσθητι κύριε ὅ τι ἐγενήθη ἡμῖν ἐπίβλεψον καὶ ἰδὲ τὸν ὀνει-
2 δισμὸν ἡμῶν. κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις οἱ οἶκοι
3 ἡμῶν ξένοις. ὀρφανοὶ ἐγενήθημεν οὐχ ὑπάρχει πατὴρ μητέρες
4 ἡμῶν ὡς αἱ χῆραι. ἐξ ἡμερῶν ἡμῶν ξύλα ἡμῶν ἐν ἀλλάγματι
5 ἦλθεν. ἐπὶ τὸν τράχηλον ἡμῶν ἐδιώχθημεν ἐκοπιάσαμεν οὐκ
6 ἀνεπαύθημεν. Αἴγυπτος ἔδωκεν χεῖρα Ασσουρ εἰς πλησμονὴν
7 αὐτῶν. οἱ πατέρες ἡμῶν ἥμαρτον οὐχ ὑπάρχουσιν ἡμεῖς τὰ ἀνο-

---

v.16 πρόσωπον^{nansc} κύριος^{ngmsc} μερίς^{nnfsc} αὐτός^{rpgmp} οὐ^{b} προστίθημι^{vifa3s} ἐπιβλέπω^{vnaa} αὐτός^{rpdmp} πρόσωπον^{nansc} ἱερεύς^{ngmpc} οὐ^{b} λαμβάνω^{viaa3p} πρεσβύτης^{nampc} οὐ^{b} ἐλεέω^{viaa3p}. **v.17** ἔτι^{b} εἰμί^{vppagmp} ἐγώ$^{rpg-p}$ ἐκλείπω^{viaa3p} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} ἐγώ$^{rpg-p}$ εἰς^{pa} ὁ^{dafs} βοήθεια^{nafsc} ἐγώ$^{rpg-p}$ μάταιος^{ananpn} ἀποσκοπεύω^{vppagmp} ἐγώ$^{rpg-p}$ ἀποσκοπεύω^{viaa1p} εἰς^{pa} ἔθνος^{nansc} οὐ^{b} σῴζω^{vppaans}. **v.18** θηρεύω^{viaa1p} μικρός^{anampn} ἐγώ$^{rpg-p}$ ὁ^{dgns} μή^{x} πορεύομαι^{vnpm} ἐν^{pd} ὁ^{ddfp} πλατύς^{andfpn} ἐγώ$^{rpg-p}$ ἐγγίζω^{vixa3s} ὁ^{dnms} καιρός^{nnmsc} ἐγώ$^{rpg-p}$ πληρόω^{viap3p} ὁ^{dnfp} ἡμέρα^{nnfpc} ἐγώ$^{rpg-p}$ πάρειμι^{vipa3s} ὁ^{dnms} καιρός^{nnmsc} ἐγώ$^{rpg-p}$. **v.19** κοῦφος^{annmpn} γίνομαι^{viam3p} ὁ^{dnmp} διώκω^{vppanmp} ἐγώ$^{rpa-p}$ ὑπέρ^{pa} ἀετός^{nampc} οὐρανός^{ngmsc} ἐπί^{pg} ὁ^{dgnp} ὄρος^{ngnpc} ἐξάπτω^{viap3p} ἐν^{pd} ἔρημος^{ndfsc} ἐνεδρεύω^{viaa3p} ἐγώ$^{rpa-p}$. **v.20** πνεῦμα^{nnnsc} πρόσωπον^{ngnsc} ἐγώ$^{rpg-p}$ χριστός^{annmsn} κύριος^{ngmsc} συλλαμβάνω^{viap3s} ἐν^{pd} ὁ^{ddfp} διαφθορά^{ndfpc} αὐτός^{rpgmp} ὅς^{rrgms} λέγω^{viaa1p} ἐν^{pd} ὁ^{ddfs} σκιά^{ndfsc} αὐτός^{rpgms} ζάω^{vifm1p} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc}. **v.21** χαίρω^{vdpa2s} καί^{cc} εὐφραίνω^{vdpm2s} θυγάτηρ^{nvfsc} Ἰδουμαία^{ngfsp} ὁ^{dnfs} κατοικέω^{vppanfs} ἐπί^{pg} γῆ^{ngfsc} καί^{cc} γέ^{x} ἐπί^{pa} σύ$^{rpa-s}$ διέρχομαι^{vifm3s} ὁ^{dans} ποτήριον^{nansc} κύριος^{ngmsc} καί^{cc} μεθύσκω^{vifp2s} καί^{cc} ἀποχέω^{vifa2s}. **v.22** ἐκλείπω^{viaa3s} ὁ^{dnfs} ἀνομία^{nnfsc} σύ$^{rpg-s}$ θυγάτηρ^{nvfsc} Σιών^{ngfsp} οὐ^{b} προστίθημι^{vifa3s} ἔτι^{b} ἀποικίζω^{vnaa} σύ$^{rpa-s}$ ἐπισκέπτομαι^{viam3s} ἀνομία^{nafpc} σύ$^{rpg-s}$ θυγάτηρ^{nvfsc} Εδωμ^{ngmsp} ἀποκαλύπτω^{viaa3s} ἐπί^{pa} ὁ^{danp} ἁσέβημα^{nanpc} σύ$^{rpg-s}$. **5. v.1** μιμνήσκομαι^{vdap2s} κύριος^{nvmsc} ὅς^{rrans} τι-σριανς γίνομαι^{viap3s} ἐγώ$^{rpd-p}$ ἐπιβλέπω^{vdaa2s} καί^{cc} ὁράω^{vdaa2s} ὁ^{dams} ὀνειδισμός^{namsc} ἐγώ$^{rpg-p}$. **v.2** κληρονομία^{nnfsc} ἐγώ$^{rpg-p}$ μεταστρέφω^{viap3s} ἀλλότριος^{andmpn} ὁ^{dnmp} οἶκος^{nnmpc} ἐγώ$^{rpg-p}$ ξένος^{andmpn}. **v.3** ὀρφανός^{annmpn} γίνομαι^{viap1p} οὐ^{b} ὑπάρχω^{vipa3s} πατήρ^{nnmsc} μήτηρ^{nnfpc} ἐγώ$^{rpg-p}$ ὡς^{cs} ὁ^{dnfp} χήρα^{nnfpc}. **v.4** ἐκ^{pg} ἡμέρα^{ngfpc} ἐγώ$^{rpg-p}$ ξύλον^{nnnpc} ἐγώ$^{rpg-p}$ ἐν^{pd} ἄλλαγμα^{ndnsc} ἔρχομαι^{viaa3s}. **v.5** ἐπί^{pa} ὁ^{dams} τράχηλος^{namsc} ἐγώ$^{rpg-p}$ διώκω^{viap1p} κοπιάω^{viaa1p} οὐ^{b} ἀναπαύω^{viap1p}. **v.6** Αἴγυπτος^{nnfsp} δίδωμι^{viaa3s} χείρ^{nafsc} Ασσουρ^{ndmsp} εἰς^{pa} πλησμονή^{nafsc} αὐτός^{rpgfp}.

μήματα αὐτῶν ὑπέσχομεν. δοῦλοι ἐκυρίευσαν ἡμῶν λυτρούμε- 8
νος οὐκ ἔστιν ἐκ τῆς χειρὸς αὐτῶν. ἐν ταῖς ψυχαῖς ἡμῶν εἰσοίσο- 9
μεν ἄρτον ἡμῶν ἀπὸ προσώπου ῥομφαίας τῆς ἐρήμου. τὸ δέρμα 10
ἡμῶν ὡς κλίβανος ἐπελειώθη συνεσπάσθησαν ἀπὸ προσώπου κα-
ταιγίδων λιμοῦ. γυναῖκας ἐν Σιων ἐταπείνωσαν παρθένους ἐν 11
πόλεσιν Ιουδα. ἄρχοντες ἐν χερσὶν αὐτῶν ἐκρεμάσθησαν πρε- 12
σβύτεροι οὐκ ἐδοξάσθησαν. ἐκλεκτοὶ κλαυθμὸν ἀνέλαβον καὶ 13
νεανίσκοι ἐν ξύλῳ ἠσθένησαν. καὶ πρεσβῦται ἀπὸ πύλης κα- 14
τέπαυσαν ἐκλεκτοὶ ἐκ ψαλμῶν αὐτῶν κατέπαυσαν. κατέλυσεν 15
χαρὰ καρδίας ἡμῶν ἐστράφη εἰς πένθος ὁ χορὸς ἡμῶν. ἔπεσεν ὁ 16
στέφανος τῆς κεφαλῆς ἡμῶν οὐαὶ δὴ ἡμῖν ὅτι ἡμάρτομεν. περὶ 17
τούτου ἐγενήθη ὀδυνηρὰ ἡ καρδία ἡμῶν περὶ τούτου ἐσκότασαν
οἱ ὀφθαλμοὶ ἡμῶν. ἐπ᾽ ὄρος Σιων ὅτι ἠφανίσθη ἀλώπεκες διῆλ- 18
θον ἐν αὐτῇ. σὺ δέ κύριε εἰς τὸν αἰῶνα κατοικήσεις ὁ θρόνος σου 19
εἰς γενεὰν καὶ γενεάν. ἵνα τί εἰς νεῖκος ἐπιλήσῃ ἡμῶν καταλεί- 20
ψεις ἡμᾶς εἰς μακρότητα ἡμερῶν. ἐπίστρεψον ἡμᾶς κύριε πρὸς 21
σέ καὶ ἐπιστραφησόμεθα καὶ ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς
ἔμπροσθεν. ὅτι ἀπωθούμενος ἀπώσω ἡμᾶς ὠργίσθης ἐφ᾽ ἡμᾶς 22
ἕως σφόδρα.

---

v.7 ὁ^{dnmp} πατήρ^{nnmpc} ἐγώ$^{rpg\text{-}p}$ ἁμαρτάνω^{viaa3p} οὐ^{b} ὑπάρχω^{vipa3p} ἐγώ$^{rpn\text{-}p}$ ὁ^{danp} ἀνόμημα^{nanpc} αὐτός^{rpgmp} ὑπέχω^{viaa1p}. **v.8** δοῦλος^{nnmpc} κυριεύω^{viaa3p} ἐγώ$^{rpg\text{-}p}$ λυτρόω^{vppmnms} οὐ^{b} εἰμί^{vipa3s} ἐκ^{pg} ὁ^{dgfs} χείρ^{ngfsc} αὐτός^{rpgmp}. **v.9** ἐν^{pd} ὁ^{ddfp} ψυχή^{ndfpc} ἐγώ$^{rpg\text{-}p}$ εἰσφέρω^{vifa1p} ἄρτος^{namsc} ἐγώ$^{rpg\text{-}p}$ ἀπό^{pg} πρόσωπον^{ngnsc} ῥομφαία^{ngfsc} ὁ^{dgfs} ἔρημος^{ngfsc}. **v.10** ὁ^{dnns} δέρμα^{nnnsc} ἐγώ$^{rpg\text{-}p}$ ὡς^{cs} κλίβανος^{nnmsc} πελειόομαι^{viap3s} συσπάω^{viap3p} ἀπό^{pg} πρόσωπον^{ngnsc} καταιγίς^{ngfpc} λιμός^{ngmsc}. **v.11** γυνή^{nafpc} ἐν^{pd} Σιών^{ndfsp} ταπεινόω^{viaa3p} παρθένος^{nafpc} ἐν^{pd} πόλις^{ndfpc} Ἰούδας^{ngmsp}. **v.12** ἄρχων^{nnmpc} ἐν^{pd} χείρ^{ndfpc} αὐτός^{rpgmp} κρεμάννυμι^{viap3p} πρεσβύτερος^{annmpc} οὐ^{b} δοξάζω^{viap3p}. **v.13** ἐκλεκτός^{annmpn} κλαυθμός^{namsc} ἀναλαμβάνω^{viaa3p} καί^{cc} νεανίσκος^{nnmpc} ἐν^{pd} ξύλον^{ndnsc} ἀσθενέω^{viaa3p}. **v.14** καί^{cc} πρεσβύτης^{nnmpc} ἀπό^{pg} πύλη^{ngfsc} καταπαύω^{viaa3p} ἐκλεκτός^{annmpn} ἐκ^{pg} ψαλμός^{ngmpc} αὐτός^{rpgmp} καταπαύω^{viaa3p}. **v.15** καταλύω^{viaa3s} χαρά^{nnfsc} καρδία^{ngfsc} ἐγώ$^{rpg\text{-}p}$ στρέφω^{viap3s} εἰς^{pa} πένθος^{nansc} ὁ^{dnms} χορός^{nnmsc} ἐγώ$^{rpg\text{-}p}$. **v.16** πίπτω^{viaa3s} ὁ^{dnms} στέφανος^{nnmsc} ὁ^{dgfs} κεφαλή^{ngfsc} ἐγώ$^{rpg\text{-}p}$ οὐαί^{i} δή^{x} ἐγώ$^{rpd\text{-}p}$ ὅτι^{cs} ἁμαρτάνω^{viaa1p}. **v.17** περί^{pg} οὗτος^{rdgms} γίνομαι^{viap3s} ὀδυνηρός^{annfsn} ὁ^{dnfs} καρδία^{nnfsc} ἐγώ$^{rpg\text{-}p}$ περί^{pg} οὗτος^{rdgms} σκοτάζω^{viaa3p} ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} ἐγώ$^{rpg\text{-}p}$. **v.18** ἐπί^{pa} ὄρος^{nansc} Σιών^{ngfsp} ὅτι^{cs} ἀφανίζω^{viap3s} ἀλώπηξ^{nnfpc} διέρχομαι^{viaa3p} ἐν^{pd} αὐτός^{rpdfs}. **v.19** σύ$^{rpn\text{-}s}$ δέ^{cc} κύριος^{nvmsc} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc} κατοικέω^{vifa2s} ὁ^{dnms} θρόνος^{nnmsc} σύ$^{rpg\text{-}s}$ εἰς^{pa} γενεά^{nafsc} καί^{cc} γενεά^{nafsc}. **v.20** ἵνα^{cs} τίς^{rqnns} εἰς^{pa} νεῖκος^{nansc} ἐπιλανθάνομαι^{vifm2s} ἐγώ$^{rpg\text{-}p}$ καταλείπω^{vifa2s} ἐγώ$^{rpa\text{-}p}$ εἰς^{pa} μακρότης^{nafsc} ἡμέρα^{ngfpc}. **v.21** ἐπιστρέφω^{vdaa2s} ἐγώ$^{rpa\text{-}p}$ κύριος^{nvmsc} πρός^{pa} σύ$^{rpa\text{-}s}$ καί^{cc} ἐπιστρέφω^{vifp1p} καί^{cc} ἀνακαινίζω^{vdaa2s} ἡμέρα^{ngfsc} ἐγώ$^{rpg\text{-}p}$ καθώς^{cs} ἔμπροσθεν^{b}. **v.22** ὅτι^{cs} ἀπωθέω^{vppmnms} ἀπωθέω^{viam2s} ἐγώ$^{rpa\text{-}p}$ ὀργίζω^{viap2s} ἐπί^{pa} ἐγώ$^{rpa\text{-}p}$ ἕως^{pp} σφόδρα^{b}.

ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ

1 διὰ τὰς ἁμαρτίας ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ ἀχθήσεσθε εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχοδονοσορ βασιλέως
2 τῶν Βαβυλωνίων. εἰσελθόντες οὖν εἰς Βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη πλείονα καὶ χρόνον μακρὸν ἕως γενεῶν ἑπτά μετὰ τοῦτο δὲ ἐ-
3 ξάξω ὑμᾶς ἐκεῖθεν μετ᾽ εἰρήνης. νυνὶ δὲ ὄψεσθε ἐν Βαβυλῶνι θεοὺς ἀργυροῦς καὶ χρυσοῦς καὶ ξυλίνους ἐπ᾽ ὤμοις αἰρομένους
4 δεικνύντας φόβον τοῖς ἔθνεσιν. εὐλαβήθητε οὖν μὴ καὶ ὑμεῖς ἀφομοιωθέντες τοῖς ἀλλοφύλοις ἀφομοιωθῆτε καὶ φόβος ὑμᾶς
5 λάβῃ ἐπ᾽ αὐτοῖς. ἰδόντας ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν προσκυνοῦντας αὐτά εἴπατε δὲ τῇ διανοίᾳ σοὶ δεῖ προσκυνεῖν δέ-
6 σποτα. ὁ γὰρ ἄγγελός μου μεθ᾽ ὑμῶν ἐστιν αὐτός τε ἐκζητῶν
7 τὰς ψυχὰς ὑμῶν. γλῶσσα γὰρ αὐτῶν ἐστιν κατεξυσμένη ὑπὸ τέκτονος αὐτά τε περίχρυσα καὶ περιάργυρα ψευδῆ δ᾽ ἐστὶν καὶ οὐ
8 δύνανται λαλεῖν. καὶ ὥσπερ παρθένῳ φιλοκόσμῳ λαμβάνοντες χρυσίον κατασκευάζουσιν στεφάνους ἐπὶ τὰς κεφαλὰς τῶν θεῶν
9 αὐτῶν. ἔστι δὲ καὶ ὅτε ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐτῶν χρυσίον καὶ ἀργύριον εἰς ἑαυτοὺς καταναλώσουσιν δώσουσιν
10 δὲ ἀπ᾽ αὐτῶν καὶ ταῖς ἐπὶ τοῦ τέγους πόρναις. κοσμοῦσί τε αὐ-

---

1. v.1 διάpa ὁdafp ἁμαρτίαnafpc ὅςrrafp ἁμαρτάνωvixa2p ἐναντίονpg ὁdgms θεόςngmsc ἄγωvifp2p εἰςpa Βαβυλώνnafsp αἰχμάλωτοςannmpn ὑπόpg Ναβουχοδονοσορngmsp βασιλεύςngmsc ὁdgmp Βαβυλώνιοςngmpp. **v.2** εἰσέρχομαιvpaanmp οὖνcc εἰςpa Βαβυλώνnafsp εἰμίvifm2p ἐκεῖb ἔτοςnanpc πολύςananpc καίcc χρόνοςnamsc μακρόςanamsn ἕωςpg γενεάngfpc ἑπτάac–n μετάpa οὗτοςrdans δέcc ἐξάγωvifa1s σύrpa-p ἐκεῖθενb μετάpg εἰρήνηngfsc. **v.3** νυνὶb δέcc ὁράωvifm2p ἐνpd Βαβυλώνndfsp θεόςnampc ἀργυροῦςanampn καίcc χρυσοῦςanampn καίcc ξύλινοςanampn ἐπίpd ὦμοςndmpc αἴρωvpppamp δείκνυμιvppaamp φόβοςnamsc ὁddnp ἔθνοςndnpc. **v.4** εὐλαβέομαιvdap2p οὖνcc μήx καίcc σύrpn-p ἀφομοιόωvpapnmp ὁddmp ἀλλόφυλοςandmpn ἀφομοιόωvsap2p καίcc φόβοςnnmsc σύrpa-p λαμβάνωvsaa3s ἐπίpd αὐτόςrpdmp. **v.5** ὁράωvpaaamp ὄχλοςnamsc ἔμπροσθενpg καίcc ὄπισθενpg αὐτόςrpgnp προσκυνέωvppaamp αὐτόςrpanp λέγωvdaa2p δέcc ὁddfs διάνοιαndfsc σύrpd-s δεῖvipa3s προσκυνέωvnpa δεσπότηςnvmsc. **v.6** ὁdnms γάρcc ἄγγελοςnnmsc ἐγώrpg-s μετάpg σύrpg-p εἰμίvipa3s αὐτόςrpnms τέcc ἐκζητέωvppanms ὁdafp ψυχήnafpc σύrpg-p. **v.7** γλῶσσαnnfsc γάρcc αὐτόςrpgnp εἰμίvipa3s καταξύωvpxpnfs ὑπόpg τέκτωνngmsc αὐτόςrpnnp τέcc περίχρυσοςannnpn καίcc περιάργυροςannnpn ψευδήςannnpn δέcc εἰμίvipa3s καίcc οὐb δύναμαιvipm3p λαλέωvnpa. **v.8** καίcc ὥσπερcs παρθένοςndfsc φιλόκοσμοςandfsn λαμβάνωvppanmp χρυσίονnansc κατασκευάζωvipa3p στέφανοςnampc ἐπίpa ὁdafp κεφαλήnafpc ὁdgmp θεόςngmpc αὐτόςrpgmp. **v.9** εἰμίvipa3s δέcc καίcc ὅτεcs ὑφαιρέωvppmnmp ὁdnmp ἱερεύςnnmpc ἀπόpg ὁdgmp θεόςngmpc αὐτόςrpgmp χρυσίονnansc καίcc ἀργύριονnansc εἰςpa ἑαυτοῦrxamp καταναλίσκωvifa3p δίδωμιvifa3p δέcc ἀπόpg αὐτόςrpgnp καίcc ὁddfp ἐπίpg ὁdgns τέγοςngnsc πόρνηndfpc.

τοὺς ὡς ἀνθρώπους τοῖς ἐνδύμασιν θεοὺς ἀργυροῦς καὶ χρυσοῦς καὶ ξυλίνους οὗτοι δὲ οὐ διασῴζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων. περιβεβλημένων αὐτῶν ἱματισμὸν πορφυροῦν ἐκμάσσονται τὸ πρόσωπον αὐτῶν διὰ τὸν ἐκ τῆς οἰκίας κονιορτόν ὃς ἐστιν πλείων ἐπ᾽ αὐτοῖς. καὶ σκῆπτρον ἔχει ὡς ἄνθρωπος κριτὴς χώρας ὃς τὸν εἰς αὐτὸν ἁμαρτάνοντα οὐκ ἀνελεῖ. ἔχει δὲ ἐγχειρίδιον ἐν δεξιᾷ καὶ πέλεκυν ἑαυτὸν δὲ ἐκ πολέμου καὶ λῃστῶν οὐκ ἐξελεῖται. ὅθεν γνώριμοί εἰσιν οὐκ ὄντες θεοί μὴ οὖν φοβηθῆτε αὐτούς. ὥσπερ γὰρ σκεῦος ἀνθρώπου συντριβὲν ἀχρεῖον γίνεται τοιοῦτοι ὑπάρχουσιν οἱ θεοὶ αὐτῶν καθιδρυμένων αὐτῶν ἐν τοῖς οἴκοις. οἱ ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶν κονιορτοῦ ἀπὸ τῶν ποδῶν τῶν εἰσπορευομένων. καὶ ὥσπερ τινὶ ἠδικηκότι βασιλέα περιπεφραγμέναι εἰσὶν αἱ αὐλαὶ ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ τοὺς οἴκους αὐτῶν ὀχυροῦσιν οἱ ἱερεῖς θυρώμασίν τε καὶ κλείθροις καὶ μοχλοῖς ὅπως ὑπὸ τῶν λῃστῶν μὴ συληθῶσι. λύχνους καίουσιν καὶ πλείους ἢ ἑαυτοῖς ὧν οὐδένα δύνανται ἰδεῖν. ἔστιν μὲν ὥσπερ δοκὸς τῶν ἐκ τῆς οἰκίας τὰς δὲ καρδίας αὐτῶν φασιν ἐκλείχεσθαι τῶν ἀπὸ τῆς γῆς ἑρπετῶν κατεσθόντων αὐτούς τε καὶ τὸν ἱματισμὸν αὐτῶν οὐκ αἰσθάνονται. μεμελανωμένοι τὸ πρόσωπον αὐτῶν ἀπὸ τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας. ἐπὶ τὸ σῶμα αὐτῶν καὶ ἐπὶ τὴν κεφαλὴν ἐφίπτανται νυκτερίδες χελιδόνες καὶ τὰ ὄρνεα ὡσαύτως

---

v.10 κοσμέω^{vipa3p} τέ^{cc} αὐτός^{rpamp} ὡς^{cs} ἄνθρωπος^{nampc} ὁ^{ddnp} ἔνδυμα^{ndnpc} θεός^{nampc} ἀργυροῦς^{anampn} καί^{cc} χρυσοῦς^{anampn} καί^{cc} ξύλινος^{anampn} οὗτος^{rdnmp} δέ^{cc} οὐ^{b} διασῴζω^{vipm3p} ἀπό^{pg} ἰός^{ngmsc} καί^{cc} βρῶμα^{ngnpc}. **v.11** περιβάλλω^{vpxmgmp} αὐτός^{rpgmp} ἱματισμός^{namsc} πορφυροῦς^{anamsn} ἐκμάσσω^{vipm3p} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgmp} διά^{pa} ὁ^{dams} ἐκ^{pg} ὁ^{dgfs} οἰκία^{ngfsc} κονιορτός^{namsc} ὅς^{rrnms} εἰμί^{vipa3s} πολύς^{annmsc} ἐπί^{pd} αὐτός^{rpdmp}. **v.12** καί^{cc} σκῆπτρον^{nansc} ἔχω^{vipa3s} ὡς^{cs} ἄνθρωπος^{nnmsc} κριτής^{nnmsc} χώρα^{ngfsc} ὅς^{rrnms} ὁ^{dams} εἰς^{pa} αὐτός^{rpams} ἁμαρτάνω^{vppaams} οὐ^{b} ἀναιρέω^{vifa3s}. **v.13** ἔχω^{vipa3s} δέ^{cc} ἐγχειρίδιον^{nansc} ἐν^{pd} δεξιός^{andfsn} καί^{cc} πέλεκυς^{namsc} ἑαυτοῦ^{rxams} δέ^{cc} ἐκ^{pg} πόλεμος^{ngmsc} καί^{cc} λῃστής^{ngmpc} οὐ^{b} ἐξαιρέω^{vifm3s}. **v.14** ὅθεν^{b} γνώριμος^{annmpn} εἰμί^{vipa3p} οὐ^{b} εἰμί^{vppanmp} θεός^{nnmpc} μή^{x} οὖν^{cc} φοβέω^{vsap2p} αὐτός^{rpamp}. **v.15** ὥσπερ^{cs} γάρ^{cc} σκεῦος^{nnnsc} ἄνθρωπος^{ngmsc} συντρίβω^{vpapnns} ἀχρεῖος^{annnsn} γίνομαι^{vipm3s} τοιοῦτος^{adnmpn} ὑπάρχω^{vipa3p} ὁ^{dnmp} θεός^{nnmpc} αὐτός^{rpgmp} καθιδρύω^{vpxpgmp} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddmp} οἶκος^{ndmpc}. **v.16** ὁ^{dnmp} ὀφθαλμός^{nnmpc} αὐτός^{rpgmp} πλήρης^{annmpn} εἰμί^{vipa3p} κονιορτός^{ngmsc} ἀπό^{pg} ὁ^{dgmp} πούς^{ngmpc} ὁ^{dgmp} εἰσπορεύομαι^{vppmgmp}. **v.17** καί^{cc} ὥσπερ^{cs} τι-σριδμς ἀδικέω^{vpxadms} βασιλεύς^{namsc} περιφράσσω^{vpxpnfp} εἰμί^{vipa3p} ὁ^{dnfp} αὐλή^{nnfpc} ὡς^{cs} ἐπί^{pd} θάνατος^{ndmsc} ἀπάγω^{vpxpdms} ὁ^{damp} οἶκος^{nampc} αὐτός^{rpgmp} ὀχυρόω^{vipa3p} ὁ^{dnmp} ἱερεύς^{nnmpc} θύρωμα^{ndnpc} τέ^{cc} καί^{cc} κλεῖθρον^{ndnpc} καί^{cc} μοχλός^{ndmpc} ὅπως^{cs} ὑπό^{pg} ὁ^{dgmp} λῃστής^{ngmpc} μή^{x} συλάω^{vsap3p}. **v.18** λύχνος^{nampc} καίω^{vipa3p} καί^{cc} πολύς^{anampc} ἤ^{cc} ἑαυτοῦ^{rxdmp} ὅς^{rrgmp} οὐδείς^{riams} δύναμαι^{vipm3p} ὁράω^{vnaa}. **v.19** εἰμί^{vipa3s} μέν^{x} ὥσπερ^{cs} δοκός^{nnfsc} ὁ^{dgfp} ἐκ^{pg} ὁ^{dgfs} οἰκία^{ngfsc} ὁ^{dafp} δέ^{cc} καρδία^{nafpc} αὐτός^{rpgmp} φημί^{vipa3p} ἐκλείχω^{vnpp} ὁ^{dgnp} ἀπό^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ἑρπετόν^{ngnpc} κατέσθω^{vppagnp} αὐτός^{rpamp} τέ^{cc} καί^{cc} ὁ^{dams} ἱματισμός^{namsc} αὐτός^{rpgmp} οὐ^{b} αἰσθάνομαι^{vipm3p}. **v.20** μελανόομαι^{vpxpnmp} ὁ^{dans} πρόσωπον^{nansc} αὐτός^{rpgmp} ἀπό^{pg} ὁ^{dgms} καπνός^{ngmsc} ὁ^{dgms} ἐκ^{pg} ὁ^{dgfs} οἰκία^{ngfsc}.

22 δὲ καὶ οἱ αἴλουροι. ὅθεν γνώσεσθε ὅτι οὐκ εἰσιν θεοί μὴ οὖν
23 φοβεῖσθε αὐτά. τὸ γὰρ χρυσίον ὃ περίκεινται εἰς κάλλος ἐὰν
μή τις ἐκμάξῃ τὸν ἰόν οὐ μὴ στίλψωσιν οὐδὲ γάρ ὅτε ἐχωνεύοντο
24 ἡσθάνοντο. ἐκ πάσης τιμῆς ἠγορασμένα ἐστίν ἐν οἷς οὐκ ἔστιν
25 πνεῦμα. ἄνευ ποδῶν ἐπ᾽ ὤμοις φέρονται ἐνδεικνύμενοι τὴν ἑαυ-
τῶν ἀτιμίαν τοῖς ἀνθρώποις αἰσχύνονταί τε καὶ οἱ θεραπεύοντες
26 αὐτὰ διὰ τό μήποτε ἐπὶ τὴν γῆν πέσῃ δι᾽ αὐτῶν ἀνίστασθαι. μήτε
ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ δι᾽ ἑαυτοῦ κινηθήσεται μήτε ἐὰν κλιθῇ
οὐ μὴ ὀρθωθῇ ἀλλ᾽ ὥσπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατίθεται.
27 τὰς δὲ θυσίας αὐτῶν ἀποδόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται ὡ-
σαύτως δὲ καὶ αἱ γυναῖκες αὐτῶν ἀπ᾽ αὐτῶν ταριχεύουσαι οὔτε
πτωχῷ οὔτε ἀδυνάτῳ μεταδιδόασιν τῶν θυσιῶν αὐτῶν ἀποκαθη-
28 μένη καὶ λεχὼ ἅπτονται. γνόντες οὖν ἀπὸ τούτων ὅτι οὐκ εἰσιν
29 θεοί μὴ φοβηθῆτε αὐτούς. πόθεν γὰρ κληθείησαν θεοί ὅτι γυ-
ναῖκες παρατιθέασιν θεοῖς ἀργυροῖς καὶ χρυσοῖς καὶ ξυλίνοις.
30 καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ ἱερεῖς διφρεύουσιν ἔχοντες τοὺς χιτῶ-
νας διερρωγότας καὶ τὰς κεφαλὰς καὶ τοὺς πώγωνας ἐξυρημένους
31 ὧν αἱ κεφαλαὶ ἀκάλυπτοί εἰσιν. ὠρύονται δὲ βοῶντες ἐναντίον
32 τῶν θεῶν αὐτῶν ὥσπερ τινὲς ἐν περιδείπνῳ νεκροῦ. ἀπὸ τοῦ
ἱματισμοῦ αὐτῶν ἀφελόμενοι οἱ ἱερεῖς ἐνδύουσιν τὰς γυναῖκας

---

v.21 ἐπί[pa] ὁ[dans] σῶμα[nansc] αὐτός[rpgmp] καί[cc] ἐπί[pa] ὁ[dafs] κεφαλή[nafsc] ἐφίπταμαι[vipm3p] νυκτερίς[nnfpc] χελιδών[nnfpc] καί[cc] ὁ[dnnp] ὄρνεον[nnnpc] ὡσαύτως[b] δέ[cc] καί[b] ὁ[dnmp] αἴλουρος[nnmpc]. **v.22** ὅθεν[b] γινώσκω[vifm2p] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] μή[x] οὖν[cc] φοβέω[vdpm2p] αὐτός[rpanp]. **v.23** ὁ[dans] γάρ[cc] χρυσίον[nansc] ὅς[rrans] περίκειμαι[vipp3p] εἰς[pa] κάλλος[nansc] ἐάν[cs] μή[x] τι-σ-ρινμς ἐκμάσσω[vsaa3s] ὁ[dams] ἰός[namsc] οὐ[b] μή[x] στίλβω[vsaa3p] οὐδέ[cc] γάρ[cc] ὅτε[cs] χωνεύω[viip3p] αἰσθάνομαι[viim3p]. **v.24** ἐκ[pg] πᾶς[aigfsn] τιμή[ngfsc] ἀγοράζω[vpxpnnp] εἰμί[vipa3s] ἐν[pd] ὅς[rrdnp] οὐ[b] εἰμί[vipa3s] πνεῦμα[nnnsc]. **v.25** ἄνευ[pg] πούς[ngmpc] ἐπί[pd] ὦμος[ndmpc] φέρω[vipp3p] ἐνδείκνυμι[vppmnmp] ὁ[dafs] ἑαυτοῦ[rxgmp] ἀτιμία[nafsc] ὁ[ddmp] ἄνθρωπος[ndmpc] αἰσχύνω[vipm3'pvipp3p] τέ[cc] καί[b] ὁ[dnmp] θεραπεύω[vppanmp] αὐτός[rpanp] διά[pa] ὁ[dans] μήποτε[cs] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] πίπτω[vsaa3s] διά[pg] αὐτός[rpgmp] ἀνίστημι[vnpm]. **v.26** μήτε[cc] ἐάν[cs] τι-σρινμς αὐτός[rpans] ὀρθός[anansn] ἵστημι[vsaa3s] διά[pg] ἑαυτοῦ[rxgns] κινέω[vifp3s] μήτε[cc] ἐάν[cs] κλίνω[vsap3s] οὐ[b] μή[x] ὀρθόω[vsap3s] ἀλλά[cc] ὥσπερ[cs] νεκρός[andmpn] ὁ[dnnp] δῶρον[nnnpc] αὐτός[rpdnp] παρατίθημι[vipp3s]. **v.27** ὁ[dafp] δέ[cc] θυσία[nafpc] αὐτός[rpgmp] ἀποδίδωμι[vpamnmp] ὁ[dnmp] ἱερεύς[nnmpc] αὐτός[rpgmp] καταχράομαι[vipm3p] ὡσαύτως[b] δέ[cc] καί[b] ὁ[dnfp] γυνή[nnfpc] αὐτός[rpgmp] ἀπό[pg] αὐτός[rpgfp] ταριχεύω[vppanfp] οὔτε[cc] πτωχός[andmsn] οὔτε[cc] ἀδύνατος[andmsn] μεταδίδωμι[vipa3p] ὁ[dgfp] θυσία[ngfpc] αὐτός[rpgmp] ἀποκάθημαι[vpppnfs] καί[cc] λεχώ[nnfsc] ἅπτω[vipm3p]. **v.28** γινώσκω[vpaanmp] οὖν[cc] ἀπό[pg] οὗτος[rdgnp] ὅτι[cs] οὐ[b] εἰμί[vipa3p] θεός[nnmpc] μή[x] φοβέω[vsap2p] αὐτός[rpamp]. **v.29** πόθεν[b] γάρ[cc] καλέω[voap3p] θεός[nnmpc] ὅτι[cs] γυνή[nnfpc] παρατίθημι[vipa3p] θεός[ndmpc] ἀργυροῦς[andmpn] καί[cc] χρυσοῦς[andmpn] καί[cc] ξύλινος[andmpn]. **v.30** καί[cc] ἐν[pd] ὁ[ddmp] οἶκος[ndmpc] αὐτός[rpgmp] ὁ[dnmp] ἱερεύς[nnmpc] διφρεύω[vipa3p] ἔχω[vppanmp] ὁ[damp] χιτών[nampc] διαρρήγνυμι[vpxaamp] καί[cc] ὁ[dafp] κεφαλή[nafpc] καί[cc] ὁ[damp] πώγων[nampc] ξυράω[vpxpamp] ὅς[rrgmp] ὁ[dnfp] κεφαλή[nnfpc] ἀκάλυπτος[annfpn] εἰμί[vipa3p]. **v.31** ὠρύομαι[vipm3p] δέ[cc] βοάω[vppanmp] ἐναντίον[pg] ὁ[dgmp] θεός[ngmpc] αὐτός[rpgmp] ὥσπερ[cs] τι-σρινμπ ἐν[pd] περίδειπνον[ndnsc] νεκρός[angmsn].

αὐτῶν καὶ τὰ παιδία. οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό τινος οὔτε 33
ἐὰν ἀγαθόν δυνήσονται ἀνταποδοῦναι οὔτε καταστῆσαι βασιλέα
δύνανται οὔτε ἀφελέσθαι. ὡσαύτως οὔτε πλοῦτον οὔτε χαλκὸν 34
οὐ μὴ δύνωνται διδόναι ἐάν τις αὐτοῖς εὐχὴν εὐξάμενος μὴ ἀπο-
δῷ οὐ μὴ ἐπιζητήσωσιν. ἐκ θανάτου ἄνθρωπον οὐ μὴ ῥύσωνται 35
οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ οὐ μὴ ἐξέλωνται. ἄνθρωπον τυφλὸν 36
εἰς ὅρασιν οὐ μὴ περιστήσωσιν ἐν ἀνάγκῃ ἄνθρωπον ὄντα οὐ μὴ
ἐξέλωνται. χήραν οὐ μὴ ἐλεήσωσιν οὔτε ὀρφανὸν εὖ ποιήσου- 37
σιν. τοῖς ἀπὸ τοῦ ὄρους λίθοις ὡμοιωμένοι εἰσὶν τὰ ξύλινα καὶ 38
τὰ περίχρυσα καὶ τὰ περιάργυρα οἱ δὲ θεραπεύοντες αὐτὰ καται-
σχυνθήσονται. πῶς οὖν νομιστέον ἢ κλητέον αὐτοὺς ὑπάρχειν 39
θεούς. ἔτι δὲ καὶ αὐτῶν τῶν Χαλδαίων ἀτιμαζόντων αὐτά οἵ ὅταν 40
ἴδωσιν ἐνεὸν οὐ δυνάμενον λαλῆσαι προσενεγκάμενοι τὸν Βῆ-
λον ἀξιοῦσιν φωνῆσαι ὡς δυνατοῦ ὄντος αὐτοῦ αἰσθέσθαι. καὶ 41
οὐ δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτά αἴσθησιν γὰρ οὐκ
ἔχουσιν. αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία ἐν ταῖς ὁδοῖς ἐγ- 42
κάθηνται θυμιῶσαι τὰ πίτυρα. ὅταν δέ τις αὐτῶν ἐφελκυσθεῖσα 43
ὑπό τινος τῶν παραπορευομένων κοιμηθῇ τὴν πλησίον ὀνειδίζει
ὅτι οὐκ ἠξίωται ὥσπερ καὶ αὐτὴ οὔτε τὸ σχοινίον αὐτῆς διερράγη.
πάντα τὰ γινόμενα αὐτοῖς ἐστιν ψευδῆ πῶς οὖν νομιστέον ἢ κλη- 44

---

ἐν μέσῳ αὐτῶν καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι κύριος ἐν τῷ
ἁγιασθῆναί με ἐν ὑμῖν κατ᾽ ὀφθαλμοὺς αὐτῶν. καὶ λήμψομαι 24
ὑμᾶς ἐκ τῶν ἐθνῶν καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν καὶ εἰ-
σάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν. καὶ ῥανῶ ἐφ᾽ ὑμᾶς ὕδωρ καθαρόν 25
καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν καὶ ἀπὸ
πάντων τῶν εἰδώλων ὑμῶν καὶ καθαριῶ ὑμᾶς. καὶ δώσω ὑμῖν 26
καρδίαν καινὴν καὶ πνεῦμα καινὸν δώσω ἐν ὑμῖν καὶ ἀφελῶ τὴν
καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν καὶ δώσω ὑμῖν καρδίαν
σαρκίνην. καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν καὶ ποιήσω ἵνα ἐν 27
τοῖς δικαιώμασίν μου πορεύησθε καὶ τὰ κρίματά μου φυλάξη-

---

v.18 καί[cc] ἐκχέω[viaa1s] ὁ[dams] θυμός[namsc] ἐγώ[rpg-s] ἐπί[pa] αὐτός[rpamp]. **v.19** καί[cc] διασπείρω[viaa1s] αὐτός[rpamp] εἰς[pa] ὁ[danp] ἔθνος[nanpc] καί[cc] λικμάω[viaa1s] αὐτός[rpamp] εἰς[pa] ὁ[dafp] χώρα[nafpc] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] αὐτός[rpgmp] καί[cc] κατά[pa] ὁ[dafs] ἁμαρτία[nafsc] αὐτός[rpgmp] κρίνω[viaa1s] αὐτός[rpamp]. **v.20** καί[cc] εἰσέρχομαι[viaa3p] εἰς[pa] ὁ[danp] ἔθνος[nanpc] ὅς[b] εἰσέρχομαι[viaa3p] ἐκεῖ[b] καί[cc] βεβηλόω[viaa3p] ὁ[dans] ὄνομα[nansc] ἐγώ[rpg-s] ὁ[dans] ἅγιος[anansn] ἐν[pd] ὁ[ddns] λέγω[vnpp] αὐτός[rpamp] λαός[nnmsc] κύριος[ngmsc] οὗτος[rdnmp] καί[cc] ἐκ[pg] ὁ[dgfs] γῆ[ngfsc] αὐτός[rpgms] ἐξέρχομαι[vixa3p]. **v.21** καί[cc] φείδομαι[viam1s] αὐτός[rpgmp] διά[pa] ὁ[dans] ὄνομα[nansc] ἐγώ[rpg-s] ὁ[dans] ἅγιος[anansn] ὅς[rrans] βεβηλόω[viaa3p] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ὅς[b] εἰσέρχομαι[viaa3p] ἐκεῖ[b]. **v.22** διά[pa] οὗτος[rdans] λέγω[vdaa2s] ὁ[ddms] οἶκος[ndmsc] Ἰσραήλ[ngmsp] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] οὐ[b] σύ[rpd-p] ἐγώ[rpn-s] ποιέω[vipa1s] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp] ἀλλά[cc] ἤ[cc] διά[pa] ὁ[dans] ὄνομα[nansc] ἐγώ[rpg-s] ὁ[dans] ἅγιος[anansn] ὅς[rrans] βεβηλόω[viaa2p] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ὅς[b] εἰσέρχομαι[viaa2p] ἐκεῖ[b]. **v.23** καί[cc] ἁγιάζω[vifa1s] ὁ[dans] ὄνομα[nansc] ἐγώ[rpg-s] ὁ[dans] μέγας[anansn] ὁ[dans] βεβηλόω[vpapans] ἐν[pd] ὁ[ddnp] ἔθνος[ndnpc] ὅς[rrans] βεβηλόω[viaa2p] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgnp] καί[cc] γινώσκω[vifm3p] ὁ[dnnp] ἔθνος[nnnpc] ὅτι[cs] ἐγώ[rpn-s] εἰμί[vipa1s] κύριος[nnmsc] ἐν[pd] ὁ[ddns] ἁγιάζω[vnap] ἐγώ[rpa-s] ἐν[pd] σύ[rpd-p] κατά[pa] ὀφθαλμός[nampc] αὐτός[rpgmp]. **v.24** καί[cc] λαμβάνω[vifm1s] σύ[rpa-p] ἐκ[pg] ὁ[dgnp] ἔθνος[ngnpc] καί[cc] ἀθροίζω[vifa1s] σύ[rpa-p] ἐκ[pg] πᾶς[aigfpn] ὁ[dgfp] γαῖα[ngfpc] καί[cc] εἰσάγω[vifa1s] σύ[rpa-p] εἰς[pa] ὁ[dafs] γῆ[nafsc] σύ[rpg-p]. **v.25** καί[cc] ῥαίνω[vifa1s] ἐπί[pa] σύ[rpa-p] ὕδωρ[nansc] καθαρός[anansn] καί[cc] καθαρίζω[vifp2p] ἀπό[pg] πᾶς[aigfpn] ὁ[dgfp] ἀκαθαρσία[ngfpc] σύ[rpg-p] καί[cc] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] εἴδωλον[ngnpc] σύ[rpg-p] καί[cc] καθαρίζω[vifa1s] σύ[rpa-p]. **v.26** καί[cc] δίδωμι[vifa1s] σύ[rpd-p] καρδία[nafsc] καινός[anafsn] καί[cc] πνεῦμα[nansc] καινός[anansn] δίδωμι[vifa1s] ἐν[pd] σύ[rpd-p] καί[cc] ἀφαιρέω[vifa1s] ὁ[dafs] καρδία[nafsc] ὁ[dafs] λίθινος[anafsn] ἐκ[pg] ὁ[dgfs] σάρξ[ngfsc] σύ[rpg-p] καί[cc] δίδωμι[vifa1s] σύ[rpd-p] καρδία[nafsc] σάρκινος[anafsn].

28 σθε καὶ ποιήσητε. καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς
πατράσιν ὑμῶν καὶ ἔσεσθέ μοι εἰς λαόν κἀγὼ ἔσομαι ὑμῖν εἰς θε-
29 όν. καὶ σώσω ὑμᾶς ἐκ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν καὶ καλέσω
30 τὸν σῖτον καὶ πληθυνῶ αὐτὸν καὶ οὐ δώσω ἐφ᾽ ὑμᾶς λιμόν. καὶ
πληθυνῶ τὸν καρπὸν τοῦ ξύλου καὶ τὰ γενήματα τοῦ ἀγροῦ ὅπως
31 μὴ λάβητε ὀνειδισμὸν λιμοῦ ἐν τοῖς ἔθνεσιν. καὶ μνησθήσεσθε
τὰς ὁδοὺς ὑμῶν τὰς πονηρὰς καὶ τὰ ἐπιτηδεύματα ὑμῶν τὰ μὴ
ἀγαθὰ καὶ προσοχθιεῖτε κατὰ πρόσωπον αὐτῶν ἐν ταῖς ἀνομίαις
32 ὑμῶν καὶ ἐπὶ τοῖς βδελύγμασιν ὑμῶν. οὐ δι᾽ ὑμᾶς ἐγὼ ποιῶ λέ-
γει κύριος κύριος γνωστὸν ἔσται ὑμῖν αἰσχύνθητε καὶ ἐντράπητε
33 ἐκ τῶν ὁδῶν ὑμῶν οἶκος Ισραηλ. τάδε λέγει κύριος ἐν ἡμέρᾳ ᾗ
καθαριῶ ὑμᾶς ἐκ πασῶν τῶν ἀνομιῶν ὑμῶν καὶ κατοικιῶ τὰς πό-
34 λεις καὶ οἰκοδομηθήσονται αἱ ἔρημοι. καὶ ἡ γῆ ἡ ἠφανισμένη
ἐργασθήσεται ἀνθ᾽ ὧν ὅτι ἠφανισμένη ἐγενήθη κατ᾽ ὀφθαλμοὺς
35 παντὸς παροδεύοντος. καὶ ἐροῦσιν ἡ γῆ ἐκείνη ἡ ἠφανισμένη
ἐγενήθη ὡς κῆπος τρυφῆς καὶ αἱ πόλεις αἱ ἔρημοι καὶ ἠφανι-
36 σμέναι καὶ κατεσκαμμέναι ὀχυραὶ ἐκάθισαν. καὶ γνώσονται τὰ
ἔθνη ὅσα ἂν καταλειφθῶσιν κύκλῳ ὑμῶν ὅτι ἐγὼ κύριος ᾠκοδό-
μησα τὰς καθῃρημένας καὶ κατεφύτευσα τὰς ἠφανισμένας ἐγὼ
37 κύριος ἐλάλησα καὶ ποιήσω. τάδε λέγει κύριος ἔτι τοῦτο ζητη-
θήσομαι τῷ οἴκῳ Ισραηλ τοῦ ποιῆσαι αὐτοῖς πληθυνῶ αὐτοὺς ὡς

---

v.27 καί^{cc} ὁ^{dans} πνεῦμα^{nansc} ἐγώ$^{rpg-s}$ δίδωμι^{vifa1s} ἐν^{pd} σύ$^{rpd-p}$ καί^{cc} ποιέω^{vifa1s} ἵνα^{cs} ἐν^{pd} ὁ^{ddnp} δικαίωμα^{ndnpc} ἐγώ$^{rpg-s}$ πορεύομαι^{vspm2p} καί^{cc} ὁ^{danp} κρίμα^{nanpc} ἐγώ$^{rpg-s}$ φυλάσσω^{vsam2p} καί^{cc} ποιέω^{vsaa2p}. **v.28** καί^{cc} κατοικέω^{vifa2p} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} ὅς^{rrgfs} δίδωμι^{viaa1s} ὁ^{ddmp} πατήρ^{ndmpc} σύ$^{rpg-p}$ καί^{cc} εἰμί^{vifm2p} ἐγώ$^{rpd-s}$ εἰς^{pa} λαός^{namsc} καί&ἐγώ$^{cc\&rpn-s}$ εἰμί^{vifm1s} σύ$^{rpd-p}$ εἰς^{pa} θεός^{namsc}. **v.29** καί^{cc} σῴζω^{vifa1s} σύ$^{rpa-p}$ ἐκ^{pg} πᾶς^{aigfpn} ὁ^{dgfp} ἀκαθαρσία^{ngfpc} σύ$^{rpg-p}$ καί^{cc} καλέω^{vifa1s} ὁ^{dams} σῖτος^{namsc} καί^{cc} πληθύνω^{vifa1s} αὐτός^{rpams} καί^{cc} οὐ^{b} δίδωμι^{vifa1s} ἐπί^{pa} σύ$^{rpa-p}$ λιμός^{namsc}. **v.30** καί^{cc} πληθύνω^{vifa1s} ὁ^{dams} καρπός^{namsc} ὁ^{dgns} ξύλον^{ngnsc} καί^{cc} ὁ^{danp} γένημα^{nanpc} ὁ^{dgms} ἀγρός^{ngmsc} ὅπως^{cs} μή^{x} λαμβάνω^{vsaa2p} ὀνειδισμός^{namsc} λιμός^{ngmsc} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc}. **v.31** καί^{cc} μιμνήσκομαι^{vifp2p} ὁ^{dafp} ὁδός^{nafpc} σύ$^{rpg-p}$ ὁ^{dafp} πονηρός^{anafpn} καί^{cc} ὁ^{danp} ἐπιτήδευμα^{nanpc} σύ^{rpgmp} ὁ^{danp} μή^{x} ἀγαθός^{ananpn} καί^{cc} προσοχθίζω^{vifa2p} κατά^{pa} πρόσωπον^{nansc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddfp} ἀνομία^{ndfpc} σύ^{rpgmp} καί^{cc} ἐπί^{pd} ὁ^{ddnp} βδέλυγμα^{ndnpc} σύ^{rpgmp}. **v.32** οὐ^{b} διά^{pa} σύ$^{rpa-p}$ ἐγώ$^{rpn-s}$ ποιέω^{vipa1s} λέγω^{vipa3s} κύριος^{nnmsc} κύριος^{nnmsc} γνωστός^{annnsn} εἰμί^{vifm3s} σύ$^{rpd-p}$ αἰσχύνω^{vdap2p} καί^{cc} ἐντρέπω^{vdaa2p} ἐκ^{pg} ὁ^{dgfp} ὁδός^{ngfpc} σύ$^{rpg-p}$ οἶκος^{nnmsc} Ισραήλ^{ngmsp}. **v.33** ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἐν^{pd} ἡμέρα^{ndfsc} ὅς^{rrdfs} καθαρίζω^{vifa1s} σύ$^{rpa-p}$ ἐκ^{pg} πᾶς^{aigfpn} ὁ^{dgfp} ἀνομία^{ngfpc} σύ$^{rpg-p}$ καί^{cc} κατοικίζω^{vifa1s} ὁ^{dafp} πόλις^{nafpc} καί^{cc} οἰκοδομέω^{vifp3p} ὁ^{dnfp} ἔρημος^{nnfpc}. **v.34** καί^{cc} ὁ^{dnfs} γῆ^{nnfsc} ὁ^{dnfs} ἀφανίζω^{vpxpnfs} ἐργάζομαι^{vifp3s} ἀντί^{pg} ὅς^{rrgnp} ὅτι^{cs} ἀφανίζω^{vpxpnfs} γίνομαι^{viap3s} κατά^{pa} ὀφθαλμός^{nampc} πᾶς^{aigmsn} παροδεύω^{vppagms}. **v.35** καί^{cc} λέγω^{vifa3p} ὁ^{dnfs} γῆ^{nnfsc} ἐκεῖνος^{rdnfs} ὁ^{dnfs} ἀφανίζω^{vpxpnfs} γίνομαι^{viap3s} ὡς^{cs} κῆπος^{nnmsc} τρυφή^{ngfsc} καί^{cc} ὁ^{dnfp} πόλις^{nnfpc} ὁ^{dnfp} ἔρημος^{annfpn} καί^{cc} ἀφανίζω^{vpxpnfp} καί^{cc} κατασκάπτω^{vpxpnfp} ὀχυρός^{annfpn} καθίζω^{viaa3p}. **v.36** καί^{cc} γινώσκω^{vifm3p} ὁ^{dnnp} ἔθνος^{nnnpc} ὅσος^{rrnnpn} ἄν^{x} καταλείπω^{vsap3p} κύκλος^{pg} σύ$^{rpg-p}$ ὅτι^{cs} ἐγώ$^{rpn-s}$ κύριος^{nnmsc} οἰκοδομέω^{viaa1s} ὁ^{dafp} καθαιρέω^{vpxpafp} καί^{cc} καταφυτεύω^{viaa1s} ὁ^{dafp} ἀφανίζω^{vpxpafp} ἐγώ$^{rpn-s}$ κύριος^{nnmsc} λαλέω^{viaa1s} καί^{cc} ποιέω^{vifa1s}.

πρόβατα ἀνθρώπους. ὡς πρόβατα ἅγια ὡς πρόβατα Ιερουσαλημ 38
ἐν ταῖς ἑορταῖς αὐτῆς οὕτως ἔσονται αἱ πόλεις αἱ ἔρημοι πλήρεις
προβάτων ἀνθρώπων καὶ γνώσονται ὅτι ἐγὼ κύριος.

καὶ ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ κυρίου καὶ ἐξήγαγέν με ἐν πνεύματι **37**
κύριος καὶ ἔθηκέν με ἐν μέσῳ τοῦ πεδίου καὶ τοῦτο ἦν μεστὸν ὀ-
στέων ἀνθρωπίνων. καὶ περιήγαγέν με ἐπ᾽ αὐτὰ κυκλόθεν κύκλῳ 2
καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου ξηρὰ σφόδρα.
καὶ εἶπεν πρός με υἱὲ ἀνθρώπου εἰ ζήσεται τὰ ὀστᾶ ταῦτα καὶ 3
εἶπα κύριε σὺ ἐπίστῃ ταῦτα. καὶ εἶπεν πρός με προφήτευσον 4
ἐπὶ τὰ ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς τὰ ὀστᾶ τὰ ξηρά ἀκούσατε
λόγον κυρίου. τάδε λέγει κύριος τοῖς ὀστέοις τούτοις ἰδοὺ ἐ- 5
γὼ φέρω εἰς ὑμᾶς πνεῦμα ζωῆς. καὶ δώσω ἐφ᾽ ὑμᾶς νεῦρα καὶ 6
ἀνάξω ἐφ᾽ ὑμᾶς σάρκας καὶ ἐκτενῶ ἐφ᾽ ὑμᾶς δέρμα καὶ δώσω
πνεῦμά μου εἰς ὑμᾶς καὶ ζήσεσθε καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύ-
ριος. καὶ ἐπροφήτευσα καθὼς ἐνετείλατό μοι καὶ ἐγένετο ἐν τῷ 7
ἐμὲ προφητεῦσαι καὶ ἰδοὺ σεισμός καὶ προσήγαγε τὰ ὀστᾶ ἑκά-
τερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. καὶ εἶδον καὶ ἰδοὺ ἐπ᾽ αὐτὰ 8
νεῦρα καὶ σάρκες ἐφύοντο καὶ ἀνέβαινεν ἐπ᾽ αὐτὰ δέρμα ἐπάνω
καὶ πνεῦμα οὐκ ἦν ἐν αὐτοῖς. καὶ εἶπεν πρός με προφήτευσον 9
υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ τὸ πνεῦμα καὶ εἰπὸν τῷ πνεύματι
τάδε λέγει κύριος ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ καὶ ἐμφύση-

---

v.37 ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἔτι^{b} οὗτος^{rdans} ζητέω^{vifp1s} ὁ^{ddms} οἶκος^{ndmsc} Ἰσραήλ^{ngmsp} ὁ^{dgns} ποιέω^{vnaa} αὐτός^{rpdmp} πληθύνω^{vifa1s} αὐτός^{rpamp} ὡς^{cs} πρόβατον^{nanpc} ἄνθρωπος^{nampc}. **v.38** ὡς^{cs} πρόβατον^{nnnpc} ἅγιος^{annnpn} ὡς^{cs} πρόβατον^{nnnpc} Ἰερουσαλήμ^{ngfsp} ἐν^{pd} ὁ^{ddfp} ἑορτή^{ndfpc} αὐτός^{rpgfs} οὕτως^{b} εἰμί^{vifm3p} ὁ^{dnfp} πόλις^{nnfpc} ὁ^{dnfp} ἔρημος^{annfpn} πλήρης^{annfpn} πρόβατον^{ngnpc} ἄνθρωπος^{ngmpc} καί^{cc} γινώσκω^{vifm3p} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ κύριος^{nnmsc}. **37. v.1** καί^{cc} γίνομαι^{viam3s} ἐπί^{pa} ἐγώ$^{rpa-s}$ χείρ^{nnfsc} κύριος^{ngmsc} καί^{cc} ἐξάγω^{viaa3s} ἐγώ$^{rpa-s}$ ἐν^{pd} πνεῦμα^{ndnsc} κύριος^{nnmsc} καί^{cc} τίθημι^{viaa3s} ἐγώ$^{rpa-s}$ ἐν^{pd} μέσος^{andnsn} ὁ^{dgns} πεδίον^{ngnsc} καί^{cc} οὗτος^{rdnns} εἰμί^{viia3s} μεστός^{annnsn} ὀστέον^{ngnpc} ἀνθρώπινος^{angnpn}. **v.2** καί^{cc} περιάγω^{viaa3s} ἐγώ$^{rpa-s}$ ἐπί^{pa} αὐτός^{rpanp} κυκλόθεν^{b} κύκλος^{b} καί^{cc} ἰδού^{i} πολύς^{annnpn} σφόδρα^{b} ἐπί^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgns} πεδίον^{ngnsc} ξηρός^{annnpn} σφόδρα^{b}. **v.3** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} ἐγώ$^{rpa-s}$ υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} εἰ^{cs} ζάω^{vifm3s} ὁ^{dnnp} ὀστέον^{nnnpc} οὗτος^{rdnnp} καί^{cc} λέγω^{viaa1s} κύριος^{nvmsc} σύ$^{rpn-s}$ ἐπίσταμαι^{vipm2s} οὗτος^{rdanp}. **v.4** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} ἐγώ$^{rpa-s}$ προφητεύω^{vdaa2s} ἐπί^{pa} ὁ^{danp} ὀστέον^{nanpc} οὗτος^{rdanp} καί^{cc} λέγω^{vifa2s} αὐτός^{rpdnp} ὁ^{dnnp} ὀστέον^{nnnpc} ὁ^{dnnp} ξηρός^{annnpn} ἀκούω^{vdaa2p} λόγος^{namsc} κύριος^{ngmsc}. **v.5** ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ὁ^{ddnp} ὀστέον^{ndnpc} οὗτος^{rddnp} ἰδού^{i} ἐγώ$^{rpn-s}$ φέρω^{vipa1s} εἰς^{pa} σύ$^{rpa-p}$ πνεῦμα^{nansc} ζωή^{ngfsc}. **v.6** καί^{cc} δίδωμι^{vifa1s} ἐπί^{pa} σύ$^{rpa-p}$ νεῦρον^{nanpc} καί^{cc} ἀνάγω^{vifa1s} ἐπί^{pa} σύ$^{rpa-p}$ σάρξ^{nafpc} καί^{cc} ἐκτείνω^{vifa1s} ἐπί^{pa} σύ$^{rpa-p}$ δέρμα^{nansc} καί^{cc} δίδωμι^{vifa1s} πνεῦμα^{nansc} ἐγώ$^{rpg-s}$ εἰς^{pa} σύ$^{rpa-p}$ καί^{cc} ζάω^{vifm2p} καί^{cc} γινώσκω^{vifm2p} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} κύριος^{nnmsc}. **v.7** καί^{cc} προφητεύω^{viaa1s} καθώς^{cs} ἐντέλλομαι^{viam3s} ἐγώ$^{rpd-s}$ καί^{cc} γίνομαι^{viam3s} ἐν^{pd} ὁ^{ddns} ἐγώ$^{rpa-s}$ προφητεύω^{vnaa} καί^{cc} ἰδού^{i} σεισμός^{nnmsc} καί^{cc} προσάγω^{viaa3s} ὁ^{dnnp} ὀστέον^{nnnpc} ἑκάτερος^{adnnsn} πρός^{pa} ὁ^{dafs} ἁρμονία^{nafsc} αὐτός^{rpgns}. **v.8** καί^{cc} ὁράω^{viaa1s} καί^{cc} ἰδού^{i} ἐπί^{pa} αὐτός^{rpanp} νεῦρον^{nnnpc} καί^{cc} σάρξ^{nnfpc} φύω^{viim3p} καί^{cc} ἀναβαίνω^{viia3s} ἐπί^{pa} αὐτός^{rpanp} δέρμα^{nnnsc} ἐπάνω^{b} καί^{cc} πνεῦμα^{nnnsc} οὐ^{b} εἰμί^{viia3s} ἐν^{pd} αὐτός^{rpdnp}.

10 σον εἰς τοὺς νεκροὺς τούτους καὶ ζησάτωσαν. καὶ ἐπροφήτευσα
καθότι ἐνετείλατό μοι καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα καὶ ἔζη-
σαν καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν συναγωγὴ πολλὴ σφόδρα.
11 καὶ ἐλάλησεν κύριος πρός με λέγων υἱὲ ἀνθρώπου τὰ ὀστᾶ ταῦτα
πᾶς οἶκος Ισραηλ ἐστίν καὶ αὐτοὶ λέγουσιν ξηρὰ γέγονεν τὰ ὀστᾶ
12 ἡμῶν ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν διαπεφωνήκαμεν. διὰ τοῦτο προ-
φήτευσον καὶ εἰπόν τάδε λέγει κύριος ἰδοὺ ἐγὼ ἀνοίγω ὑμῶν τὰ
μνήματα καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν καὶ εἰσάξω ὑ-
13 μᾶς εἰς τὴν γῆν τοῦ Ισραηλ. καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύριος ἐν
τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων
14 τὸν λαόν μου. καὶ δώσω τὸ πνεῦμά μου εἰς ὑμᾶς καὶ ζήσεσθε
καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος
15 λελάληκα καὶ ποιήσω λέγει κύριος. καὶ ἐγένετο λόγος κυρίου
16 πρός με λέγων. υἱὲ ἀνθρώπου λαβὲ σεαυτῷ ῥάβδον καὶ γράψον
ἐπ᾽ αὐτὴν τὸν Ιουδαν καὶ τοὺς υἱοὺς Ισραηλ τοὺς προσκειμένους
ἐπ᾽ αὐτόν καὶ ῥάβδον δευτέραν λήμψῃ σεαυτῷ καὶ γράψεις αὐ-
τὴν τῷ Ιωσηφ ῥάβδον Εφραιμ καὶ πάντας τοὺς υἱοὺς Ισραηλ τοὺς
17 προστεθέντας πρὸς αὐτόν. καὶ συνάψεις αὐτὰς πρὸς ἀλλήλας
σαυτῷ εἰς ῥάβδον μίαν τοῦ δῆσαι αὐτάς καὶ ἔσονται ἐν τῇ χειρί
18 σου. καὶ ἔσται ὅταν λέγωσιν πρὸς σὲ οἱ υἱοὶ τοῦ λαοῦ σου οὐκ

---

v.9 καί^{cc} λέγω^{viaa3s} πρός^{pa} ἐγώ$^{rpa-s}$ προφητεύω^{vdaa2s} υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} προφητεύω^{vdaa2s} ἐπί^{pa} ὁ^{dans} πνεῦμα^{nansc} καί^{cc} λέγω^{vdaa2s} ὁ^{ddns} πνεῦμα^{ndnsc} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἐκ^{pg} ὁ^{dgnp} τέσσαρες^{acgnpn} πνεῦμα^{ngnpc} ἔρχομαι^{vdaa2s} καί^{cc} ἐμφυσάω^{vdaa2s} εἰς^{pa} ὁ^{damp} νεκρός^{anampn} οὗτος^{rdamp} καί^{cc} ζάω^{vdaa3p}. **v.10** καί^{cc} προφητεύω^{viaa1s} καθότι^{cs} ἐντέλλομαι^{viam3s} ἐγώ$^{rpd-s}$ καί^{cc} εἰσέρχομαι^{viaa3s} εἰς^{pa} αὐτός^{rpamp} ὁ^{dnns} πνεῦμα^{nnnsc} καί^{cc} ζάω^{viaa3p} καί^{cc} ἵστημι^{viaa3p} ἐπί^{pg} ὁ^{dgmp} πούς^{ngmpc} αὐτός^{rpgmp} συναγωγή^{nnfsc} πολύς^{annfsn} σφόδρα^{b}. **v.11** καί^{cc} λαλέω^{viaa3s} κύριος^{nnmsc} πρός^{pa} ἐγώ$^{rpa-s}$ λέγω^{vppanms} υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} ὁ^{dnnp} ὀστέον^{nnnpc} οὗτος^{rdnnp} πᾶς^{ainmsn} οἶκος^{nnmsc} Ἰσραήλ^{ngmsp} εἰμί^{vipa3s} καί^{cc} αὐτός^{rpnmp} λέγω^{vipa3p} ξηρός^{annnpn} γίνομαι^{vixa3s} ὁ^{dnnp} ὀστέον^{nnnpc} ἐγώ$^{rpg-p}$ ἀπόλλυμι^{vixa3s} ὁ^{dnfs} ἐλπίς^{nnfsc} ἐγώ$^{rpg-p}$ διαφωνέω^{vixa1p}. **v.12** διά^{pa} οὗτος^{rdans} προφητεύω^{vdaa2s} καί^{cc} λέγω^{vdaa2s} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἰδού^{i} ἐγώ$^{rpn-s}$ ἀνοίγω^{vipa1s} σύ$^{rpg-p}$ ὁ^{danp} μνῆμα^{nanpc} καί^{cc} ἀνάγω^{vifa1s} σύ$^{rpa-p}$ ἐκ^{pg} ὁ^{dgnp} μνῆμα^{ngnpc} σύ$^{rpg-p}$ καί^{cc} εἰσάγω^{vifa1s} σύ$^{rpa-p}$ εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp}. **v.13** καί^{cc} γινώσκω^{vifm2p} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} κύριος^{nnmsc} ἐν^{pd} ὁ^{ddns} ἀνοίγω^{vnaa} ἐγώ$^{rpa-s}$ ὁ^{damp} τάφος^{nampc} σύ$^{rpg-p}$ ὁ^{dgns} ἀνάγω^{vnaa} ἐγώ$^{rpa-s}$ ἐκ^{pg} ὁ^{dgmp} τάφος^{ngmpc} ὁ^{dams} λαός^{namsc} ἐγώ$^{rpg-s}$. **v.14** καί^{cc} δίδωμι^{vifa1s} ὁ^{dans} πνεῦμα^{nansc} ἐγώ$^{rpg-s}$ εἰς^{pa} σύ$^{rpa-p}$ καί^{cc} ζάω^{vifm2p} καί^{cc} τίθημι^{vifm1s} σύ$^{rpa-p}$ ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} σύ$^{rpg-p}$ καί^{cc} γινώσκω^{vifm2p} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ κύριος^{nnmsc} λαλέω^{vixa1s} καί^{cc} ποιέω^{vifa1s} λέγω^{vipa3s} κύριος^{nnmsc}. **v.15** καί^{cc} γίνομαι^{viam3s} λόγος^{nnmsc} κύριος^{ngmsc} πρός^{pa} ἐγώ$^{rpa-s}$ λέγω^{vppanms}. **v.16** υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} λαμβάνω^{vdaa2s} σεαυτοῦ^{rxdms} ῥάβδος^{nafsc} καί^{cc} γράφω^{vdaa2s} ἐπί^{pa} αὐτός^{rpafs} ὁ^{dams} Ἰούδας^{namsp} καί^{cc} ὁ^{damp} υἱός^{nampc} Ἰσραήλ^{ngmsp} ὁ^{damp} πρόσκειμαι^{vpppamp} ἐπί^{pa} αὐτός^{rpams} καί^{cc} ῥάβδος^{nafsc} δεύτερος^{aoafsn} λαμβάνω^{vifm2s} σεαυτοῦ^{rxdms} καί^{cc} γράφω^{vifa2s} αὐτός^{rpafs} ὁ^{ddms} Ἰωσήφ^{ndmsp} ῥάβδος^{nafsc} Ἐφραίμ^{ngmsp} καί^{cc} πᾶς^{aiampn} ὁ^{damp} υἱός^{nampc} Ἰσραήλ^{ngmsp} ὁ^{damp} προστίθημι^{vpapamp} πρός^{pa} αὐτός^{rpams}. **v.17** καί^{cc} συνάπτω^{vifa2s} αὐτός^{rpafp} πρός^{pa} ἀλλήλων^{reafp} σεαυτοῦ^{rxdms} εἰς^{pa} ῥάβδος^{nafsc} εἷς^{acafsn} ὁ^{dgns} δέω^{vnaa} αὐτός^{rpafp} καί^{cc} εἰμί^{vifm3p} ἐν^{pd} ὁ^{ddfs} χείρ^{ndfsc} σύ$^{rpg-s}$.

ἀναγγελεῖς ἡμῖν τί ἐστιν ταῦτά σοι. καὶ ἐρεῖς πρὸς αὐτούς τάδε 19
λέγει κύριος ἰδοὺ ἐγὼ λήμψομαι τὴν φυλὴν Ιωσηφ τὴν διὰ χει-
ρὸς Εφραιμ καὶ τὰς φυλὰς Ισραηλ τὰς προσκειμένας πρὸς αὐτὸν
καὶ δώσω αὐτοὺς ἐπὶ τὴν φυλὴν Ιουδα καὶ ἔσονται εἰς ῥάβδον
μίαν ἐν τῇ χειρὶ Ιουδα. καὶ ἔσονται αἱ ῥάβδοι ἐφ᾽ αἷς σὺ ἔγρα- 20
ψας ἐπ᾽ αὐταῖς ἐν τῇ χειρί σου ἐνώπιον αὐτῶν. καὶ ἐρεῖς αὐτοῖς 21
τάδε λέγει κύριος κύριος ἰδοὺ ἐγὼ λαμβάνω πάντα οἶκον Ισραηλ
ἐκ μέσου τῶν ἐθνῶν οὗ εἰσήλθοσαν ἐκεῖ καὶ συνάξω αὐτοὺς ἀπὸ
πάντων τῶν περικύκλῳ αὐτῶν καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν τοῦ
Ισραηλ. καὶ δώσω αὐτοὺς εἰς ἔθνος ἓν ἐν τῇ γῇ μου καὶ ἐν τοῖς 22
ὄρεσιν Ισραηλ καὶ ἄρχων εἷς ἔσται αὐτῶν καὶ οὐκ ἔσονται ἔτι εἰς
δύο ἔθνη οὐδὲ μὴ διαιρεθῶσιν οὐκέτι εἰς δύο βασιλείας. ἵνα μὴ 23
μιαίνωνται ἔτι ἐν τοῖς εἰδώλοις αὐτῶν καὶ ῥύσομαι αὐτοὺς ἀπὸ
πασῶν τῶν ἀνομιῶν αὐτῶν ὧν ἡμάρτοσαν ἐν αὐταῖς καὶ καθαριῶ
αὐτούς καὶ ἔσονταί μοι εἰς λαόν καὶ ἐγὼ κύριος ἔσομαι αὐτοῖς εἰς
θεόν. καὶ ὁ δοῦλός μου Δαυιδ ἄρχων ἐν μέσῳ αὐτῶν καὶ ποιμὴν 24
εἷς ἔσται πάντων ὅτι ἐν τοῖς προστάγμασίν μου πορεύσονται καὶ
τὰ κρίματά μου φυλάξονται καὶ ποιήσουσιν αὐτά. καὶ κατοικήσουσιν 25
ἐπὶ τῆς γῆς αὐτῶν ἣν ἐγὼ δέδωκα τῷ δούλῳ μου Ιακωβ οὗ
κατῴκησαν ἐκεῖ οἱ πατέρες αὐτῶν καὶ κατοικήσουσιν ἐπ᾽ αὐτῆς

---

v.18 καί^{cc} εἰμί^{vifm3s} ὅταν^{cs} λέγω^{vspa3p} πρός^{pa} σύ$^{rpa\text{-}s}$ ὁ^{dnmp} υἱός^{nnmpc} ὁ^{dgms} λαός^{ngmsc} σύ$^{rpg\text{-}s}$ οὐ^{b} ἀναγγέλλω^{vifa2s} ἐγώ$^{rpd\text{-}p}$ τίς^{rqnns} εἰμί^{vipa3s} οὗτος^{rdnnp} σύ$^{rpd\text{-}s}$. **v.19** καί^{cc} λέγω^{vifa2s} πρός^{pa} αὐτός^{rpamp} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἰδού^{i} ἐγώ$^{rpn\text{-}s}$ λαμβάνω^{vifm1s} ὁ^{dafs} φυλή^{nafsc} Ἰωσήφ^{ngmsp} ὁ^{dafs} διά^{pg} χείρ^{ngfsc} Ἐφραίμ^{ngmsp} καί^{cc} ὁ^{dafp} φυλή^{nafpc} Ἰσραήλ^{ngmsp} ὁ^{dafp} πρόσκειμαι^{vpppafp} πρός^{pa} αὐτός^{rpams} καί^{cc} δίδωμι^{vifa1s} αὐτός^{rpamp} ἐπί^{pa} ὁ^{dafs} φυλή^{nafsc} Ἰούδας^{ngmsp} καί^{cc} εἰμί^{vifm3p} εἰς^{pa} ῥάβδος^{nafsc} εἷς^{acafsn} ἐν^{pd} ὁ^{ddfs} χείρ^{ndfsc} Ἰούδας^{ngmsp}. **v.20** καί^{cc} εἰμί^{vifm3p} ὁ^{dnfp} ῥάβδος^{nnfpc} ἐπί^{pd} ὅς^{rrdfp} σύ$^{rpn\text{-}s}$ γράφω^{viaa2s} ἐπί^{pd} αὐτός^{rpdfp} ἐν^{pd} ὁ^{ddfs} χείρ^{ndfsc} σύ$^{rpg\text{-}s}$ ἐνώπιον^{pg} αὐτός^{rpgmp}. **v.21** καί^{cc} λέγω^{vifa2s} αὐτός^{rpdmp} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} κύριος^{nnmsc} ἰδού^{i} ἐγώ$^{rpn\text{-}s}$ λαμβάνω^{vipa1s} πᾶς^{aiamsn} οἶκος^{namsc} Ἰσραήλ^{ngmsp} ἐκ^{pg} μέσος^{angnsn} ὁ^{dgnp} ἔθνος^{ngnpc} ὅς^{b} εἰσέρχομαι^{viaa3p} ἐκεῖ^{b} καί^{cc} συνάγω^{vifa1s} αὐτός^{rpamp} ἀπό^{pg} πᾶς^{aigmpn} ὁ^{dgmp} περικύκλῳ^{b} αὐτός^{rpgmp} καί^{cc} εἰσάγω^{vifa1s} αὐτός^{rpamp} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp}. **v.22** καί^{cc} δίδωμι^{vifa1s} αὐτός^{rpamp} εἰς^{pa} ἔθνος^{nansc} εἷς^{acansn} ἐν^{pd} ὁ^{ddfs} γῆ^{ndfsc} ἐγώ$^{rpg\text{-}s}$ καί^{cc} ἐν^{pd} ὁ^{ddnp} ὄρος^{ndnpc} Ἰσραήλ^{ngmsp} καί^{cc} ἄρχων^{nnmsc} εἷς^{acnmsn} εἰμί^{vifm3s} αὐτός^{rpgmp} καί^{cc} οὐ^{b} εἰμί^{vifm3p} ἔτι^{b} εἰς^{pa} δύο$^{ac\text{—}n}$ ἔθνος^{nanpc} οὐδέ^{cc} μή^{x} διαιρέω^{vsap3p} οὐκέτι^{b} εἰς^{pa} δύο$^{ac\text{—}n}$ βασιλεία^{nafpc}. **v.23** ἵνα^{cs} μή^{x} μιαίνω^{vspm3p} ἔτι^{b} ἐν^{pd} ὁ^{ddnp} εἴδωλον^{ndnpc} αὐτός^{rpgmp} καί^{cc} ῥύομαι^{vifm1s} αὐτός^{rpamp} ἀπό^{pg} πᾶς^{aigfpn} ὁ^{dgfp} ἀνομία^{ngfpc} αὐτός^{rpgmp} ὅς^{rrgfp} ἁμαρτάνω^{viaa3p} ἐν^{pd} αὐτός^{rpdfp} καί^{cc} καθαρίζω^{vifa1s} αὐτός^{rpamp} καί^{cc} εἰμί^{vifm3p} ἐγώ$^{rpd\text{-}s}$ εἰς^{pa} λαός^{namsc} καί^{cc} ἐγώ$^{rpn\text{-}s}$ κύριος^{nnmsc} εἰμί^{vifm1s} αὐτός^{rpdmp} εἰς^{pa} θεός^{namsc}. **v.24** καί^{cc} ὁ^{dnms} δοῦλος^{nnmsc} ἐγώ$^{rpg\text{-}s}$ Δαυίδ^{nnmsp} ἄρχων^{nnmsc} ἐν^{pd} μέσος^{andnsn} αὐτός^{rpgmp} καί^{cc} ποιμήν^{nnmsc} εἷς^{acnmsn} εἰμί^{vifm3s} πᾶς^{aigmpn} ὅτι^{cs} ἐν^{pd} ὁ^{ddnp} πρόσταγμα^{ndnpc} ἐγώ$^{rpg\text{-}s}$ πορεύομαι^{vifm3p} καί^{cc} ὁ^{danp} κρίμα^{nanpc} ἐγώ$^{rpg\text{-}s}$ φυλάσσω^{vifm3p} καί^{cc} ποιέω^{vifa3p} αὐτός^{rpanp}.

αὐτοί καὶ Δαυιδ ὁ δοῦλός μου ἄρχων αὐτῶν ἔσται εἰς τὸν αἰῶνα.
26 καὶ διαθήσομαι αὐτοῖς διαθήκην εἰρήνης διαθήκη αἰωνία ἔσται
μετ᾽ αὐτῶν καὶ θήσω τὰ ἁγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα.
27 καὶ ἔσται ἡ κατασκήνωσίς μου ἐν αὐτοῖς καὶ ἔσομαι αὐτοῖς θεός
28 καὶ αὐτοί μου ἔσονται λαός. καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι
κύριος ὁ ἁγιάζων αὐτοὺς ἐν τῷ εἶναι τὰ ἁγιά μου ἐν μέσῳ αὐτῶν
εἰς τὸν αἰῶνα.

38, 2 καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώπου στή-
ρισον τὸ πρόσωπόν σου ἐπὶ Γωγ καὶ τὴν γῆν τοῦ Μαγωγ ἄρχοντα
3 Ρως Μοσοχ καὶ Θοβελ καὶ προφήτευσον ἐπ᾽ αὐτόν. καὶ εἰπὸν
αὐτῷ τάδε λέγει κύριος κύριος ἰδοὺ ἐγὼ ἐπὶ σὲ Γωγ ἄρχοντα Ρως
4 Μοσοχ καὶ Θοβελ. καὶ συνάξω σε καὶ πᾶσαν τὴν δύναμίν σου ἵπ-
που καὶ ἱππεῖς ἐνδεδυμένους θώρακας πάντας συναγωγὴ πολλή
5 πέλται καὶ περικεφαλαῖαι καὶ μάχαιραι. Πέρσαι καὶ Αἰθίοπες
6 καὶ Λίβυες πάντες περικεφαλαίαις καὶ πέλταις. Γομερ καὶ πάν-
τες οἱ περὶ αὐτόν οἶκος τοῦ Θεργαμα ἀπ᾽ ἐσχάτου βορρᾶ καὶ
7 πάντες οἱ περὶ αὐτόν καὶ ἔθνη πολλὰ μετὰ σοῦ. ἑτοιμάσθητι
ἑτοίμασον σεαυτὸν σὺ καὶ πᾶσα ἡ συναγωγή σου οἱ συνηγμένοι
8 μετὰ σοῦ καὶ ἔσῃ μοι εἰς προφυλακήν. ἀφ᾽ ἡμερῶν πλειόνων
ἑτοιμασθήσεται καὶ ἐπ᾽ ἐσχάτου ἐτῶν ἐλεύσεται καὶ ἥξει εἰς τὴν
γῆν τὴν ἀπεστραμμένην ἀπὸ μαχαίρας συνηγμένων ἀπὸ ἐθνῶν

---

v.25 καί^{cc} κατοικέω^{vifa3p} ἐπί^{pg} ὁ^{dgfs} γῆ^{ngfsc} αὐτός^{rpgmp} ὅς^{rrafs} ἐγώ$^{rpn-s}$ δίδωμι^{vixa1s} ὁ^{ddms} δοῦλος^{ndmsc} ἐγώ$^{rpg-s}$ Ἰακώβ^{ndmsp} ὅς^{b} κατοικέω^{viaa3p} ἐκεῖ^{b} ὁ^{dnmp} πατήρ^{nnmpc} αὐτός^{rpgmp} καί^{cc} κατοικέω^{vifa3p} ἐπί^{pg} αὐτός^{rpgfs} αὐτός^{rpnmp} καί^{cc} Δαυίδ^{nnmsp} ὁ^{dnms} δοῦλος^{nnmsc} ἐγώ$^{rpg-s}$ ἄρχων^{nnmsc} αὐτός^{rpgmp} εἰμί^{vifm3s} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.26** καί^{cc} διατίθημι^{vifm1s} αὐτός^{rpdmp} διαθήκη^{nafsc} εἰρήνη^{ngfsc} διαθήκη^{nnfsc} αἰώνιος^{annfsn} εἰμί^{vifm3s} μετά^{pg} αὐτός^{rpgmp} καί^{cc} τίθημι^{vifa1s} ὁ^{danp} ἅγιος^{ananpn} ἐγώ$^{rpg-s}$ ἐν^{pd} μέσος^{andnsn} αὐτός^{rpgmp} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **v.27** καί^{cc} εἰμί^{vifm3s} ὁ^{dnfs} κατασκήνωσις^{nnfsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} αὐτός^{rpdmp} καί^{cc} εἰμί^{vifm1s} αὐτός^{rpdmp} θεός^{nnmsc} καί^{cc} αὐτός^{rpnmp} ἐγώ$^{rpg-s}$ εἰμί^{vifm3p} λαός^{nnmsc}. **v.28** καί^{cc} γινώσκω^{vifm3p} ὁ^{dnnp} ἔθνος^{nnnpc} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} κύριος^{nnmsc} ὁ^{dnms} ἁγιάζω^{vppanms} αὐτός^{rpamp} ἐν^{pd} ὁ^{ddns} εἰμί^{vnpa} ὁ^{danp} ἅγιος^{ananpn} ἐγώ$^{rpg-s}$ ἐν^{pd} μέσος^{andnsn} αὐτός^{rpgmp} εἰς^{pa} ὁ^{dams} αἰών^{namsc}. **38. v.1** καί^{cc} γίνομαι^{viam3s} λόγος^{nnmsc} κύριος^{ngmsc} πρός^{pa} ἐγώ$^{rpa-s}$ λέγω^{vppanms}. **v.2** υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} στηρίζω^{vdaa2s} ὁ^{dans} πρόσωπον^{nansc} σύ$^{rpg-s}$ ἐπί^{pa} Γώγ^{namsp} καί^{cc} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dgms} Μαγώγ^{ngmsp} ἄρχων^{namsc} Ρως^{ng-sp} Μοσοχ^{ng-sp} καί^{cc} Θοβελ^{ng-sp} καί^{cc} προφητεύω^{vdaa2s} ἐπί^{pa} αὐτός^{rpams}. **v.3** καί^{cc} λέγω^{vdaa2s} αὐτός^{rpdms} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} κύριος^{nnmsc} ἰδού^{i} ἐγώ$^{rpn-s}$ ἐπί^{pa} σύ$^{rpa-s}$ Γώγ^{nvmsp} ἄρχων^{namsc} Ρως^{ng-sp} Μοσοχ^{ng-sp} καί^{cc} Θοβελ^{ng-sp}. **v.4** καί^{cc} συνάγω^{vifa1s} σύ$^{rpa-s}$ καί^{cc} πᾶς^{aiafsn} ὁ^{dafs} δύναμις^{nafsc} σύ$^{rpg-s}$ ἵππος^{nampc} καί^{cc} ἱππεύς^{nampc} ἐνδύω^{vpxpamp} θώραξ^{nampc} πᾶς^{aiampn} συναγωγή^{nnfsc} πολύς^{annfsn} πέλτη^{nnfpc} καί^{cc} περικεφαλαία^{nnfpc} καί^{cc} μάχαιρα^{nnfpc}. **v.5** Πέρσης^{nnmpp} καί^{cc} Αἰθίοψ^{nnmpp} καί^{cc} Λίβυες^{nnmpp} πᾶς^{ainmpn} περικεφαλαία^{ndfpc} καί^{cc} πέλτη^{ndfpc}. **v.6** Γομερ^{nnmsp} καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} περί^{pa} αὐτός^{rpams} οἶκος^{nnmsc} ὁ^{dgms} Θεργαμα^{ng-sp} ἀπό^{pg} ἔσχατος^{angmsn} βορέας^{ngmsc} καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} περί^{pa} αὐτός^{rpams} καί^{cc} ἔθνος^{nnnpc} πολύς^{annnpn} μετά^{pg} σύ$^{rpg-s}$. **v.7** ἑτοιμάζω^{vdap2s} ἑτοιμάζω^{vdaa2s} σεαυτοῦ^{rxams} σύ$^{rpn-s}$ καί^{cc} πᾶς^{ainfsn} ὁ^{dnfs} συναγωγή^{nnfsc} σύ$^{rpg-s}$ ὁ^{dnmp} συνάγω^{vpxpnmp} μετά^{pg} σύ$^{rpg-s}$ καί^{cc} εἰμί^{vifm2s} ἐγώ$^{rpd-s}$ εἰς^{pa} προφυλακή^{nafsc}.

πολλῶν ἐπὶ γῆν Ισραηλ ἣ ἐγενήθη ἔρημος δι᾽ ὅλου καὶ οὗτος ἐξ ἐθνῶν ἐξελήλυθεν καὶ κατοικήσουσιν ἐπ᾽ εἰρήνης ἅπαντες. καὶ 9
ἀναβήσῃ ὡς ὑετὸς καὶ ἥξεις ὡς νεφέλη κατακαλύψαι γῆν καὶ ἔσῃ
σὺ καὶ πάντες οἱ περὶ σὲ καὶ ἔθνη πολλὰ μετὰ σοῦ. τάδε λέγει 10
κύριος κύριος καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναβήσεται ῥήματα
ἐπὶ τὴν καρδίαν σου καὶ λογιῇ λογισμοὺς πονηροὺς. καὶ ἐρεῖς 11
ἀναβήσομαι ἐπὶ γῆν ἀπερριμμένην ἥξω ἐπὶ ἡσυχάζοντας ἐν ἡσυ-
χίᾳ καὶ οἰκοῦντας ἐπ᾽ εἰρήνης πάντας κατοικοῦντας γῆν ἐν ᾗ οὐχ
ὑπάρχει τεῖχος οὐδὲ μοχλοί καὶ θύραι οὐκ εἰσὶν αὐτοῖς. προ- 12
νομεῦσαι προνομὴν καὶ σκυλεῦσαι σκῦλα αὐτῶν τοῦ ἐπιστρέψαι
χεῖρά σου εἰς τὴν ἠρημωμένην ἣ κατῳκίσθη καὶ ἐπ᾽ ἔθνος συ-
νηγμένον ἀπὸ ἐθνῶν πολλῶν πεποιηκότας κτήσεις κατοικοῦντας
ἐπὶ τὸν ὀμφαλὸν τῆς γῆς. Σαβα καὶ Δαιδαν καὶ ἔμποροι Καρχη- 13
δόνιοι καὶ πᾶσαι αἱ κῶμαι αὐτῶν ἐροῦσίν σοι εἰς προνομὴν τοῦ
προνομεῦσαι σὺ ἔρχῃ καὶ σκυλεῦσαι σκῦλα συνήγαγες συναγω-
γήν σου λαβεῖν ἀργύριον καὶ χρυσίον ἀπενέγκασθαι κτῆσιν τοῦ
σκυλεῦσαι σκῦλα. διὰ τοῦτο προφήτευσον υἱὲ ἀνθρώπου καὶ 14
εἰπὸν τῷ Γωγ τάδε λέγει κύριος οὐκ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν τῷ
κατοικισθῆναι τὸν λαόν μου Ισραηλ ἐπ᾽ εἰρήνης ἐγερθήσῃ. καὶ 15
ἥξεις ἐκ τοῦ τόπου σου ἀπ᾽ ἐσχάτου βορρᾶ καὶ ἔθνη πολλὰ μετὰ
σοῦ ἀναβάται ἵππων πάντες συναγωγὴ μεγάλη καὶ δύναμις πολ-

---

v.8 ἀπό^{pg} ἡμέρα^{ngfpc} πολύς^{angfpc} ἑτοιμάζω^{vifp3s} καί^{cc} ἐπί^{pg} ἔσχατος^{angnsn} ἔτος^{ngnpc} ἔρχομαι^{vifm3s} καί^{cc} ἥκω^{vifa3s} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dafs} ἀποστρέφω^{vpxpafs} ἀπό^{pg} μάχαιρα^{nafpc} συνάγω^{vpxpgmp} ἀπό^{pg} ἔθνος^{ngnpc} πολύς^{angnpn} ἐπί^{pa} γῆ^{nafsc} Ἰσραήλ^{ngmsp} ὅς^{rrnfs} γίνομαι^{viap3s} ἔρημος^{annfsn} διά^{pg} ὅλος^{angnsn} καί^{cc} οὗτος^{rdnms} ἐκ^{pg} ἔθνος^{ngnpc} ἐξέρχομαι^{vixa3s} καί^{cc} κατοικέω^{vifa3p} ἐπί^{pg} εἰρήνη^{ngfsc} ἅπας^{annmpn}. **v.9** καί^{cc} ἀναβαίνω^{vifm2s} ὡς^{cs} ὑετός^{nnmsc} καί^{cc} ἥκω^{vifa2s} ὡς^{cs} νεφέλη^{nnfsc} κατακαλύπτω^{vnaa} γῆ^{nafsc} καί^{cc} εἰμί^{vifm2s} σύ$^{rpn-s}$ καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} περί^{pa} σύ$^{rpa-s}$ καί^{cc} ἔθνος^{nnnpc} πολύς^{annnpn} μετά^{pg} σύ$^{rpg-s}$. **v.10** ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} κύριος^{nnmsc} καί^{cc} εἰμί^{vifm3s} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἐκεῖνος^{rddfs} ἀναβαίνω^{vifm3s} ῥῆμα^{nnnpc} ἐπί^{pa} ὁ^{dafs} καρδία^{nafsc} σύ$^{rpg-s}$ καί^{cc} λογίζομαι^{vifm2s} λογισμός^{nampc} πονηρός^{anampn}. **v.11** καί^{cc} λέγω^{vifa2s} ἀναβαίνω^{vifm1s} ἐπί^{pa} γῆ^{nafsc} ἀπορίπτω^{vpxpafs} ἥκω^{vifa1s} ἐπί^{pd} ἡσυχάζω^{vppaamp} ἐν^{pd} ἡσυχία^{ndfsc} καί^{cc} οἰκέω^{vppaamp} ἐπί^{pg} εἰρήνη^{ngfsc} πᾶς^{aiampn} κατοικέω^{vppaamp} γῆ^{nafsc} ἐν^{pd} ὅς^{rrdfs} οὐ^{b} ὑπάρχω^{vipa3s} τεῖχος^{nnnsc} οὐδέ^{cc} μοχλός^{nnmpc} καί^{cc} θύρα^{nnfpc} οὐ^{b} εἰμί^{vipa3p} αὐτός^{rpdmp}. **v.12** προνομεύω^{vnaa} προνομή^{nafsc} καί^{cc} σκυλεύω^{vnaa} σκῦλον^{nanpc} αὐτός^{rpgmp} ὁ^{dgns} ἐπιστρέφω^{vnaa} χείρ^{nafsc} σύ$^{rpg-s}$ εἰς^{pa} ὁ^{dafs} ἐρημόω^{vpxpafs} ὅς^{rrnfs} κατοικίζω^{viap3s} καί^{cc} ἐπί^{pa} ἔθνος^{nansc} συνάγω^{vpxpans} ἀπό^{pg} ἔθνος^{ngnpc} πολύς^{angnpn} ποιέω^{vpxaamp} κτῆσις^{nafpc} κατοικέω^{vppaamp} ἐπί^{pa} ὁ^{dams} ὀμφαλός^{namsc} ὁ^{dgfs} γῆ^{ngfsc}. **v.13** Σαβα^{nn-sp} καί^{cc} Δαιδαν^{nn-sp} καί^{cc} ἔμπορος^{nnmpc} Καρχηδόνιοι^{nnmpp} καί^{cc} πᾶς^{ainfpn} ὁ^{dnfp} κώμη^{nnfpc} αὐτός^{rpgmp} λέγω^{vifa3p} σύ$^{rpd-s}$ εἰς^{pa} προνομή^{nafsc} ὁ^{dgns} προνομεύω^{vnaa} σύ$^{rpn-s}$ ἔρχομαι^{vipm2s} καί^{cc} σκυλεύω^{vnaa} σκῦλον^{nanpc} συνάγω^{viaa2s} συναγωγή^{nafsc} σύ$^{rpg-s}$ λαμβάνω^{vnaa} ἀργύριον^{nansc} καί^{cc} χρυσίον^{nansc} ἀποφέρω^{vnam} κτῆσις^{nafsc} ὁ^{dgns} σκυλεύω^{vnaa} σκῦλον^{nanpc}. **v.14** διά^{pa} οὗτος^{rdans} προφητεύω^{vdaa2s} υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} καί^{cc} λέγω^{vdaa2s} ὁ^{ddms} Γώγ^{ndmsp} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} οὐ^{b} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἐκεῖνος^{rddfs} ἐν^{pd} ὁ^{ddns} κατοικίζω^{vnap} ὁ^{dams} λαός^{namsc} ἐγώ$^{rpg-s}$ Ἰσραήλ^{namsp} ἐπί^{pg} εἰρήνη^{ngfsc} ἐγείρω^{vifp2s}.

16 λή. καὶ ἀναβήσῃ ἐπὶ τὸν λαόν μου Ισραηλ ὡς νεφέλη καλύψαι
γῆν ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἔσται καὶ ἀνάξω σε ἐπὶ τὴν γῆν μου
ἵνα γνῶσιν πάντα τὰ ἔθνη ἐμὲ ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώπιον
17 αὐτῶν. τάδε λέγει κύριος κύριος τῷ Γωγ σὺ εἶ περὶ οὗ ἐλάλησα
πρὸ ἡμερῶν τῶν ἔμπροσθεν διὰ χειρὸς τῶν δούλων μου προφη-
τῶν τοῦ Ισραηλ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσιν τοῦ ἀγαγεῖν
18 σε ἐπ᾽ αὐτούς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ἡμέρᾳ ᾗ ἂν ἔλθῃ
Γωγ ἐπὶ τὴν γῆν τοῦ Ισραηλ λέγει κύριος κύριος ἀναβήσεται ὁ
19 θυμός μου. καὶ ὁ ζῆλός μου ἐν πυρὶ τῆς ὀργῆς μου ἐλάλησα
εἰ μὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται σεισμὸς μέγας ἐπὶ γῆς Ισραηλ.
20 καὶ σεισθήσονται ἀπὸ προσώπου κυρίου οἱ ἰχθύες τῆς θαλάσσης
καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τοῦ πεδίου καὶ πάντα
τὰ ἑρπετὰ τὰ ἕρποντα ἐπὶ τῆς γῆς καὶ πάντες οἱ ἄνθρωποι οἱ ἐπὶ
προσώπου τῆς γῆς καὶ ῥαγήσεται τὰ ὄρη καὶ πεσοῦνται αἱ φά-
21 ραγγες καὶ πᾶν τεῖχος ἐπὶ τὴν γῆν πεσεῖται. καὶ καλέσω ἐπ᾽
αὐτὸν πᾶν φόβον λέγει κύριος μάχαιρα ἀνθρώπου ἐπὶ τὸν ἀδελ-
22 φὸν αὐτοῦ ἔσται. καὶ κρινῶ αὐτὸν θανάτῳ καὶ αἵματι καὶ ὑετῷ
κατακλύζοντι καὶ λίθοις χαλάζης καὶ πῦρ καὶ θεῖον βρέξω ἐπ᾽ αὐ-
τὸν καὶ ἐπὶ πάντας τοὺς μετ᾽ αὐτοῦ καὶ ἐπ᾽ ἔθνη πολλὰ μετ᾽ αὐτοῦ.
23 καὶ μεγαλυνθήσομαι καὶ ἁγιασθήσομαι καὶ ἐνδοξασθήσομαι καὶ

---

v.15 καί[cc] ἥκω[vifa2s] ἐκ[pg] ὁ[dgms] τόπος[ngmsc] σύ[rpg-s] ἀπό[pg] ἔσχατος[angmsn] βορέας[ngmsc] καί[cc] ἔθνος[nnnpc] πολύς[annnpn] μετά[pg] σύ[rpg-s] ἀναβάτης[nnmpc] ἵππος[ngmpc] πᾶς[ainmpn] συναγωγή[nnfsc] μέγας[annfsn] καί[cc] δύναμις[nnfsc] πολύς[annfsn]. **v.16** καί[cc] ἀναβαίνω[vifm2s] ἐπί[pa] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] Ἰσραήλ[namsp] ὡς[cs] νεφέλη[nnfsc] καλύπτω[vnaa] γῆ[nafsc] ἐπί[pg] ἔσχατος[angfpn] ὁ[dgfp] ἡμέρα[ngfpc] εἰμί[vifm3s] καί[cc] ἀνάγω[vifa1s] σύ[rpa-s] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ἐγώ[rpg-s] ἵνα[cs] γινώσκω[vsaa3p] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] ἐγώ[rpa-s] ἐν[pd] ὁ[ddns] ἁγιάζω[vnap] ἐγώ[rpa-s] ἐν[pd] σύ[rpd-s] ἐνώπιον[pg] αὐτός[rpgnp]. **v.17** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] κύριος[nnmsc] ὁ[ddms] Γώγ[ndmsp] σύ[rpn-s] εἰμί[vipa2s] περί[pg] ὅς[rrgns] λαλέω[viaa1s] πρό[pg] ἡμέρα[ngfpc] ὁ[dgfp] ἔμπροσθεν[b] διά[pg] χείρ[ngfsc] ὁ[dgmp] δοῦλος[ngmpc] ἐγώ[rpg-s] προφήτης[ngmpc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ἐν[pd] ὁ[ddfp] ἡμέρα[ndfpc] ἐκεῖνος[rddfp] καί[cc] ἔτος[ndnpc] ὁ[dgns] ἄγω[vnaa] σύ[rpa-s] ἐπί[pa] αὐτός[rpamp]. **v.18** καί[cc] εἰμί[vifm3s] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] ἐν[pd] ἡμέρα[ndfsc] ὅς[rrdfs] ἄν[x] ἔρχομαι[vsaa3s] Γώγ[nnmsp] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] λέγω[vipa3s] κύριος[nnmsc] κύριος[nnmsc] ἀναβαίνω[vifm3s] ὁ[dnms] θυμός[nnmsc] ἐγώ[rpg-s]. **v.19** καί[cc] ὁ[dnms] ζῆλος[nnmsc] ἐγώ[rpg-s] ἐν[pd] πῦρ[ndnsc] ὁ[dgfs] ὀργή[ngfsc] ἐγώ[rpg-s] λαλέω[viaa1s] εἰ[cs] μήν[x] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ἐκεῖνος[rddfs] εἰμί[vifm3s] σεισμός[nnmsc] μέγας[annmsn] ἐπί[pg] γῆ[ngfsc] Ἰσραήλ[ngmsp]. **v.20** καί[cc] σείω[vifp3p] ἀπό[pg] πρόσωπον[ngnsc] κύριος[ngmsc] ὁ[dnmp] ἰχθύς[nnmpc] ὁ[dgfs] θάλασσα[ngfsc] καί[cc] ὁ[dnnp] πετεινός[nnnpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ὁ[dnnp] θηρίον[nnnpc] ὁ[dgns] πεδίον[ngnsc] καί[cc] πᾶς[ainnpn] ὁ[dnnp] ἑρπετόν[nnnpc] ὁ[dnnp] ἕρπω[vppannp] ἐπί[pg] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] πᾶς[ainmpn] ὁ[dnmp] ἄνθρωπος[nnmpc] ὁ[dnmp] ἐπί[pg] πρόσωπον[ngnsc] ὁ[dgfs] γῆ[ngfsc] καί[cc] ῥήγνυμι[vifp3s] ὁ[dnnp] ὄρος[nnnpc] καί[cc] πίπτω[vifm3p] ὁ[dnfp] φάραγξ[nnfpc] καί[cc] πᾶς[ainnsn] τεῖχος[nnnsc] ἐπί[pa] ὁ[dafs] γῆ[nafsc] πίπτω[vifm3s]. **v.21** καί[cc] καλέω[vifa1s] ἐπί[pa] αὐτός[rpams] πᾶς[aiansn] φόβος[namsc] λέγω[vipa3s] κύριος[nnmsc] μάχαιρα[nnfsc] ἄνθρωπος[ngmsc] ἐπί[pa] ὁ[dams] ἀδελφός[namsc] αὐτός[rpgms] εἰμί[vifm3s]. **v.22** καί[cc] κρίνω[vifa1s] αὐτός[rpams] θάνατος[ndmsc] καί[cc] αἷμα[ndnsc] καί[cc] ὑετός[ndmsc] κατακλύζω[vppadms] καί[cc] λίθος[ndmpc] χάλαζα[ngfsc] καί[cc] πῦρ[nansc] καί[cc] θεῖον[nansc] βρέχω[vifa1s] ἐπί[pa] αὐτός[rpams] καί[cc] ἐπί[pa] πᾶς[aiampn] ὁ[damp] μετά[pg] αὐτός[rpgms] καί[cc] ἐπί[pa] ἔθνος[nanpc] πολύς[ananpn] μετά[pg] αὐτός[rpgms].

γνωσθήσομαι ἐναντίον ἐθνῶν πολλῶν καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.

καὶ σύ υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ Γωγ καὶ εἰπόν τάδε λέ- **39**
γει κύριος ἰδοὺ ἐγὼ ἐπὶ σὲ Γωγ ἄρχοντα Ρως Μοσοχ καὶ Θοβελ. καὶ συνάξω σε καὶ καθοδηγήσω σε καὶ ἀναβιβῶ σε ἀπ᾽ ἐσχάτου 2
τοῦ βορρᾶ καὶ ἀνάξω σε ἐπὶ τὰ ὄρη τοῦ Ισραηλ. καὶ ἀπολῶ τὸ 3
τόξον σου ἀπὸ τῆς χειρός σου τῆς ἀριστερᾶς καὶ τὰ τοξεύματά σου ἀπὸ τῆς χειρός σου τῆς δεξιᾶς καὶ καταβαλῶ σε. ἐπὶ τὰ ὄρη 4
Ισραηλ καὶ πεσῇ σὺ καὶ πάντες οἱ περὶ σέ καὶ τὰ ἔθνη τὰ μετὰ σοῦ δοθήσονται εἰς πλήθη ὀρνέων παντὶ πετεινῷ καὶ πᾶσι τοῖς θηρίοις τοῦ πεδίου δέδωκά σε καταβρωθῆναι. ἐπὶ προσώπου τοῦ πεδίου 5
πεσῇ ὅτι ἐγὼ ἐλάλησα λέγει κύριος. καὶ ἀποστελῶ πῦρ ἐπὶ Γωγ 6
καὶ κατοικηθήσονται αἱ νῆσοι ἐπ᾽ εἰρήνης καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος. καὶ τὸ ὄνομά μου τὸ ἅγιον γνωσθήσεται ἐν μέσῳ 7
λαοῦ μου Ισραηλ καὶ οὐ βεβηλωθήσεται τὸ ὄνομά μου τὸ ἅγιον οὐκέτι καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι κύριος ἅγιος ἐν Ισραηλ. ἰδοὺ ἥκει καὶ γνώσῃ ὅτι ἔσται λέγει κύριος κύριος αὕτη ἐστὶν ἡ 8
ἡμέρα ἐν ᾗ ἐλάλησα. καὶ ἐξελεύσονται οἱ κατοικοῦντες τὰς πό- 9
λεις Ισραηλ καὶ καύσουσιν ἐν τοῖς ὅπλοις πέλταις καὶ κοντοῖς καὶ τόξοις καὶ τοξεύμασιν καὶ ῥάβδοις χειρῶν καὶ λόγχαις καὶ καύ-

---

v.23 καί^{cc} μεγαλύνω^{vifp1s} καί^{cc} ἁγιάζω^{vifp1s} καί^{cc} ἐνδοξάζομαι^{vifp1s} καί^{cc} γινώσκω^{vifp1s} ἐναντίον^{pg} ἔθνος^{ngnpc} πολύς^{angnpn} καί^{cc} γινώσκω^{vifm3p} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} κύριος^{nnmsc}. **39. v.1** καί^{cc} σύ$^{rpn-s}$ υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} προφητεύω^{vdaa2s} ἐπί^{pa} Γώγ^{namsp} καί^{cc} λέγω^{vdaa2s} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ἰδού^{i} ἐγώ$^{rpn-s}$ ἐπί^{pa} σύ$^{rpa-s}$ Γώγ^{nvmsp} ἄρχων^{namsc} Ρως^{ng-sp} Μοσοχ^{ng-sp} καί^{cc} Θοβελ^{ng-sp}. **v.2** καί^{cc} συνάγω^{vifa1s} σύ$^{rpa-s}$ καί^{cc} καθοδηγέω^{vifa1s} σύ$^{rpa-s}$ καί^{cc} ἀναβιβάζω^{vifa1s} σύ$^{rpa-s}$ ἀπό^{pg} ἔσχατος^{angnsn} ὁ^{dgms} βορέας^{ngmsc} καί^{cc} ἀνάγω^{vifa1s} σύ$^{rpa-s}$ ἐπί^{pa} ὁ^{danp} ὄρος^{nanpc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp}. **v.3** καί^{cc} ἀπόλλυμι^{vifa1s} ὁ^{dans} τόξον^{nansc} σύ$^{rpg-s}$ ἀπό^{pg} ὁ^{dgfs} χείρ^{ngfsc} σύ$^{rpg-s}$ ὁ^{dgfs} ἀριστερός^{angfsn} καί^{cc} ὁ^{danp} τόξευμα^{nanpc} σύ$^{rpg-s}$ ἀπό^{pg} ὁ^{dgfs} χείρ^{ngfsc} σύ$^{rpg-s}$ ὁ^{dgfs} δεξιός^{angfsn} καί^{cc} καταβάλλω^{vifa1s} σύ$^{rpa-s}$. **v.4** ἐπί^{pa} ὁ^{danp} ὄρος^{nanpc} Ἰσραήλ^{ngmsp} καί^{cc} πίπτω^{vifm2s} σύ$^{rpn-s}$ καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} περί^{pa} σύ$^{rpa-s}$ καί^{cc} ὁ^{dnnp} ἔθνος^{nnnpc} ὁ^{dnnp} μετά^{pg} σύ$^{rpg-s}$ δίδωμι^{vifp3p} εἰς^{pa} πλῆθος^{nanpc} ὄρνεον^{ngnpc} πᾶς^{aidnsn} πετεινός^{ndnsc} καί^{cc} πᾶς^{aidnpn} ὁ^{ddnp} θηρίον^{ndnpc} ὁ^{dgns} πεδίον^{ngnsc} δίδωμι^{vixa1s} σύ$^{rpa-s}$ καταβιβρώσκω^{vnap}. **v.5** ἐπί^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgns} πεδίον^{ngnsc} πίπτω^{vifm2s} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ λαλέω^{viaa1s} λέγω^{vipa3s} κύριος^{nnmsc}. **v.6** καί^{cc} ἀποστέλλω^{vifa1s} πῦρ^{nansc} ἐπί^{pa} Γώγ^{namsp} καί^{cc} κατοικέω^{vifp3p} ὁ^{dnfp} νῆσος^{nnfpc} ἐπί^{pg} εἰρήνη^{ngfsc} καί^{cc} γινώσκω^{vifm3p} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} κύριος^{nnmsc}. **v.7** καί^{cc} ὁ^{dnns} ὄνομα^{nnnsc} ἐγώ$^{rpg-s}$ ὁ^{dnns} ἅγιος^{annnsn} γινώσκω^{vifp3s} ἐν^{pd} μέσος^{andnsn} λαός^{ngmsc} ἐγώ$^{rpg-s}$ Ἰσραήλ^{ngmsp} καί^{cc} οὐ^{b} βεβηλόω^{vifp3s} ὁ^{dnns} ὄνομα^{nnnsc} ἐγώ$^{rpg-s}$ ὁ^{dnns} ἅγιος^{annnsn} οὐκέτι^{b} καί^{cc} γινώσκω^{vifm3p} ὁ^{dnnp} ἔθνος^{nnnpc} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} κύριος^{nnmsc} ἅγιος^{annmsn} ἐν^{pd} Ἰσραήλ^{ndmsp}. **v.8** ἰδού^{i} ἥκω^{vipa3s} καί^{cc} γινώσκω^{vifm2s} ὅτι^{cs} εἰμί^{vifm3s} λέγω^{vipa3s} κύριος^{nnmsc} κύριος^{nnmsc} οὗτος^{rdnfs} εἰμί^{vipa3s} ὁ^{dnfs} ἡμέρα^{nnfsc} ἐν^{pd} ὅς^{rrdfs} λαλέω^{viaa1s}.

10 σουσιν ἐν αὐτοῖς πῦρ ἑπτὰ ἔτη. καὶ οὐ μὴ λάβωσιν ξύλα ἐκ τοῦ
πεδίου οὐδὲ μὴ κόψωσιν ἐκ τῶν δρυμῶν ἀλλ᾽ ἢ τὰ ὅπλα κατακαύ-
σουσιν πυρί καὶ προνομεύσουσιν τοὺς προνομεύσαντας αὐτοὺς
11 καὶ σκυλεύσουσιν τοὺς σκυλεύσαντας αὐτούς λέγει κύριος. καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δώσω τῷ Γωγ τόπον ὀνομαστόν μνημεῖον
ἐν Ισραηλ τὸ πολυάνδριον τῶν ἐπελθόντων πρὸς τῇ θαλάσσῃ καὶ
περιοικοδομήσουσιν τὸ περιστόμιον τῆς φάραγγος καὶ κατορύ-
ξουσιν ἐκεῖ τὸν Γωγ καὶ πᾶν τὸ πλῆθος αὐτοῦ καὶ κληθήσεται τὸ
12 γαι τὸ πολυάνδριον τοῦ Γωγ. καὶ κατορύξουσιν αὐτοὺς οἶκος
13 Ισραηλ ἵνα καθαρισθῇ ἡ γῆ ἐν ἑπταμήνῳ. καὶ κατορύξουσιν
αὐτοὺς πᾶς ὁ λαὸς τῆς γῆς καὶ ἔσται αὐτοῖς εἰς ὀνομαστὸν ᾗ ἡμέ-
14 ρᾳ ἐδοξάσθην λέγει κύριος. καὶ ἄνδρας διὰ παντὸς διαστελοῦ-
σιν ἐπιπορευομένους τὴν γῆν θάψαι τοὺς καταλελειμμένους ἐπὶ
προσώπου τῆς γῆς καθαρίσαι αὐτὴν μετὰ τὴν ἑπτάμηνον καὶ ἐκ-
15 ζητήσουσιν. καὶ πᾶς ὁ διαπορευόμενος τὴν γῆν καὶ ἰδὼν ὀστοῦν
ἀνθρώπου οἰκοδομήσει παρ᾽ αὐτὸ σημεῖον ἕως ὅτου θάψωσιν αὐ-
16 τὸ οἱ θάπτοντες εἰς τὸ γαι τὸ πολυάνδριον τοῦ Γωγ. καὶ γὰρ τὸ
17 ὄνομα τῆς πόλεως Πολυάνδριον καὶ καθαρισθήσεται ἡ γῆ. καὶ
σύ υἱὲ ἀνθρώπου εἰπόν τάδε λέγει κύριος εἰπὸν παντὶ ὀρνέῳ πε-
τεινῷ καὶ πρὸς πάντα τὰ θηρία τοῦ πεδίου συνάχθητε καὶ ἔρχεσθε
συνάχθητε ἀπὸ πάντων τῶν περικύκλῳ ἐπὶ τὴν θυσίαν μου ἣν τέ-
θυκα ὑμῖν θυσίαν μεγάλην ἐπὶ τὰ ὄρη Ισραηλ καὶ φάγεσθε κρέα

---

v.9 καί^cc ἐξέρχομαι^vifm3p ὁ^dnmp κατοικέω^vppanmp ὁ^dafp πόλις^nafpc Ἰσραήλ^ngmsp καί^cc καίω^vifa3p
ἐν^pd ὁ^ddnp ὅπλον^ndnpc πέλτη^ndfpc καί^cc κοντός^ndmpc καί^cc τόξον^ndnpc καί^cc τόξευμα^ndnpc καί^cc
ῥάβδος^ndfpc χείρ^ngfpc καί^cc λόγχη^ndfpc καί^cc καίω^vifa3p ἐν^pd αὐτός^rpdnp πῦρ^nansc ἑπτά^ac—n
ἔτος^nanpc. **v.10** καί^cc οὐ^b μή^x λαμβάνω^vsaa3p ξύλον^nanpc ἐκ^pg ὁ^dgns πεδίον^ngnsc οὐδέ^cc μή^x
κόπτω^vsaa3p ἐκ^pg ὁ^dgmp δρυμός^ngmpc ἀλλά^cc ἤ^cc ὁ^danp ὅπλον^nanpc κατακαίω^vifa3p πῦρ^ndnsc καί^cc
προνομεύω^vifa3p ὁ^damp προνομεύω^vpaaamp αὐτός^rpamp καί^cc σκυλεύω^vifa3p ὁ^damp σκυλεύω^vpaaamp
αὐτός^rpamp λέγω^vipa3s κύριος^nnmsc. **v.11** καί^cc εἰμί^vifm3s ἐν^pd ὁ^ddfs ἡμέρα^ndfsc ἐκεῖνος^rddfs
δίδωμι^vifa1s ὁ^ddms Γώγ^ndmsp τόπος^namsc ὀνομαστός^anamsn μνημεῖον^nansc ἐν^pd Ἰσραήλ^ndmsp ὁ^dans
πολυάνδριος^anansn ὁ^dgmp ἐπέρχομαι^vpaagmp πρός^pd ὁ^ddfs θάλασσα^ndfsc καί^cc περιοικοδομέω^vifa3p
ὁ^dans περιστόμιον^nansc ὁ^dgfs φάραγξ^ngfsc καί^cc κατορύσσω^vifa3p ἐκεῖ^b ὁ^dams Γώγ^namsp καί^cc
πᾶς^aiansn ὁ^dans πλῆθος^nansc αὐτός^rpgms καί^cc καλέω^vifp3s ὁ^dnns γαι^t ὁ^dnns πολυάνδριος^annnsn
ὁ^dgms Γώγ^ngmsp. **v.12** καί^cc κατορύσσω^vifa3p αὐτός^rpamp οἶκος^nnmsc Ἰσραήλ^ngmsp ἵνα^cs
καθαρίζω^vsap3s ὁ^dnfs γῆ^nnfsc ἐν^pd ἑπτάμηνος^ndfsc. **v.13** καί^cc κατορύσσω^vifa3p αὐτός^rpamp
πᾶς^ainmsn ὁ^dnms λαός^nnmsc ὁ^dgfs γῆ^ngfsc καί^cc εἰμί^vifm3s αὐτός^rpdmp εἰς^pa ὀνομαστός^anansn
ὅς^rrdfs ἡμέρα^ndfsc δοξάζω^viap1s λέγω^vipa3s κύριος^nnmsc. **v.14** καί^cc ἀνήρ^nampc διά^pg
πᾶς^aignsn διαστέλλω^vifa3p ἐπιπορεύομαι^vppmamp ὁ^dafs γῆ^nafsc θάπτω^vnaa ὁ^damp καταλείπω^vpxpamp
ἐπί^pg πρόσωπον^ngnsc ὁ^dgfs γῆ^ngfsc καθαρίζω^vnaa αὐτός^rpafs μετά^pa ὁ^dafs ἑπτάμηνος^nafsc καί^cc
ἐκζητέω^vifa3p. **v.15** καί^cc πᾶς^ainmsn ὁ^dnms διαπορεύομαι^vppmnms ὁ^dafs γῆ^nafsc καί^cc ὁράω^vpaanms
ὀστέον^nansc ἄνθρωπος^ngmsc οἰκοδομέω^vifa3s παρά^pa αὐτός^rpans σημεῖον^nansc ἕως^pg ὅστις^rrgns
θάπτω^vsaa3p αὐτός^rpans ὁ^dnmp θάπτω^vppanmp εἰς^pa ὁ^dans γαι^t ὁ^dans πολυάνδριος^anansn ὁ^dgms
Γώγ^ngmsp. **v.16** καί^cc γάρ^cc ὁ^dnns ὄνομα^nnnsc ὁ^dgfs πόλις^ngfsc πολυάνδριος^annnsn καί^cc
καθαρίζω^vifp3s ὁ^dnfs γῆ^nnfsc.

καὶ πίεσθε αἷμα. κρέα γιγάντων φάγεσθε καὶ αἷμα ἀρχόντων τῆς 18
γῆς πίεσθε κριοὺς καὶ μόσχους καὶ τράγους καὶ οἱ μόσχοι ἐστε-
ατωμένοι πάντες. καὶ φάγεσθε στέαρ εἰς πλησμονὴν καὶ πίεσθε 19
αἷμα εἰς μέθην ἀπὸ τῆς θυσίας μου ἧς ἔθυσα ὑμῖν. καὶ ἐμπλη- 20
σθήσεσθε ἐπὶ τῆς τραπέζης μου ἵππον καὶ ἀναβάτην γίγαντα καὶ
πάντα ἄνδρα πολεμιστήν λέγει κύριος. καὶ δώσω τὴν δόξαν μου 21
ἐν ὑμῖν καὶ ὄψονται πάντα τὰ ἔθνη τὴν κρίσιν μου ἣν ἐποίησα
καὶ τὴν χεῖρά μου ἣν ἐπήγαγον ἐπ᾽ αὐτούς. καὶ γνώσονται οἶκος 22
Ισραηλ ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν ἀπὸ τῆς ἡμέρας ταύτης
καὶ ἐπέκεινα. καὶ γνώσονται πάντα τὰ ἔθνη ὅτι διὰ τὰς ἁμαρ- 23
τίας αὐτῶν ᾐχμαλωτεύθησαν οἶκος Ισραηλ ἀνθ᾽ ὧν ἠθέτησαν εἰς
ἐμέ καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν καὶ παρέδωκα
αὐτοὺς εἰς χεῖρας τῶν ἐχθρῶν αὐτῶν καὶ ἔπεσαν πάντες μαχαί-
ρᾳ. κατὰ τὰς ἀκαθαρσίας αὐτῶν καὶ κατὰ τὰ ἀνομήματα αὐτῶν 24
ἐποίησα αὐτοῖς καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν. διὰ 25
τοῦτο τάδε λέγει κύριος κύριος νῦν ἀποστρέψω τὴν αἰχμαλωσίαν
Ιακωβ καὶ ἐλεήσω τὸν οἶκον Ισραηλ καὶ ζηλώσω διὰ τὸ ὄνομα τὸ
ἅγιόν μου. καὶ λήμψονται τὴν ἀτιμίαν ἑαυτῶν καὶ τὴν ἀδικίαν 26
ἣν ἠδίκησαν ἐν τῷ κατοικισθῆναι αὐτοὺς ἐπὶ τὴν γῆν αὐτῶν ἐπ᾽

---

v.17 καί[cc] σύ[rpn-s] υἱός[nvmsc] ἄνθρωπος[ngmsc] λέγω[vdaa2s] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] λέγω[vdaa2s] πᾶς[aidnsn] ὄρνεον[ndnsc] πετεινός[ndnsc] καί[cc] πρός[pa] πᾶς[aianpn] ὁ[danp] θηρίον[nanpc] ὁ[dgns] πεδίον[ngnsc] συνάγω[vdap2p] καί[cc] ἔρχομαι[vdpm2p] συνάγω[vdap2p] ἀπό[pg] πᾶς[aignpn] ὁ[dgnp] περικύκλῳ[b] ἐπί[pa] ὁ[dafs] θυσία[nafsc] ἐγώ[rpg-s] ὅς[rrafs] θύω[vixa1s] σύ[rpd-p] θυσία[nafsc] μέγας[anafsn] ἐπί[pa] ὁ[danp] ὄρος[nanpc] Ἰσραήλ[ngmsp] καί[cc] ἐσθίω[vifm2p] κρέας[nanpc] καί[cc] πίνω[vifm2p] αἷμα[nansc]. **v.18** κρέας[nanpc] γίγας[ngmpc] ἐσθίω[vifm2p] καί[cc] αἷμα[nansc] ἄρχων[ngmpc] ὁ[dgfs] γῆ[ngfsc] πίνω[vifm2p] κριός[nampc] καί[cc] μόσχος[nampc] καί[cc] τράγος[nampc] καί[cc] ὁ[dnmp] μόσχος[nnmpc] στεατόομαι[vpxpnmp] πᾶς[ainmpn]. **v.19** καί[cc] ἐσθίω[vifm2p] στέαρ[nansc] εἰς[pa] πλησμονή[nafsc] καί[cc] πίνω[vifm2p] αἷμα[nansc] εἰς[pa] μέθη[nafsc] ἀπό[pg] ὁ[dgfs] θυσία[ngfsc] ἐγώ[rpg-s] ὅς[rrgfs] θύω[viaa1s] σύ[rpd-p]. **v.20** καί[cc] ἐμπίπλημι[vifp2p] ἐπί[pg] ὁ[dgfs] τράπεζα[ngfsc] ἐγώ[rpg-s] ἵππος[namsc] καί[cc] ἀναβάτης[namsc] γίγας[namsc] καί[cc] πᾶς[aiamsn] ἀνήρ[namsc] πολεμιστής[namsc] λέγω[vipa3s] κύριος[nnmsc]. **v.21** καί[cc] δίδωμι[vifa1s] ὁ[dafs] δόξα[nafsc] ἐγώ[rpg-s] ἐν[pd] σύ[rpd-p] καί[cc] ὁράω[vifm3p] πᾶς[aianpn] ὁ[danp] ἔθνος[nanpc] ὁ[dafs] κρίσις[nafsc] ἐγώ[rpg-s] ὅς[rrafs] ποιέω[viaa1s] καί[cc] ὁ[dafs] χείρ[nafsc] ἐγώ[rpg-s] ὅς[rrafs] ἐπάγω[viaa1s] ἐπί[pa] αὐτός[rpamp]. **v.22** καί[cc] γινώσκω[vifm3p] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp] ὅτι[cs] ἐγώ[rpn-s] εἰμί[vipa1s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] αὐτός[rpgmp] ἀπό[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] οὗτος[rdgfs] καί[cc] ἐπέκεινα[b]. **v.23** καί[cc] γινώσκω[vifm3p] πᾶς[ainnpn] ὁ[dnnp] ἔθνος[nnnpc] ὅτι[cs] διά[pa] ὁ[dafp] ἁμαρτία[nafpc] αὐτός[rpgnp] αἰχμαλωτεύω[viap3p] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp] ἀντί[pg] ὅς[rrgnp] ἀθετέω[viaa3p] εἰς[pa] ἐγώ[rpa-s] καί[cc] ἀποστρέφω[viaa1s] ὁ[dans] πρόσωπον[nansc] ἐγώ[rpg-s] ἀπό[pg] αὐτός[rpgmp] καί[cc] παραδίδωμι[viaa1s] αὐτός[rpamp] εἰς[pa] χείρ[nafpc] ὁ[dgmp] ἐχθρός[angmpn] αὐτός[rpgmp] καί[cc] πίπτω[viaa3p] πᾶς[ainmpn] μάχαιρα[ndfsc]. **v.24** κατά[pa] ὁ[dafp] ἀκαθαρσία[nafpc] αὐτός[rpgmp] καί[cc] κατά[pa] ὁ[danp] ἀνόμημα[nanpc] αὐτός[rpgmp] ποιέω[viaa1s] αὐτός[rpdmp] καί[cc] ἀποστρέφω[viaa1s] ὁ[dans] πρόσωπον[nansc] ἐγώ[rpg-s] ἀπό[pg] αὐτός[rpgmp]. **v.25** διά[pa] οὗτος[rdans] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] κύριος[nnmsc] νῦν[b] ἀποστρέφω[vifa1s] ὁ[dafs] αἰχμαλωσία[nafsc] Ἰακώβ[ngmsp] καί[cc] ἐλεέω[vifa1s] ὁ[dams] οἶκος[namsc] Ἰσραήλ[ngmsp] καί[cc] ζηλόω[vifa1s] διά[pa] ὁ[dans] ὄνομα[nansc] ὁ[dans] ἅγιος[anansn] ἐγώ[rpg-s].

27 εἰρήνης καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν. ἐν τῷ ἀποστρέψαι με αὐτοὺς
ἐκ τῶν ἐθνῶν καὶ συναγαγεῖν με αὐτοὺς ἐκ τῶν χωρῶν τῶν ἐθνῶν
28 καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς ἐνώπιον τῶν ἐθνῶν. καὶ γνώσονται
ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν ἐν τῷ ἐπιφανῆναί με αὐτοῖς ἐν
29 τοῖς ἔθνεσιν. καὶ οὐκ ἀποστρέψω οὐκέτι τὸ πρόσωπόν μου ἀπ᾽
αὐτῶν ἀνθ᾽ οὗ ἐξέχεα τὸν θυμόν μου ἐπὶ τὸν οἶκον Ισραηλ λέγει
κύριος κύριος.

40 καὶ ἐγένετο ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ ἔτει τῆς αἰχμαλωσίας
ἡμῶν ἐν τῷ πρώτῳ μηνὶ δεκάτῃ τοῦ μηνὸς ἐν τῷ τεσσαρεσκαιδε-
κάτῳ ἔτει μετὰ τὸ ἁλῶναι τὴν πόλιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐγένετο ἐπ᾽
2 ἐμὲ χεὶρ κυρίου καὶ ἤγαγέν με. ἐν ὁράσει θεοῦ εἰς τὴν γῆν τοῦ
Ισραηλ καὶ ἔθηκέν με ἐπ᾽ ὄρους ὑψηλοῦ σφόδρα καὶ ἐπ᾽ αὐτοῦ
3 ὡσεὶ οἰκοδομὴ πόλεως ἀπέναντι. καὶ εἰσήγαγέν με ἐκεῖ καὶ ἰδοὺ
ἀνήρ καὶ ἡ ὅρασις αὐτοῦ ἦν ὡσεὶ ὅρασις χαλκοῦ στίλβοντος καὶ
ἐν τῇ χειρὶ αὐτοῦ ἦν σπαρτίον οἰκοδόμων καὶ κάλαμος μέτρου
4 καὶ αὐτὸς εἱστήκει ἐπὶ τῆς πύλης. καὶ εἶπεν πρός με ὁ ἀνήρ ἑ-
ώρακας υἱὲ ἀνθρώπου ἐν τοῖς ὀφθαλμοῖς σου ἰδὲ καὶ ἐν τοῖς ὠσίν
σου ἄκουε καὶ τάξον εἰς τὴν καρδίαν σου πάντα ὅσα ἐγὼ δεικνύω
σοι διότι ἕνεκα τοῦ δεῖξαί σοι εἰσελήλυθας ὧδε καὶ δείξεις πάντα
5 ὅσα σὺ ὁρᾷς τῷ οἴκῳ τοῦ Ισραηλ. καὶ ἰδοὺ περίβολος ἔξωθεν

---

v.26 καί^{cc} λαμβάνω^{vifm3p} ὁ^{dafs} ἀτιμία^{nafsc} ἑαυτοῦ^{rxgmp} καί^{cc} ὁ^{dafs} ἀδικία^{nafsc} ὅς^{rrafs} ἀδικέω^{viaa3p} ἐν^{pd} ὁ^{ddns} κατοικίζω^{vnap} αὐτός^{rpamp} ἐπί^{pa} ὁ^{dafs} γῆ^{nafsc} αὐτός^{rpgmp} ἐπί^{pg} εἰρήνη^{ngfsc} καί^{cc} οὐ^{b} εἰμί^{vifm3s} ὁ^{dnms} ἐκφοβέω^{vppanms}. **v.27** ἐν^{pd} ὁ^{ddns} ἀποστρέφω^{vnaa} ἐγώ$^{rpa-s}$ αὐτός^{rpamp} ἐκ^{pg} ὁ^{dgnp} ἔθνος^{ngnpc} καί^{cc} συνάγω^{vnaa} ἐγώ$^{rpa-s}$ αὐτός^{rpamp} ἐκ^{pg} ὁ^{dgfp} χώρα^{ngfpc} ὁ^{dgnp} ἔθνος^{ngnpc} καί^{cc} ἁγιάζω^{vifp1s} ἐν^{pd} αὐτός^{rpdmp} ἐνώπιον^{pg} ὁ^{dgnp} ἔθνος^{ngnpc}. **v.28** καί^{cc} γινώσκω^{vifm3p} ὅτι^{cs} ἐγώ$^{rpn-s}$ εἰμί^{vipa1s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddns} ἐπιφαίνω^{vnap} ἐγώ$^{rpa-s}$ αὐτός^{rpdmp} ἐν^{pd} ὁ^{ddnp} ἔθνος^{ndnpc}. **v.29** καί^{cc} οὐ^{b} ἀποστρέφω^{vifa1s} οὐκέτι^{b} ὁ^{dans} πρόσωπον^{nansc} ἐγώ$^{rpg-s}$ ἀπό^{pg} αὐτός^{rpgmp} ἀντί^{pg} ὅς^{rrgns} ἐκχέω^{viaa1s} ὁ^{dams} θυμός^{namsc} ἐγώ$^{rpg-s}$ ἐπί^{pa} ὁ^{dams} οἶκος^{namsc} Ισραηλ^{ngmsp} λέγω^{vipa3s} κύριος^{nnmsc} κύριος^{nnmsc}. **40. v.1** καί^{cc} γίνομαι^{viam3s} ἐν^{pd} ὁ^{ddms} πέμπτος^{aodnsn} καί^{cc} εἰκοστός^{aodnsn} ἔτος^{ndnsc} ὁ^{dgfs} αἰχμαλωσία^{ngfsc} ἐγώ$^{rpg-p}$ ἐν^{pd} ὁ^{ddms} πρῶτος^{aodmsn} μήν^{ndmsc} δέκατος^{aodfsn} ὁ^{dgms} μήν^{ngmsc} ἐν^{pd} ὁ^{ddns} τεσσαρεσκαιδέκατος^{aodnsn} ἔτος^{ndnsc} μετά^{pa} ὁ^{dans} ἁλίσκομαι^{vnaa} ὁ^{dafs} πόλις^{nafsc} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ἐκεῖνος^{rddfs} γίνομαι^{viam3s} ἐπί^{pa} ἐγώ$^{rpa-s}$ χείρ^{nnfsc} κύριος^{ngmsc} καί^{cc} ἄγω^{viaa3s} ἐγώ$^{rpa-s}$. **v.2** ἐν^{pd} ὅρασις^{ndfsc} θεός^{ngmsc} εἰς^{pa} ὁ^{dafs} γῆ^{nafsc} ὁ^{dgms} Ισραήλ^{ngmsp} καί^{cc} τίθημι^{viaa3s} ἐγώ$^{rpa-s}$ ἐπί^{pg} ὄρος^{ngnsc} ὑψηλός^{angnsn} σφόδρα^{b} καί^{cc} ἐπί^{pg} αὐτός^{rpgms} ὡσεί^{x} οἰκοδομή^{nnfsc} πόλις^{ngfsc} ἀπέναντι^{b}. **v.3** καί^{cc} εἰσάγω^{viaa3s} ἐγώ$^{rpa-s}$ ἐκεῖ^{b} καί^{cc} ἰδού^{i} ἀνήρ^{nnmsc} καί^{cc} ὁ^{dnfs} ὅρασις^{nnfsc} αὐτός^{rpgms} εἰμί^{viia3s} ὡσεί^{x} ὅρασις^{nnfsc} χαλκοῦς^{angmsn} στίλβω^{vppagms} καί^{cc} ἐν^{pd} ὁ^{ddfs} χείρ^{ndfsc} αὐτός^{rpgms} εἰμί^{viia3s} σπαρτίον^{nnnsc} οἰκοδόμος^{ngmpc} καί^{cc} κάλαμος^{nnmsc} μέτρον^{ngnsc} καί^{cc} αὐτός^{rpnms} ἵστημι^{viya3s} ἐπί^{pg} ὁ^{dgfs} πύλη^{ngfsc}. **v.4** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} ἐγώ$^{rpa-s}$ ὁ^{dnms} ἀνήρ^{nnmsc} ὁράω^{vixa2s} υἱός^{nvmsc} ἄνθρωπος^{ngmsc} ἐν^{pd} ὁ^{ddmp} ὀφθαλμός^{ndmpc} σύ$^{rpg-s}$ ὁράω^{vdaa2s} καί^{cc} ἐν^{pd} ὁ^{ddnp} οὖς^{ndnpc} σύ$^{rpg-s}$ ἀκούω^{vdpa2s} καί^{cc} τάσσω^{vdaa2s} εἰς^{pa} ὁ^{dafs} καρδία^{nafsc} σύ$^{rpg-s}$ πᾶς^{aianpn} ὅσος^{aranpn} ἐγώ$^{rpn-s}$ δείκνυμι^{vipa1s} σύ$^{rpd-s}$ διότι^{cs} ἕνεκα^{pg} ὁ^{dgns} δείκνυμι^{vnaa} σύ$^{rpd-s}$ εἰσέρχομαι^{vixa2s} ὧδε^{b} καί^{cc} δείκνυμι^{vifa2s} πᾶς^{aianpn} ὅσος^{aranpn} σύ$^{rpn-s}$ ὁράω^{vipa2s} ὁ^{ddms} οἶκος^{ndmsc} ὁ^{dgms} Ισραήλ^{ngmsp}.

τοῦ οἴκου κύκλῳ καὶ ἐν τῇ χειρὶ τοῦ ἀνδρὸς κάλαμος τὸ μέτρον πηχῶν ἓξ ἐν πήχει καὶ παλαιστῆς καὶ διεμέτρησεν τὸ προτείχισμα πλάτος ἴσον τῷ καλάμῳ καὶ τὸ ὕψος αὐτοῦ ἴσον τῷ καλάμῳ. καὶ 6
εἰσῆλθεν εἰς τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς ἐν ἑπτὰ ἀναβαθμοῖς καὶ διεμέτρησεν τὸ αιλαμ τῆς πύλης ἴσον τῷ καλά-
μῳ. καὶ τὸ θεε ἴσον τῷ καλάμῳ τὸ μῆκος καὶ ἴσον τῷ καλάμῳ 7
τὸ πλάτος καὶ τὸ αιλαμ ἀνὰ μέσον τοῦ θαιηλαθα πηχῶν ἓξ καὶ τὸ θεε τὸ δεύτερον ἴσον τῷ καλάμῳ τὸ πλάτος καὶ ἴσον τῷ καλάμῳ τὸ μῆκος καὶ τὸ αιλαμ πήχεων πέντε. καὶ τὸ θεε τὸ τρίτον ἴσον τῷ 8
καλάμῳ τὸ πλάτος καὶ ἴσον τῷ καλάμῳ τὸ μῆκος. καὶ τὸ αιλαμ 9
τοῦ πυλῶνος πλησίον τοῦ αιλαμ τῆς πύλης πηχῶν ὀκτὼ καὶ τὰ αιλευ πηχῶν δύο καὶ τὸ αιλαμ τῆς πύλης ἔσωθεν. καὶ τὰ θεε 10
τῆς πύλης θεε κατέναντι τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν καὶ μέτρον ἓν τοῖς τρισὶν καὶ μέτρον ἓν τοῖς αιλαμ ἔνθεν καὶ ἔνθεν. καὶ διε- 11
μέτρησεν τὸ πλάτος τῆς θύρας τοῦ πυλῶνος πηχῶν δέκα καὶ τὸ εὖρος τοῦ πυλῶνος πηχῶν δέκα τριῶν. καὶ πῆχυς ἐπισυναγό- 12
μενος ἐπὶ πρόσωπον τῶν θειμ ἔνθεν καὶ ἔνθεν καὶ τὸ θεε πηχῶν ἓξ ἔνθεν καὶ πηχῶν ἓξ ἔνθεν. καὶ διεμέτρησεν τὴν πύλην ἀπὸ 13
τοῦ τοίχου τοῦ θεε ἐπὶ τὸν τοῖχον τοῦ θεε πλάτος πήχεις εἴκοσι πέντε αὕτη πύλη ἐπὶ πύλην. καὶ τὸ αἴθριον τοῦ αιλαμ τῆς πύλης 14

---

v.5 καί[cc] ἰδού[i] περίβολος[nnmsc] ἔξωθεν[b] ὁ[dgms] οἶκος[ngmsc] κύκλος[b] καί[cc] ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] ὁ[dgms] ἀνήρ[ngmsc] κάλαμος[nnmsc] ὁ[dnns] μέτρον[nnnsc] πῆχυς[ngmpc] ἓξ[ac—n] ἐν[pd] πῆχυς[ndmsc] καί[cc] παλαιστή[ngfsc] καί[cc] διαμετρέω[viaa3s] ὁ[dans] προτείχισμα[nansc] πλάτος[nnnsc] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc] καί[cc] ὁ[dnns] ὕψος[nnnsc] αὐτός[rpgms] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc].
v.6 καί[cc] εἰσέρχομαι[viaa3s] εἰς[pa] ὁ[dafs] πύλη[nafsc] ὁ[dafs] βλέπω[vppaafs] κατά[pa] ἀνατολή[nafpc] ἐν[pd] ἑπτά[ac—n] ἀναβαθμός[ndmpc] καί[cc] διαμετρέω[viaa3s] ὁ[dans] αιλαμ[t] ὁ[dgfs] πύλη[ngfsc] ἴσος[ananasn] ὁ[ddms] κάλαμος[ndmsc].
v.7 καί[cc] ὁ[dnns] θεε[t] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc] ὁ[dans] μῆκος[nansc] καί[cc] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc] ὁ[dans] πλάτος[nansc] καί[cc] ὁ[dnns] αιλαμ[t] ἀνά[pa] μέσος[ananasn] ὁ[dgms] θαιηλαχα[t] πῆχυς[ngmpc] ἓξ[ac—n] καί[cc] ὁ[dnns] θεε[t] ὁ[dnns] δεύτερος[aonnsn] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc] ὁ[dans] πλάτος[nansc] καί[cc] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc] ὁ[dans] μῆκος[nansc] καί[cc] ὁ[dnns] αιλαμ[t] πῆχυς[ngmpc] πέντε[ac—n].
v.8 καί[cc] ὁ[dnns] θεε[t] ὁ[dnns] τρίτος[aonnsn] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc] ὁ[dans] πλάτος[nansc] καί[cc] ἴσος[annnsn] ὁ[ddms] κάλαμος[ndmsc] ὁ[dans] μῆκος[nansc].
v.9 καί[cc] ὁ[dnns] αιλαμ[t] ὁ[dgms] πυλών[ngmsc] πλησίον[pg] ὁ[dgns] αιλαμ[t] ὁ[dgfs] πύλη[ngfsc] πῆχυς[ngmpc] ὀκτώ[ac—n] καί[cc] ὁ[dnnp] αιλευ[t] πῆχυς[ngmpc] δύο[ac—n] καί[cc] ὁ[dnns] αιλαμ[t] ὁ[dgfs] πύλη[ngfsc] ἔσωθεν[b].
v.10 καί[cc] ὁ[dnnp] θεε[t] ὁ[dgfs] πύλη[ngfsc] θεε[t] κατέναντι[b] τρεῖς[acnmpn] ἔνθεν[b] καί[cc] τρεῖς[acnmpn] ἔνθεν[b] καί[cc] μέτρον[nnnsc] εἷς[acnnsn] ὁ[ddmp] τρεῖς[acdmpn] καί[cc] μέτρον[nnnsc] εἷς[acnnsn] ὁ[ddnp] αιλαμ[t] ἔνθεν[b] καί[cc] ἔνθεν[b].
v.11 καί[cc] διαμετρέω[viaa3s] ὁ[dans] πλάτος[nansc] ὁ[dgfs] θύρα[ngfsc] ὁ[dgms] πυλών[ngmsc] πῆχυς[ngmpc] δέκα[ac—n] καί[cc] ὁ[dans] εὖρος[nansc] ὁ[dgms] πυλών[ngmsc] πῆχυς[ngmpc] δέκα[ac—n] τρεῖς[acgmpn].
v.12 καί[cc] πῆχυς[nnmsc] ἐπισυνάγω[vpppnms] ἐπί[pa] πρόσωπον[nansc] ὁ[dgmp] θειμ[t] ἔνθεν[b] καί[cc] ἔνθεν[b] καί[cc] ὁ[dnns] θεε[t] πῆχυς[ngmpc] ἓξ[ac—n] ἔνθεν[b] καί[cc] πῆχυς[ngmpc] ἓξ[ac—n] ἔνθεν[b].
44 καὶ ἐπέστρεψέν με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατ᾽ ἀνατολάς καὶ αὕτη ἦν κεκλεισμένη. 2 καὶ εἶπεν κύριος πρός με ἡ πύλη αὕτη κεκλεισμένη ἔσται οὐκ ἀνοιχθήσεται καὶ οὐδεὶς μὴ διέλθῃ δι᾽ αὐτῆς ὅτι κύριος ὁ θεὸς τοῦ Ισραηλ εἰσελεύσεται δι᾽ αὐτῆς καὶ ἔσται κεκλεισμένη. 3 διότι ὁ ἡγούμενος οὗτος καθήσεται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐναντίον κυρίου κατὰ τὴν ὁδὸν αιλαμ τῆς πύλης εἰσελεύσεται καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. 4 καὶ εἰσήγαγέν με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν κατέναντι τοῦ οἴκου καὶ εἶδον καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος κυρίου καὶ πίπτω ἐπὶ πρόσωπόν μου. 5 καὶ εἶπεν κύριος πρός με υἱὲ ἀνθρώπου τάξον εἰς τὴν καρδίαν σου καὶ ἰδὲ τοῖς ὀφθαλμοῖς σου καὶ τοῖς ὠσίν σου ἄκουε πάντα ὅσα ἐγὼ λαλῶ μετὰ σοῦ κατὰ πάντα τὰ προστάγματα οἴκου κυρίου καὶ κατὰ πάντα τὰ νόμιμα αὐτοῦ καὶ τάξεις τὴν καρδίαν σου εἰς τὴν εἴσοδον τοῦ οἴκου κατὰ πάσας τὰς ἐξόδους αὐτοῦ ἐν πᾶσι τοῖς ἁγίοις. 6 καὶ ἐρεῖς πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα πρὸς τὸν οἶκον τοῦ Ισραηλ τάδε λέγει κύριος ὁ θεός ἱκανούσθω ὑμῖν ἀπὸ πασῶν τῶν ἀνομιῶν ὑμῶν οἶκος Ισραηλ. 7 τοῦ εἰσαγαγεῖν ὑμᾶς υἱοὺς ἀλλογενεῖς ἀπεριτμήτους καρδίᾳ καὶ ἀπεριτμήτους σαρκὶ τοῦ γίνεσθαι ἐν τοῖς ἁγίοις μου καὶ ἐβεβήλουν αὐτὰ ἐν τῷ προσφέ-

---

v.27 καί[cc] εἰμί[vifm3s] ἀπό[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] ὁ[dgfs] ὄγδοος[aogfsn] καί[cc] ἐπέκεινα[b] ποιέω[vifa3p] ὁ[dnmp] ἱερεύς[nnmpc] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] ὁ[danp] ὁλοκαύτωμα[nanpc] σύ[rpg-p] καί[cc] ὁ[danp] ὁ[dgns] σωτήριον[ngnsc] σύ[rpg-p] καί[cc] προσδέχομαι[vifm1s] σύ[rpa-p] λέγω[vipa3s] κύριος[nnmsc]. **44. v.1** καί[cc] ἐπιστρέφω[viaa3s] ἐγώ[rpa-s] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgnp] ἅγιος[angnpn] ὁ[dgfs] ἐξώτερος[angfsc] ὁ[dgfs] βλέπω[vppagfs] κατά[pa] ἀνατολή[nafpc] καί[cc] οὗτος[rdnfs] εἰμί[viia3s] κλείω[vpxpnfs]. **v.2** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] ἐγώ[rpa-s] ὁ[dnfs] πύλη[nnfsc] οὗτος[rdnfs] κλείω[vpxpnfs] εἰμί[vifm3s] οὐ[b] ἀνοίγω[vifp3s] καί[cc] οὐδείς[rinms] μή[x] διέρχομαι[vsaa3s] διά[pg] αὐτός[rpgfs] ὅτι[cs] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] εἰσέρχομαι[vifm3s] διά[pg] αὐτός[rpgfs] καί[cc] εἰμί[vifm3s] κλείω[vpxpnfs]. **v.3** διότι[cs] ὁ[dnms] ἡγέομαι[vppmnms] οὗτος[rdnms] κάθημαι[vifm3s] ἐν[pd] αὐτός[rpdfs] ὁ[dgns] ἐσθίω[vnaa] ἄρτος[namsc] ἐναντίον[pg] κύριος[ngmsc] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] αιλαμ[t] ὁ[dgfs] πύλη[ngfsc] εἰσέρχομαι[vifm3s] καί[cc] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] αὐτός[rpgms] ἐξέρχομαι[vifm3s]. **v.4** καί[cc] εἰσάγω[viaa3s] ἐγώ[rpa-s] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgfs] πρός[pa] βορέας[namsc] κατέναντι[pg] ὁ[dgms] οἶκος[ngmsc] καί[cc] ὁράω[viaa1s] καί[cc] ἰδού[i] πλήρης[annmsn] δόξα[ngfsc] ὁ[dnms] οἶκος[nnmsc] κύριος[ngmsc] καί[cc] πίπτω[vipa1s] ἐπί[pa] πρόσωπον[nansc] ἐγώ[rpg-s]. **v.5** καί[cc] λέγω[viaa3s] κύριος[nnmsc] πρός[pa] ἐγώ[rpa-s] υἱός[nvmsc] ἄνθρωπος[ngmsc] τάσσω[vdaa2s] εἰς[pa] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] καί[cc] ὁράω[vdaa2s] ὁ[ddmp] ὀφθαλμός[ndmpc] σύ[rpg-s] καί[cc] ὁ[ddnp] οὖς[ndnpc] σύ[rpg-s] ἀκούω[vdpa2s] πᾶς[aianpn] ὅσος[aranpn] ἐγώ[rpn-s] λαλέω[vipa1s] μετά[pg] σύ[rpg-s] κατά[pa] πᾶς[aianpn] ὁ[danp] πρόσταγμα[nanpc] οἶκος[ngmsc] κύριος[ngmsc] καί[cc] κατά[pa] πᾶς[aianpn] ὁ[danp] νόμιμος[ananpn] αὐτός[rpgms] καί[cc] τάσσω[vifa2s] ὁ[dafs] καρδία[nafsc] σύ[rpg-s] εἰς[pa] ὁ[dafs] εἴσοδος[nafsc] ὁ[dgms] οἶκος[ngmsc] κατά[pa] πᾶς[aiafpn] ὁ[dafp] ἔξοδος[nafpc] αὐτός[rpgms] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ἅγιος[andnpn]. **v.6** καί[cc] λέγω[vifa2s] πρός[pa] ὁ[dams] οἶκος[namsc] ὁ[dams] παραπικραίνω[vppaams] πρός[pa] ὁ[dams] οἶκος[namsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc] ἱκανόω[vdpp3s] σύ[rpd-p] ἀπό[pg] πᾶς[aigfpn] ὁ[dgfp] ἀνομία[ngfpc] σύ[rpg-p] οἶκος[nnmsc] Ἰσραήλ[ngmsp].

ρειν ὑμᾶς ἄρτους στέαρ καὶ αἷμα καὶ παρεβαίνετε τὴν διαθήκην
8 μου ἐν πάσαις ταῖς ἀνομίαις ὑμῶν. καὶ διετάξατε τοῦ φυλάσσειν
9 φυλακὰς ἐν τοῖς ἁγίοις μου. διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεός
πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος καρδίᾳ καὶ ἀπερίτμητος σαρκὶ
οὐκ εἰσελεύσεται εἰς τὰ ἅγιά μου ἐν πᾶσιν υἱοῖς ἀλλογενῶν τῶν
10 ὄντων ἐν μέσῳ οἴκου Ισραηλ. ἀλλ᾽ ἢ οἱ Λευῖται οἵτινες ἀφήλαντο
ἀπ᾽ ἐμοῦ ἐν τῷ πλανᾶσθαι τὸν Ισραηλ ἀπ᾽ ἐμοῦ κατόπισθεν τῶν
11 ἐνθυμημάτων αὐτῶν καὶ λήμψονται ἀδικίαν αὐτῶν. καὶ ἔσονται
ἐν τοῖς ἁγίοις μου λειτουργοῦντες θυρωροὶ ἐπὶ τῶν πυλῶν τοῦ
οἴκου καὶ λειτουργοῦντες τῷ οἴκῳ οὗτοι σφάξουσιν τὰ ὁλοκαυ-
τώματα καὶ τὰς θυσίας τῷ λαῷ καὶ οὗτοι στήσονται ἐναντίον τοῦ
12 λαοῦ τοῦ λειτουργεῖν αὐτοῖς. ἀνθ᾽ ὧν ἐλειτούργουν αὐτοῖς πρὸ
προσώπου τῶν εἰδώλων αὐτῶν καὶ ἐγένετο τῷ οἴκῳ Ισραηλ εἰς κό-
λασιν ἀδικίας ἕνεκα τούτου ἦρα τὴν χεῖρά μου ἐπ᾽ αὐτούς λέγει
13 κύριος ὁ θεός. καὶ οὐκ ἐγγιοῦσι πρός με τοῦ ἱερατεύειν μοι
οὐδὲ τοῦ προσάγειν πρὸς τὰ ἅγια υἱῶν τοῦ Ισραηλ οὐδὲ πρὸς τὰ
ἅγια τῶν ἁγίων μου καὶ λήμψονται ἀτιμίαν αὐτῶν ἐν τῇ πλανήσει
14 ᾗ ἐπλανήθησαν. καὶ κατατάξουσιν αὐτοὺς φυλάσσειν φυλακὰς
τοῦ οἴκου εἰς πάντα τὰ ἔργα αὐτοῦ καὶ εἰς πάντα ὅσα ἂν ποιήσω-
15 σιν. οἱ ἱερεῖς οἱ Λευῖται οἱ υἱοὶ τοῦ Σαδδουκ οἵτινες ἐφυλάξαντο

---

v.7 ὁ^{dgns} εἰσάγω^{vnaa} σύ$^{rpa-p}$ υἱός^{nampc} ἀλλογενής^{anampn} ἀπερίτμητος^{anampn} καρδία^{ndfsc} καί^{cc} ἀπερίτμητος^{anampn} σάρξ^{ndfsc} ὁ^{dgns} γίνομαι^{vnpm} ἐν^{pd} ὁ^{ddnp} ἅγιος^{andnpn} ἐγώ$^{rpg-s}$ καί^{cc} βεβηλόω^{viia3p} αὐτός^{rpanp} ἐν^{pd} ὁ^{ddns} προσφέρω^{vnpa} σύ$^{rpa-p}$ ἄρτος^{nampc} στέαρ^{nansc} καί^{cc} αἷμα^{nansc} καί^{cc} παραβαίνω^{viia2p} ὁ^{dafs} διαθήκη^{nafsc} ἐγώ$^{rpg-s}$ ἐν^{pd} πᾶς^{aidfpn} ὁ^{ddfp} ἀνομία^{ndfpc} σύ$^{rpg-p}$. **v.8** καί^{cc} διατάσσω^{viaa2p} ὁ^{dgns} φυλάσσω^{vnpa} φυλακή^{nafpc} ἐν^{pd} ὁ^{ddnp} ἅγιος^{andnpn} ἐγώ$^{rpg-s}$. **v.9** διά^{pa} οὗτος^{rdans} ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc} πᾶς^{ainmsn} υἱός^{nnmsc} ἀλλογενής^{annmsn} ἀπερίτμητος^{annmsn} καρδία^{ndfsc} καί^{cc} ἀπερίτμητος^{annmsn} σάρξ^{ndfsc} οὐ^{b} εἰσέρχομαι^{vifm3s} εἰς^{pa} ὁ^{danp} ἅγιος^{ananpn} ἐγώ$^{rpg-s}$ ἐν^{pd} πᾶς^{aidmpn} υἱός^{ndmpc} ἀλλογενής^{angmpn} ὁ^{dgmp} εἰμί^{vppagmp} ἐν^{pd} μέσος^{andnsn} οἶκος^{ngmsc} Ἰσραήλ^{ngmsp}. **v.10** ἀλλά^{cc} ἤ^{cc} ὁ^{dnmp} Λευίτης^{nnmpp} ὅστις^{rrnmp} ἀφάλλομαι^{viam3p} ἀπό^{pg} ἐγώ$^{rpg-s}$ ἐν^{pd} ὁ^{ddns} πλανάω^{vnpp} ὁ^{dams} Ἰσραήλ^{namsp} ἀπό^{pg} ἐγώ$^{rpg-s}$ κατόπισθεν^{pg} ὁ^{dgnp} ἐνθύμημα^{ngnpc} αὐτός^{rpgmp} καί^{cc} λαμβάνω^{vifm3p} ἀδικία^{nafsc} αὐτός^{rpgmp}. **v.11** καί^{cc} εἰμί^{vifm3p} ἐν^{pd} ὁ^{ddnp} ἅγιος^{andnpn} ἐγώ$^{rpg-s}$ λειτουργέω^{vppanmp} θυρωρός^{nnmpc} ἐπί^{pg} ὁ^{dgfp} πύλη^{ngfpc} ὁ^{dgms} οἶκος^{ngmsc} καί^{cc} λειτουργέω^{vppanmp} ὁ^{ddms} οἶκος^{ndmsc} οὗτος^{rdnmp} σφάζω^{vifa3p} ὁ^{danp} ὁλοκαύτωμα^{nanpc} καί^{cc} ὁ^{dafp} θυσία^{nafpc} ὁ^{ddms} λαός^{ndmsc} καί^{cc} οὗτος^{rdnmp} ἵστημι^{vifm3p} ἐναντίον^{pg} ὁ^{dgms} λαός^{ngmsc} ὁ^{dgns} λειτουργέω^{vnpa} αὐτός^{rpdmp}. **v.12** ἀντί^{pg} ὅς^{rrgnp} λειτουργέω^{viia3p} αὐτός^{rpdmp} πρό^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgnp} εἴδωλον^{ngnpc} αὐτός^{rpgmp} καί^{cc} γίνομαι^{viam3s} ὁ^{ddms} οἶκος^{ndmsc} Ἰσραήλ^{ngmsp} εἰς^{pa} κόλασις^{nafsc} ἀδικία^{ngfsc} ἕνεκα^{pg} οὗτος^{rdgns} αἴρω^{viaa1s} ὁ^{dafs} χείρ^{nafsc} ἐγώ$^{rpg-s}$ ἐπί^{pa} αὐτός^{rpamp} λέγω^{vipa3s} κύριος^{nnmsc} ὁ^{dnms} θεός^{nnmsc}. **v.13** καί^{cc} οὐ^{b} ἐγγίζω^{vifa3p} πρός^{pa} ἐγώ$^{rpa-s}$ ὁ^{dgns} ἱερατεύω^{vnpa} ἐγώ$^{rpd-s}$ οὐδέ^{cc} ὁ^{dgns} προσάγω^{vnpa} πρός^{pa} ὁ^{danp} ἅγιος^{ananpn} υἱός^{ngmpc} ὁ^{dgms} Ἰσραήλ^{ngmsp} οὐδέ^{cc} πρός^{pa} ὁ^{danp} ἅγιος^{ananpn} ὁ^{dgnp} ἅγιος^{angnpn} ἐγώ$^{rpg-s}$ καί^{cc} λαμβάνω^{vifm3p} ἀτιμία^{nafsc} αὐτός^{rpgmp} ἐν^{pd} ὁ^{ddfs} πλάνησις^{ndfsc} ὅς^{rrdfs} πλανάω^{viap3p}. **v.14** καί^{cc} κατατάσσω^{vifa3p} αὐτός^{rpamp} φυλάσσω^{vnpa} φυλακή^{nafpc} ὁ^{dgms} οἶκος^{ngmsc} εἰς^{pa} πᾶς^{aianpn} ὁ^{danp} ἔργον^{nanpc} αὐτός^{rpgms} καί^{cc} εἰς^{pa} πᾶς^{aianpn} ὅσος^{aranpn} ἄν^{x} ποιέω^{vsaa3p}.

τὰς φυλακὰς τῶν ἁγίων μου ἐν τῷ πλανᾶσθαι οἶκον Ισραηλ ἀπ᾽ ἐμοῦ οὗτοι προσάξουσιν πρός με τοῦ λειτουργεῖν μοι καὶ στήσονται πρὸ προσώπου μου τοῦ προσφέρειν μοι θυσίαν στέαρ καὶ αἷμα λέγει κύριος ὁ θεός. οὗτοι εἰσελεύσονται εἰς τὰ ἅγιά μου 16
καὶ οὗτοι προσελεύσονται πρὸς τὴν τράπεζάν μου τοῦ λειτουργεῖν μοι καὶ φυλάξουσιν τὰς φυλακάς μου. καὶ ἔσται ἐν τῷ εἰσπο- 17
ρεύεσθαι αὐτοὺς τὰς πύλας τῆς αὐλῆς τῆς ἐσωτέρας στολὰς λινᾶς ἐνδύσονται καὶ οὐκ ἐνδύσονται ἐρεᾶ ἐν τῷ λειτουργεῖν αὐτοὺς ἀ-
πὸ τῆς πύλης τῆς ἐσωτέρας αὐλῆς. καὶ κιδάρεις λινᾶς ἕξουσιν 18
ἐπὶ ταῖς κεφαλαῖς αὐτῶν καὶ περισκελῆ λινᾶ ἕξουσιν ἐπὶ τὰς ὀ-
σφύας αὐτῶν καὶ οὐ περιζώσονται βίᾳ. καὶ ἐν τῷ ἐκπορεύεσθαι 19
αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν πρὸς τὸν λαὸν ἐκδύσονται τὰς στολὰς αὐτῶν ἐν αἷς αὐτοὶ λειτουργοῦσιν ἐν αὐταῖς καὶ θήσουσιν αὐτὰς ἐν ταῖς ἐξέδραις τῶν ἁγίων καὶ ἐνδύσονται στολὰς ἑτέρας καὶ οὐ μὴ ἁγιάσωσιν τὸν λαὸν ἐν ταῖς στολαῖς αὐτῶν. καὶ τὰς κε- 20
φαλὰς αὐτῶν οὐ ξυρήσονται καὶ τὰς κόμας αὐτῶν οὐ ψιλώσουσιν καλύπτοντες καλύψουσιν τὰς κεφαλὰς αὐτῶν. καὶ οἶνον οὐ μὴ 21
πίωσιν πᾶς ἱερεὺς ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. καὶ χήραν καὶ ἐκβεβλημένην οὐ λήμψονται ἑαυτοῖς 22
εἰς γυναῖκα ἀλλ᾽ ἢ παρθένον ἐκ τοῦ σπέρματος Ισραηλ καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως λήμψονται. καὶ τὸν λαόν μου διδάξου- 23

---

v.15 ὁ^dnmp ἱερεὺς^nnmpc ὁ^dnmp Λευίτης^nnmpp ὁ^dnmp υἱός^nnmpc ὁ^dgms Σαδδουκ^ngmsp ὅστις^rrnmp φυλάσσω^viam3p ὁ^dafp φυλακή^nafpc ὁ^dgnp ἅγιος^angnpn ἐγώ^rpg-s ἐν^pd ὁ^ddns πλανάω^vnpp οἶκος^namsc Ἰσραήλ^ngmsp ἀπό^pg ἐγώ^rpg-s οὗτος^rdnmp προσάγω^vifa3p πρός^pa ἐγώ^rpa-s ὁ^dgns λειτουργέω^vnpa ἐγώ^rpd-s καί^cc ἵστημι^vifm3p πρό^pg πρόσωπον^ngnsc ἐγώ^rpg-s ὁ^dgns προσφέρω^vnpa ἐγώ^rpd-s θυσία^nafsc στέαρ^nansc καί^cc αἷμα^nansc λέγω^vipa3s κύριος^nnmsc ὁ^dnms θεός^nnmsc. **v.16** οὗτος^rdnmp εἰσέρχομαι^vifm3p εἰς^pa ὁ^danp ἅγιος^ananpn ἐγώ^rpg-s καί^cc οὗτος^rdnmp προσέρχομαι^vifm3p πρός^pa ὁ^dafs τράπεζα^nafsc ἐγώ^rpg-s ὁ^dgns λειτουργέω^vnpa ἐγώ^rpd-s καί^cc φυλάσσω^vifa3p ὁ^dafp φυλακή^nafpc ἐγώ^rpg-s. **v.17** καί^cc εἰμί^vifm3s ἐν^pd ὁ^ddns εἰσπορεύομαι^vnpm αὐτός^rpamp ὁ^dafp πύλη^nafpc ὁ^dgfs αὐλή^ngfsc ὁ^dgfs ἐσώτερος^angfsn στολή^nafpc λινοῦς^anafpn ἐνδύω^vifm3p καί^cc οὐ^b ἐνδύω^vifm3p ἐρεοῦς^ananpn ἐν^pd ὁ^ddns λειτουργέω^vnpa αὐτός^rpamp ἀπό^pg ὁ^dgfs πύλη^ngfsc ὁ^dgfs ἐσώτερος^angfsn αὐλή^ngfsc. **v.18** καί^cc κίδαρις^nafpc λινοῦς^anafpn ἔχω^vifa3p ἐπί^pd ὁ^ddfp κεφαλή^ndfpc αὐτός^rpgmp καί^cc περισκελής^ananpn λινοῦς^ananpn ἔχω^vifa3p ἐπί^pa ὁ^dafp ὀσφύς^nafpc αὐτός^rpgmp καί^cc οὐ^b περιζώννυμι^vifm3p βία^ndfsc. **v.19** καί^cc ἐν^pd ὁ^ddns ἐκπορεύομαι^vnpm αὐτός^rpamp εἰς^pa ὁ^dafs αὐλή^nafsc ὁ^dafs ἐξώτερος^anafsc πρός^pa ὁ^dams λαός^namsc ἐκδύω^vifm3p ὁ^dafp στολή^nafpc αὐτός^rpgmp ἐν^pd ὅς^rrdfp αὐτός^rpnmp λειτουργέω^vipa3p ἐν^pd αὐτός^rpdfp καί^cc τίθημι^vifa3p αὐτός^rpafp ἐν^pd ὁ^ddfp ἐξέδρα^ndfpc ὁ^dgnp ἅγιος^angnpn καί^cc ἐνδύω^vifm3p στολή^nafpc ἕτερος^aiafpn καί^cc οὐ^b μή^x ἁγιάζω^vsaa3p ὁ^dams λαός^namsc ἐν^pd ὁ^ddfp στολή^ndfpc αὐτός^rpgmp. **v.20** καί^cc ὁ^dafp κεφαλή^nafpc αὐτός^rpgmp οὐ^b ξυράω^vifm3p καί^cc ὁ^dafp κόμη^nafpc αὐτός^rpgmp οὐ^b ψιλόω^vifa3p καλύπτω^vppanmp καλύπτω^vifa3p ὁ^dafp κεφαλή^nafpc αὐτός^rpgmp. **v.21** καί^cc οἶνος^namsc οὐ^b μή^x πίνω^vsaa3p πᾶς^ainmsn ἱερεύς^nnmsc ἐν^pd ὁ^ddns εἰσπορεύομαι^vnpm αὐτός^rpamp εἰς^pa ὁ^dafs αὐλή^nafsc ὁ^dafs ἐσώτερος^anafsc. **v.22** καί^cc χήρα^nafsc καί^cc ἐκβάλλω^vpxpafs οὐ^b λαμβάνω^vifm3p ἑαυτοῦ^rxdmp εἰς^pa γυνή^nafsc ἀλλά^cc ἤ^cc παρθένος^nafsc ἐκ^pg ὁ^dgns σπέρμα^ngnsc Ἰσραήλ^ngmsp καί^cc χήρα^nnfsc ἐάν^cs γίνομαι^vsam3s ἐκ^pg ἱερεύς^ngmsc λαμβάνω^vifm3p.

σιν ἀνὰ μέσον ἁγίου καὶ βεβήλου καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ
24 καθαροῦ γνωριοῦσιν αὐτοῖς. καὶ ἐπὶ κρίσιν αἵματος οὗτοι ἐπι-
στήσονται τοῦ διακρίνειν τὰ δικαιώματά μου δικαιώσουσιν καὶ τὰ
κρίματά μου κρινοῦσιν καὶ τὰ νόμιμά μου καὶ τὰ προστάγματά
μου ἐν πάσαις ταῖς ἑορταῖς μου φυλάξονται καὶ τὰ σάββατά μου
25 ἁγιάσουσιν. καὶ ἐπὶ ψυχὴν ἀνθρώπου οὐκ εἰσελεύσονται τοῦ
μιανθῆναι ἀλλ᾽ ἢ ἐπὶ πατρὶ καὶ ἐπὶ μητρὶ καὶ ἐπὶ υἱῷ καὶ ἐπὶ θυ-
γατρὶ καὶ ἐπὶ ἀδελφῷ καὶ ἐπὶ ἀδελφῇ αὐτοῦ ἢ οὐ γέγονεν ἀνδρί
26 μιανθήσεται. καὶ μετὰ τὸ καθαρισθῆναι αὐτὸν ἑπτὰ ἡμέρας ἐ-
27 ξαριθμήσει αὐτῷ. καὶ ᾗ ἂν ἡμέρᾳ εἰσπορεύωνται εἰς τὴν αὐλὴν
τὴν ἐσωτέραν τοῦ λειτουργεῖν ἐν τῷ ἁγίῳ προσοίσουσιν ἱλασμόν
28 λέγει κύριος ὁ θεός. καὶ ἔσται αὐτοῖς εἰς κληρονομίαν ἐγὼ κλη-
ρονομία αὐτοῖς καὶ κατάσχεσις αὐτοῖς οὐ δοθήσεται ἐν τοῖς υἱοῖς
29 Ισραηλ ὅτι ἐγὼ κατάσχεσις αὐτῶν. καὶ τὰς θυσίας καὶ τὰ ὑπὲρ
ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀγνοίας οὗτοι φάγονται καὶ πᾶν ἀφόρισμα
30 ἐν τῷ Ισραηλ αὐτοῖς ἔσται. ἀπαρχαὶ πάντων καὶ τὰ πρωτότοκα
πάντων καὶ τὰ ἀφαιρέματα πάντα ἐκ πάντων τῶν ἀπαρχῶν ὑμῶν
τοῖς ἱερεῦσιν ἔσται καὶ τὰ πρωτογενήματα ὑμῶν δώσετε τῷ ἱερεῖ
31 τοῦ θεῖναι εὐλογίας ὑμῶν ἐπὶ τοὺς οἴκους ὑμῶν. καὶ πᾶν θνη-
σιμαῖον καὶ θηριάλωτον ἐκ τῶν πετεινῶν καὶ ἐκ τῶν κτηνῶν οὐ
φάγονται οἱ ἱερεῖς.

---

v.23 καί[cc] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] διδάσκω[vifa3p] ἀνά[pa] μέσος[anansn] ἅγιος[angnsn] καί[cc] βέβηλος[angnsn] καί[cc] ἀνά[pa] μέσος[ananSn] ἀκάθαρτος[angnsn] καί[cc] καθαρός[angnsn] γνωρίζω[vifa3p] αὐτός[rpdmp]. **v.24** καί[cc] ἐπί[pa] κρίσις[nafsc] αἷμα[ngnsc] οὗτος[rdnmp] ἐφίστημι[vifm3p] ὁ[dgns] διακρίνω[vnpa] ὁ[danp] δικαίωμα[nanpc] ἐγώ[rpg-s] δικαιόω[vifa3p] καί[cc] ὁ[danp] κρίμα[nanpc] ἐγώ[rpg-s] κρίνω[vifa3p] καί[cc] ὁ[danp] νόμιμος[ananpn] ἐγώ[rpg-s] καί[cc] ὁ[danp] πρόσταγμα[nanpc] ἐγώ[rpg-s] ἐν[pd] πᾶς[aidfpn] ὁ[ddfp] ἑορτή[ndfpc] ἐγώ[rpg-s] φυλάσσω[vifm3p] καί[cc] ὁ[danp] σάββατον[nanpc] ἐγώ[rpg-s] ἁγιάζω[vifa3p]. **v.25** καί[cc] ἐπί[pa] ψυχή[nafsc] ἄνθρωπος[ngmsc] οὐ[b] εἰσέρχομαι[vifm3p] ὁ[dgns] μιαίνω[vnap] ἀλλά[cc] ἤ[cc] ἐπί[pd] πατήρ[ndmsc] καί[cc] ἐπί[pd] μήτηρ[ndfsc] καί[cc] ἐπί[pd] υἱός[ndmsc] καί[cc] ἐπί[pd] θυγάτηρ[ndfsc] καί[cc] ἐπί[pd] ἀδελφός[ndmsc] καί[cc] ἐπί[pd] ἀδελφή[ndfsc] αὐτός[rpgms] ὅς[rrnfs] οὐ[b] γίνομαι[vixa3s] ἀνήρ[ndmsc] μιαίνω[vifp3s]. **v.26** καί[cc] μετά[pa] ὁ[dans] καθαρίζω[vnap] αὐτός[rpams] ἑπτά[ac—n] ἡμέρα[nafpc] ἐξαριθμέω[vifa3s] αὐτός[rpdms]. **v.27** καί[cc] ὅς[rrdfs] ἄν[x] ἡμέρα[ndfsc] εἰσπορεύομαι[vspm3p] εἰς[pa] ὁ[dafs] αὐλή[nafsc] ὁ[dafs] ἐσώτερος[anafsc] ὁ[dgns] λειτουργέω[vnpa] ἐν[pd] ὁ[ddns] ἅγιος[andnsn] προσφέρω[vifa3p] ἱλασμός[namsc] λέγω[vipa3s] κύριος[nnmsc] ὁ[dnms] θεός[nnmsc]. **v.28** καί[cc] εἰμί[vifm3s] αὐτός[rpdmp] εἰς[pa] κληρονομία[nafsc] ἐγώ[rpn-s] κληρονομία[nnfsc] αὐτός[rpdmp] καί[cc] κατάσχεσις[nnfsc] αὐτός[rpdmp] οὐ[b] δίδωμι[vifp3s] ἐν[pd] ὁ[ddmp] υἱός[ndmpc] Ἰσραήλ[ngmsp] ὅτι[cs] ἐγώ[rpn-s] κατάσχεσις[nnfsc] αὐτός[rpgmp]. **v.29** καί[cc] ὁ[dafp] θυσία[nafpc] καί[cc] ὁ[danp] ὑπέρ[pa] ἁμαρτία[nafpc] καί[cc] ὁ[danp] ὑπέρ[pa] ἄγνοια[nafpc] οὗτος[rdnmp] ἐσθίω[vifm3p] καί[cc] πᾶς[ainnsn] ἀφόρισμα[nnnsc] ἐν[pd] ὁ[ddms] Ἰσραήλ[ndmsp] αὐτός[rpdmp] εἰμί[vifm3s]. **v.30** ἀπαρχή[nnfpc] πᾶς[aignpn] καί[cc] ὁ[dnnp] πρωτότοκος[annnpn] πᾶς[aignpn] καί[cc] ὁ[dnnp] ἀφαίρεμα[nnnpc] πᾶς[ainnpn] ἐκ[pg] πᾶς[aigfpn] ὁ[dgfp] ἀπαρχή[ngfpc] σύ[rpg-p] ὁ[ddmp] ἱερεύς[ndmpc] εἰμί[vifm3s] καί[cc] ὁ[danp] πρωτογένημα[nanpc] σύ[rpg-p] δίδωμι[vifa2p] ὁ[ddms] ἱερεύς[ndmsc] ὁ[dgns] τίθημι[vnaa] εὐλογία[nafpc] σύ[rpg-p] ἐπί[pa] ὁ[damp] οἶκος[nampc] σύ[rpg-p]. **v.31** καί[cc] πᾶς[aiansn] θνησιμαῖος[anansn] καί[cc] θηριάλωτος[anansn] ἐκ[pg] ὁ[dgnp] πετεινός[ngnpc] καί[cc] ἐκ[pg] ὁ[dgnp] κτῆνος[ngnpc] οὐ[b] ἐσθίω[vifm3p] ὁ[dnmp] ἱερεύς[nnmpc].

καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς τὴν γῆν ἐν κληρονομίᾳ ἀφο- **45**
ριεῖτε ἀπαρχὴν τῷ κυρίῳ ἅγιον ἀπὸ τῆς γῆς πέντε καὶ εἴκοσι
χιλιάδας μῆκος καὶ εὖρος εἴκοσι χιλιάδας ἅγιον ἔσται ἐν πᾶσι
τοῖς ὁρίοις αὐτοῦ κυκλόθεν. καὶ ἔσται ἐκ τούτου εἰς ἁγίασμα 2
πεντακόσιοι ἐπὶ πεντακοσίους τετράγωνον κυκλόθεν καὶ πήχεις
πεντήκοντα διάστημα αὐτῷ κυκλόθεν. καὶ ἐκ ταύτης τῆς διαμε- 3
τρήσεως διαμετρήσεις μῆκος πέντε καὶ εἴκοσι χιλιάδας καὶ εὖρος
δέκα χιλιάδας καὶ ἐν αὐτῇ ἔσται τὸ ἁγίασμα ἅγια τῶν ἁγίων. ἀ- 4
πὸ τῆς γῆς ἔσται τοῖς ἱερεῦσιν τοῖς λειτουργοῦσιν ἐν τῷ ἁγίῳ καὶ
ἔσται τοῖς ἐγγίζουσι λειτουργεῖν τῷ κυρίῳ καὶ ἔσται αὐτοῖς τό-
πος εἰς οἴκους ἀφωρισμένους τῷ ἁγιασμῷ αὐτῶν. εἴκοσι καὶ 5
πέντε χιλιάδες μῆκος καὶ εὖρος δέκα χιλιάδες ἔσται τοῖς Λευίταις
τοῖς λειτουργοῦσιν τῷ οἴκῳ αὐτοῖς εἰς κατάσχεσιν πόλεις τοῦ κα-
τοικεῖν. καὶ τὴν κατάσχεσιν τῆς πόλεως δώσεις πέντε χιλιάδας 6
εὖρος καὶ μῆκος πέντε καὶ εἴκοσι χιλιάδας ὃν τρόπον ἡ ἀπαρχὴ
τῶν ἁγίων παντὶ οἴκῳ Ισραηλ ἔσονται. καὶ τῷ ἡγουμένῳ ἐκ τού- 7
του καὶ ἀπὸ τούτου εἰς τὰς ἀπαρχὰς τῶν ἁγίων εἰς κατάσχεσιν τῆς
πόλεως κατὰ πρόσωπον τῶν ἀπαρχῶν τῶν ἁγίων καὶ κατὰ πρόσω-
πον τῆς κατασχέσεως τῆς πόλεως τὰ πρὸς θάλασσαν καὶ ἀπὸ τῶν
πρὸς θάλασσαν πρὸς ἀνατολάς καὶ τὸ μῆκος ὡς μία τῶν μερίδων
ἀπὸ τῶν ὁρίων τῶν πρὸς θάλασσαν καὶ τὸ μῆκος ἐπὶ τὰ ὅρια τὰ

---

45. v.1 καί[cc] ἐν[pd] ὁ[ddns] καταμετρέω[vnpm] σύ[rpa-p] ὁ[dafs] γῆ[nafsc] ἐν[pd] κληρονομία[ndfsc] ἀφορίζω[vifa2p] ἀπαρχή[nafsc] ὁ[ddms] κύριος[ndmsc] ἅγιος[anansn] ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] πέντε[ac—n] καί[cc] εἴκοσι[ac—n] χιλιάς[nafpc] μῆκος[nansc] καί[cc] εὖρος[nansc] εἴκοσι[ac—n] χιλιάς[nafpc] ἅγιος[annnsn] εἰμί[vifm3s] ἐν[pd] πᾶς[aidnpn] ὁ[ddnp] ὅριον[ndnpc] αὐτός[rpgms] κυκλόθεν[b]. **v.2** καί[cc] εἰμί[vifm3s] ἐκ[pg] οὗτος[rdgns] εἰς[pa] ἁγίασμα[nansc] πεντακόσιοι[acnmpn] ἐπί[pa] πεντακόσιοι[acampn] τετράγωνος[anansn] κυκλόθεν[b] καί[cc] πῆχυς[nnmpc] πεντήκοντα[ac—n] διάστημα[nnnsc] αὐτός[rpdns] κυκλόθεν[b]. **v.3** καί[cc] ἐκ[pg] οὗτος[rdgfs] ὁ[dgfs] διαμέτρησις[ngfsc] διαμετρέω[vifa2s] μῆκος[nansc] πέντε[ac—n] καί[cc] εἴκοσι[ac—n] χιλιάς[nafpc] καί[cc] εὖρος[nansc] δέκα[ac—n] χιλιάς[nafpc] καί[cc] ἐν[pd] αὐτός[rpdfs] εἰμί[vifm3s] ὁ[dnns] ἁγίασμα[nnnsc] ἅγιος[annnpn] ὁ[dgnp] ἅγιος[angnpn]. **v.4** ἀπό[pg] ὁ[dgfs] γῆ[ngfsc] εἰμί[vifm3s] ὁ[ddmp] ἱερεύς[ndmpc] ὁ[ddmp] λειτουργέω[vppadmp] ἐν[pd] ὁ[ddns] ἅγιος[andnsn] καί[cc] εἰμί[vifm3s] ὁ[ddmp] ἐγγίζω[vppadmp] λειτουργέω[vnpa] ὁ[ddms] κύριος[ndmsc] καί[cc] εἰμί[vifm3s] αὐτός[rpdmp] τόπος[nnmsc] εἰς[pa] οἶκος[nampc] ἀφορίζω[vpxpamp] ὁ[ddms] ἁγιασμός[ndmsc] αὐτός[rpgmp]. **v.5** εἴκοσι[ac—n] καί[cc] πέντε[ac—n] χιλιάς[nnfpc] μῆκος[nnnsc] καί[cc] εὖρος[nnnsc] δέκα[ac—n] χιλιάς[nnfpc] εἰμί[vifm3s] ὁ[ddmp] Λευίτης[ndmpp] ὁ[ddmp] λειτουργέω[vppadmp] ὁ[ddms] οἶκος[ndmsc] αὐτός[rpdmp] εἰς[pa] κατάσχεσις[nafsc] πόλις[nafpc] ὁ[dgns] κατοικέω[vnpa]. **v.6** καί[cc] ὁ[dafs] κατάσχεσις[nafsc] ὁ[dgfs] πόλις[ngfsc] δίδωμι[vifa2s] πέντε[ac—n] χιλιάς[nafpc] εὖρος[nansc] καί[cc] μῆκος[nansc] πέντε[ac—n] καί[cc] εἴκοσι[ac—n] χιλιάς[nafpc] ὅς[rrams] τρόπος[namsc] ὁ[dnfs] ἀπαρχή[nnfsc] ὁ[dgnp] ἅγιος[angnpn] πᾶς[aidmsn] οἶκος[ndmsc] Ἰσραήλ[ngmsp] εἰμί[vifm3p].

8 πρὸς ἀνατολὰς τῆς γῆς. καὶ ἔσται αὐτῷ εἰς κατάσχεσιν ἐν τῷ
Ισραηλ καὶ οὐ καταδυναστεύσουσιν οὐκέτι οἱ ἀφηγούμενοι τοῦ
Ισραηλ τὸν λαόν μου καὶ τὴν γῆν κατακληρονομήσουσιν οἶκος
9 Ισραηλ κατὰ φυλὰς αὐτῶν. τάδε λέγει κύριος θεός ἱκανούσθω
ὑμῖν οἱ ἀφηγούμενοι τοῦ Ισραηλ ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλε-
σθε καὶ κρίμα καὶ δικαιοσύνην ποιήσατε ἐξάρατε καταδυναστείαν
10 ἀπὸ τοῦ λαοῦ μου λέγει κύριος θεός. ζυγὸς δίκαιος καὶ μέτρον
11 δίκαιον καὶ χοῖνιξ δικαία ἔστω ὑμῖν. τὸ μέτρον καὶ ἡ χοῖνιξ ὁ-
μοίως μία ἔσται τοῦ λαμβάνειν τὸ δέκατον τοῦ γομορ ἡ χοῖνιξ καὶ
12 τὸ δέκατον τοῦ γομορ τὸ μέτρον πρὸς τὸ γομορ ἔσται ἴσον. καὶ
τὸ στάθμιον εἴκοσι ὀβολοί οἱ πέντε σίκλοι πέντε καὶ οἱ δέκα σίκλοι
13 δέκα καὶ πεντήκοντα σίκλοι ἡ μνᾶ ἔσται ὑμῖν. καὶ αὕτη ἡ ἀπαρ-
χὴ ἣν ἀφοριεῖτε ἕκτον τοῦ μέτρου ἀπὸ τοῦ γομορ τοῦ πυροῦ καὶ
14 τὸ ἕκτον τοῦ οιφι ἀπὸ τοῦ κόρου τῶν κριθῶν. καὶ τὸ πρόσταγμα
τοῦ ἐλαίου κοτύλην ἐλαίου ἀπὸ δέκα κοτυλῶν ὅτι αἱ δέκα κοτύλαι
15 εἰσὶν γομορ. καὶ πρόβατον ἀπὸ τῶν δέκα προβάτων ἀφαίρεμα ἐκ
πασῶν τῶν πατριῶν τοῦ Ισραηλ εἰς θυσίας καὶ εἰς ὁλοκαυτώματα
καὶ εἰς σωτηρίου τοῦ ἐξιλάσκεσθαι περὶ ὑμῶν λέγει κύριος θεός.

---

v.7 καί[cc] ὁ[ddms] ἡγέομαι[vppmdms] ἐκ[pg] οὗτος[rdgms] καί[cc] ἀπό[pg] οὗτος[rdgms] εἰς[pa] ὁ[dafp] ἀπαρχή[nafpc] ὁ[dgnp] ἅγιος[angnpn] εἰς[pa] κατάσχεσις[nafsc] ὁ[dgfs] πόλις[ngfsc] κατά[pa] πρόσωπον[nansc] ὁ[dgfp] ἀπαρχή[ngfpc] ὁ[dgnp] ἅγιος[angnpn] καί[cc] κατά[pa] πρόσωπον[nansc] ὁ[dgfs] κατάσχεσις[ngfsc] ὁ[dgfs] πόλις[ngfsc] ὁ[danp] πρός[pa] θάλασσα[nafsc] καί[cc] ἀπό[pg] ὁ[dgnp] πρός[pa] θάλασσα[nafsc] πρός[pa] ἀνατολή[nafpc] καί[cc] ὁ[dnns] μῆκος[nnnsc] ὡς[cs] εἷς[acnfsn] ὁ[dgfp] μερίς[ngfpc] ἀπό[pg] ὁ[dgnp] ὅριον[ngnpc] ὁ[dgnp] πρός[pa] θάλασσα[nafsc] καί[cc] ὁ[dnns] μῆκος[nnnsc] ἐπί[pa] ὁ[danp] ὅριον[nanpc] ὁ[danp] πρός[pa] ἀνατολή[nafpc] ὁ[dgfs] γῆ[ngfsc]. **v.8** καί[cc] εἰμί[vifm3s] αὐτός[rpdms] εἰς[pa] κατάσχεσις[nafsc] ἐν[pd] ὁ[ddms] Ισραηλ[ngmsp] καί[cc] οὐ[b] καταδυναστεύω[vifa3p] οὐκέτι[b] ὁ[dnmp] ἀφηγέομαι[vppmnmp] ὁ[dgms] Ισραηλ[ngmsp] ὁ[dams] λαός[namsc] ἐγώ[rpg-s] καί[cc] ὁ[dafs] γῆ[nafsc] κατακληρονομέω[vifa3p] οἶκος[nnmsc] Ισραηλ[ngmsp] κατά[pa] φυλή[nafpc] αὐτός[rpgmp]. **v.9** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] θεός[nnmsc] ἱκανόω[vdpp3s] σύ[rpd-p] ὁ[dnmp] ἀφηγέομαι[vppmnmp] ὁ[dgms] Ισραηλ[ngmsp] ἀδικία[nafsc] καί[cc] ταλαιπωρία[nafsc] ἀφαιρέω[vdam2p] καί[cc] κρίμα[nansc] καί[cc] δικαιοσύνη[nafsc] ποιέω[vdaa2p] ἐξαίρω[vdaa2p] καταδυναστεία[nafsc] ἀπό[pg] ὁ[dgms] λαός[ngmsc] ἐγώ[rpg-s] λέγω[vipa3s] κύριος[nnmsc] θεός[nnmsc]. **v.10** ζυγός[nnmsc] δίκαιος[annmsn] καί[cc] μέτρον[nnnsc] δίκαιος[annnsn] καί[cc] χοῖνιξ[nnfsc] δίκαιος[annfsn] εἰμί[vdpa3s] σύ[rpd-p]. **v.11** ὁ[dnns] μέτρον[nnnsc] καί[cc] ὁ[dnfs] χοῖνιξ[nnfsc] ὁμοίως[b] εἷς[acnfsn] εἰμί[vifm3s] ὁ[dgns] λαμβάνω[vnpa] ὁ[dans] δέκατος[aoansn] ὁ[dgns] γομορ[t] ὁ[dnfs] χοῖνιξ[nnfsc] καί[cc] ὁ[dnns] δέκατος[aonnsn] ὁ[dgns] γομορ[t] ὁ[dnns] μέτρον[nnnsc] πρός[pa] ὁ[dans] γομορ[t] εἰμί[vifm3s] ἴσος[annnsn]. **v.12** καί[cc] ὁ[dnns] στάθμιον[nnnsc] εἴκοσι[ac—n] ὀβολός[nnmpc] ὁ[dnmp] πέντε[ac—n] σίκλος[nnmpc] πέντε[ac—n] καί[cc] ὁ[dnmp] δέκα[ac—n] σίκλος[nnmpc] δέκα[ac—n] καί[cc] πεντήκοντα[ac—n] σίκλος[nnmpc] ὁ[dnfs] μνᾶ[nnfsc] εἰμί[vifm3s] σύ[rpd-p]. **v.13** καί[cc] οὗτος[rdnfs] ὁ[dnfs] ἀπαρχή[nnfsc] ὅς[rrafs] ἀφορίζω[vifa2p] ἕκτος[aonnsn] ὁ[dgns] μέτρον[ngnsc] ἀπό[pg] ὁ[dgns] γομορ[t] ὁ[dgms] πυρός[ngmsc] καί[cc] ὁ[dnns] ἕκτος[aonnsn] ὁ[dgns] οιφι[t] ἀπό[pg] ὁ[dgms] κόρος[ngmsc] ὁ[dgfp] κριθή[ngfpc]. **v.14** καί[cc] ὁ[dans] πρόσταγμα[nansc] ὁ[dgns] ἔλαιον[ngnsc] κοτύλη[nafsc] ἔλαιον[ngnsc] ἀπό[pg] δέκα[ac—n] κοτύλη[ngfpc] ὅτι[cs] ὁ[dnfp] δέκα[ac—n] κοτύλη[nnfpc] εἰμί[vipa3p] γομορ[t]. **v.15** καί[cc] πρόβατον[nansc] ἀπό[pg] ὁ[dgnp] δέκα[ac—n] πρόβατον[ngnpc] ἀφαίρεμα[nansc] ἐκ[pg] πᾶς[aigfpn] ὁ[dgfp] πατριά[ngfpc] ὁ[dgms] Ισραηλ[ngmsp] εἰς[pa] θυσία[nafpc] καί[cc] εἰς[pa] ὁλοκαύτωμα[nanpc] καί[cc] εἰς[pa] σωτήριον[ngnsc] ὁ[dgns] ἐξιλάσκομαι[vnpm] περί[pg] σύ[rpg-p] λέγω[vipa3s] κύριος[nnmsc] θεός[nnmsc].

καὶ πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρχὴν ταύτην τῷ ἀφηγουμένῳ τοῦ 16
Ισραηλ. καὶ διὰ τοῦ ἀφηγουμένου ἔσται τὰ ὁλοκαυτώματα καὶ 17
αἱ θυσίαι καὶ αἱ σπονδαὶ ἔσονται ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς νου-
μηνίαις καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν πάσαις ταῖς ἑορταῖς οἴκου
Ισραηλ αὐτὸς ποιήσει τὰ ὑπὲρ ἁμαρτίας καὶ τὴν θυσίαν καὶ τὰ
ὁλοκαυτώματα καὶ τὰ τοῦ σωτηρίου τοῦ ἐξιλάσκεσθαι ὑπὲρ τοῦ
οἴκου Ισραηλ. τάδε λέγει κύριος θεός ἐν τῷ πρώτῳ μηνὶ μιᾷ τοῦ 18
μηνὸς λήμψεσθε μόσχον ἐκ βοῶν ἄμωμον τοῦ ἐξιλάσασθαι τὸ ἅ-
γιον. καὶ λήμψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ ἐξιλασμοῦ καὶ 19
δώσει ἐπὶ τὰς φλιὰς τοῦ οἴκου καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ
ἱεροῦ καὶ ἐπὶ τὸ θυσιαστήριον καὶ ἐπὶ τὰς φλιὰς τῆς πύλης τῆς
αὐλῆς τῆς ἐσωτέρας. καὶ οὕτως ποιήσεις ἐν τῷ ἑβδόμῳ μηνὶ μιᾷ 20
τοῦ μηνὸς λήμψῃ παρ᾽ ἑκάστου ἀπόμοιραν καὶ ἐξιλάσεσθε τὸν οἶ-
κον. καὶ ἐν τῷ πρώτῳ μηνὶ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς ἔσται 21
ὑμῖν τὸ πασχα ἑορτή ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε. καὶ ποιήσει ὁ 22
ἀφηγούμενος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑπὲρ αὐτοῦ καὶ τοῦ οἴκου καὶ
ὑπὲρ παντὸς τοῦ λαοῦ τῆς γῆς μόσχον ὑπὲρ ἁμαρτίας. καὶ τὰς 23
ἑπτὰ ἡμέρας τῆς ἑορτῆς ποιήσει ὁλοκαυτώματα τῷ κυρίῳ ἑπτὰ
μόσχους καὶ ἑπτὰ κριοὺς ἀμώμους καθ᾽ ἡμέραν τὰς ἑπτὰ ἡμέ-
ρας καὶ ὑπὲρ ἁμαρτίας ἔριφον αἰγῶν καθ᾽ ἡμέραν. καὶ θυσίαν 24
πέμμα τῷ μόσχῳ καὶ πέμμα τῷ κριῷ ποιήσεις καὶ ἐλαίου τὸ ιν τῷ

---

v.16 καί[cc] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] δίδωμι[vifa3s] ὁ[dafs] ἀπαρχή[nafsc] οὗτος[rdafs] ὁ[ddms] ἀφηγέομαι[vppmdms] ὁ[dgms] Ἰσραήλ[ngmsp]. **v.17** καί[cc] διά[pg] ὁ[dgms] ἀφηγέομαι[vppmgms] εἰμί[vifm3s] ὁ[dnnp] ὁλοκαύτωμα[nnnpc] καί[cc] ὁ[dnfp] θυσία[nnfpc] καί[cc] ὁ[dnfp] σπονδή[nnfpc] εἰμί[vifm3p] ἐν[pd] ὁ[ddfp] ἑορτή[ndfpc] καί[cc] ἐν[pd] ὁ[ddfp] νουμηνία[ndfpc] καί[cc] ἐν[pd] ὁ[ddnp] σάββατον[ndnpc] καί[cc] ἐν[pd] πᾶς[aidfpn] ὁ[ddfp] ἑορτή[ndfpc] οἶκος[ngmsc] Ἰσραήλ[ngmsp] αὐτός[rpnms] ποιέω[vifa3s] ὁ[danp] ὑπέρ[pa] ἁμαρτία[nafpc] καί[cc] ὁ[dafs] θυσία[nafsc] καί[cc] ὁ[danp] ὁλοκαύτωμα[nanpc] καί[cc] ὁ[danp] ὁ[dgns] σωτήριον[ngnsc] ὁ[dgns] ἐξιλάσκομαι[vnpm] ὑπέρ[pg] ὁ[dgms] οἶκος[ngmsc] Ἰσραήλ[ngmsp]. **v.18** ὅδε[rdanp] λέγω[vipa3s] κύριος[nnmsc] θεός[nnmsc] ἐν[pd] ὁ[ddms] πρῶτος[aodmsn] μήν[ndmsc] εἷς[acdfsn] ὁ[dgms] μήν[ngmsc] λαμβάνω[vifm2p] μόσχος[namsc] ἐκ[pg] βοῦς[ngmpc] ἄμωμος[anamsn] ὁ[dgns] ἐξιλάσκομαι[vnam] ὁ[dans] ἅγιος[anansn]. **v.19** καί[cc] λαμβάνω[vifm3s] ὁ[dnms] ἱερεύς[nnmsc] ἀπό[pg] ὁ[dgns] αἷμα[ngnsc] ὁ[dgms] ἐξιλασμός[ngmsc] καί[cc] δίδωμι[vifa3s] ἐπί[pa] ὁ[dafp] φλιά[nafpc] ὁ[dgms] οἶκος[ngmsc] καί[cc] ἐπί[pa] ὁ[dafp] τέσσαρες[acafpn] γωνία[nafpc] ὁ[dgns] ἱερόν[ngnsc] καί[cc] ἐπί[pa] ὁ[dans] θυσιαστήριον[nansc] καί[cc] ἐπί[pa] ὁ[dafp] φλιά[nafpc] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgfs] αὐλή[ngfsc] ὁ[dgfs] ἐσώτερος[angfsn]. **v.20** καί[cc] οὕτως[b] ποιέω[vifa2s] ἐν[pd] ὁ[ddms] ἕβδομος[aodmsn] μήν[ndmsc] εἷς[acdfsn] ὁ[dgms] μήν[ngmsc] λαμβάνω[vifm2s] παρά[pg] ἕκαστος[aigmsn] ἀπόμοιρα[nnfsc] καί[cc] ἐξιλάσκομαι[vifm2p] ὁ[dams] οἶκος[namsc]. **v.21** καί[cc] ἐν[pd] ὁ[ddms] πρῶτος[aodmsn] μήν[ndmsc] τεσσαρεσκαιδέκατος[aodfsn] ὁ[dgms] μήν[ngmsc] εἰμί[vifm3s] σύ[rpd-p] ὁ[dnns] πάσχα[nnnsc] ἑορτή[nnfsc] ἑπτά[ac—n] ἡμέρα[nafpc] ἄζυμος[ananpn] ἐσθίω[vifm2p]. **v.22** καί[cc] ποιέω[vifa3s] ὁ[dnms] ἀφηγέομαι[vppmnms] ἐν[pd] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfsc] ὑπέρ[pg] ἑαυτοῦ[rxgms] καί[cc] ὁ[dgms] οἶκος[ngmsc] καί[cc] ὑπέρ[pg] πᾶς[aigmsn] ὁ[dgms] λαός[ngmsc] ὁ[dgfs] γῆ[ngfsc] μόσχος[namsc] ὑπέρ[pa] ἁμαρτία[nafpc]. **v.23** καί[cc] ὁ[dafp] ἑπτά[ac—n] ἡμέρα[nafpc] ὁ[dgfs] ἑορτή[ngfsc] ποιέω[vifa3s] ὁλοκαύτωμα[nanpc] ὁ[ddms] κύριος[ndmsc] ἑπτά[ac—n] μόσχος[nampc] καί[cc] ἑπτά[ac—n] κριός[nampc] ἄμωμος[anampn] κατά[pa] ἡμέρα[nafsc] ὁ[dafp] ἑπτά[ac—n] ἡμέρα[nafpc] καί[cc] ὑπέρ[pa] ἁμαρτία[nafpc] ἔριφος[namsc] αἴξ[ngmpc] κατά[pa] ἡμέρα[nafsc].

25 πέμματι. καὶ ἐν τῷ ἑβδόμῳ μηνὶ πεντεκαιδεκάτῃ τοῦ μηνὸς ἐν
τῇ ἑορτῇ ποιήσεις κατὰ τὰ αὐτὰ ἑπτὰ ἡμέρας καθὼς τὰ ὑπὲρ τῆς
ἁμαρτίας καὶ καθὼς τὰ ὁλοκαυτώματα καὶ καθὼς τὸ μαναα καὶ
καθὼς τὸ ἔλαιον.

46 τάδε λέγει κύριος θεός πύλη ἡ ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ ἡ βλέ-
πουσα πρὸς ἀνατολὰς ἔσται κεκλεισμένη ἓξ ἡμέρας τὰς ἐνεργούς
ἐν δὲ τῇ ἡμέρᾳ τῶν σαββάτων ἀνοιχθήσεται καὶ ἐν τῇ ἡμέρᾳ τῆς
2 νουμηνίας ἀνοιχθήσεται. καὶ εἰσελεύσεται ὁ ἀφηγούμενος κατὰ
τὴν ὁδὸν τοῦ αιλαμ τῆς πύλης τῆς ἔξωθεν καὶ στήσεται ἐπὶ τὰ
πρόθυρα τῆς πύλης καὶ ποιήσουσιν οἱ ἱερεῖς τὰ ὁλοκαυτώματα
αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ καὶ προσκυνήσει ἐπὶ τοῦ προ-
θύρου τῆς πύλης καὶ ἐξελεύσεται καὶ ἡ πύλη οὐ μὴ κλεισθῇ ἕως
3 ἑσπέρας. καὶ προσκυνήσει ὁ λαὸς τῆς γῆς κατὰ τὰ πρόθυρα
τῆς πύλης ἐκείνης ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις ἐναν-
4 τίον κυρίου. καὶ τὰ ὁλοκαυτώματα προσοίσει ὁ ἀφηγούμενος τῷ
κυρίῳ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων ἓξ ἀμνοὺς ἀμώμους καὶ κριὸν
5 ἄμωμον. καὶ μαναα πέμμα τῷ κριῷ καὶ τοῖς ἀμνοῖς θυσίαν δόμα
6 χειρὸς αὐτοῦ καὶ ἐλαίου τὸ ιν τῷ πέμματι. καὶ ἐν τῇ ἡμέρᾳ τῆς
νουμηνίας μόσχον ἄμωμον καὶ ἓξ ἀμνούς καὶ κριὸς ἄμωμος ἔ-
7 σται. καὶ πέμμα τῷ κριῷ καὶ πέμμα τῷ μόσχῳ ἔσται μαναα καὶ
τοῖς ἀμνοῖς καθὼς ἐὰν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ καὶ ἐλαίου τὸ ιν τῷ

---

v.24 καί^{cc} θυσία^{nafsc} πέμμα^{nansc} ὁ^{ddms} μόσχος^{ndmsc} καί^{cc} πέμμα^{nansc} ὁ^{ddms} κριός^{ndmsc} ποιέω^{vifa2s} καί^{cc} ἔλαιον^{ngnsc} ὁ^{dans} ιν^{t} ὁ^{ddns} πέμμα^{ndnsc}. **v.25** καί^{cc} ἐν^{pd} ὁ^{ddms} ἑβδομος^{aodmsn} μήν^{ndmsc} πεντεκαιδέκατος^{aodfsn} ὁ^{dgms} μήν^{ngmsc} ἐν^{pd} ὁ^{ddfs} ἑορτή^{ndfsc} ποιέω^{vifa2s} κατά^{pa} ὁ^{danp} αὐτός^{rpanp} ἑπτά$^{ac—n}$ ἡμέρα^{nafpc} καθώς^{cs} ὁ^{danp} ὑπέρ^{pg} ὁ^{dgfs} ἁμαρτία^{ngfsc} καί^{cc} καθώς^{cs} ὁ^{danp} ὁλοκαύτωμα^{nanpc} καί^{cc} καθώς^{cs} ὁ^{dans} μαναα^{t} καί^{cc} καθώς^{cs} ὁ^{dans} ἔλαιον^{nansc}. **46. v.1** ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} θεός^{nnmsc} πύλη^{nnfsc} ὁ^{dnfs} ἐν^{pd} ὁ^{ddfs} αὐλή^{ndfsc} ὁ^{ddfs} ἐσώτερος^{andfsc} ὁ^{dnfs} βλέπω^{vppanfs} πρός^{pa} ἀνατολή^{nafpc} εἰμί^{vifm3s} κλείω^{vpxpnfs} ἓξ$^{ac—n}$ ἡμέρα^{nafpc} ὁ^{dafp} ἐνεργός^{anafpn} ἐν^{pd} δέ^{cc} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{dgnp} σάββατον^{ngnpc} ἀνοίγω^{vifp3s} καί^{cc} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{dgfs} νουμηνία^{ngfsc} ἀνοίγω^{vifp3s}. **v.2** καί^{cc} εἰσέρχομαι^{vifm3s} ὁ^{dnms} ἀφηγέομαι^{vppmnms} κατά^{pa} ὁ^{dafs} ὁδός^{nafsc} ὁ^{dgns} αιλαμ^{t} ὁ^{dgfs} πύλη^{ngfsc} ὁ^{dgfs} ἔξωθεν^{b} καί^{cc} ἵστημι^{vifm3s} ἐπί^{pa} ὁ^{danp} πρόθυρον^{nanpc} ὁ^{dgfs} πύλη^{ngfsc} καί^{cc} ποιέω^{vifa3p} ὁ^{dnmp} ἱερεύς^{nnmpc} ὁ^{danp} ὁλοκαύτωμα^{nanpc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} ὁ^{dgns} σωτήριον^{ngnsc} αὐτός^{rpgms} καί^{cc} προσκυνέω^{vifa3s} ἐπί^{pg} ὁ^{dgns} πρόθυρον^{ngnsc} ὁ^{dgfs} πύλη^{ngfsc} καί^{cc} ἐξέρχομαι^{vifm3s} καί^{cc} ὁ^{dnfs} πύλη^{nnfsc} οὐ^{b} μή^{x} κλείω^{vsap3s} ἕως^{pg} ἑσπέρα^{ngfsc}. **v.3** καί^{cc} προσκυνέω^{vifa3s} ὁ^{dnms} λαός^{nnmsc} ὁ^{dgfs} γῆ^{ngfsc} κατά^{pa} ὁ^{danp} πρόθυρον^{nanpc} ὁ^{dgfs} πύλη^{ngfsc} ἐκεῖνος^{rdgfs} ἐν^{pd} ὁ^{ddnp} σάββατον^{ndnpc} καί^{cc} ἐν^{pd} ὁ^{ddfp} νουμηνία^{ndfpc} ἐναντίον^{pg} κύριος^{ngmsc}. **v.4** καί^{cc} ὁ^{danp} ὁλοκαύτωμα^{nanpc} προσφέρω^{vifa3s} ὁ^{dnms} ἀφηγέομαι^{vppmnms} ὁ^{ddms} κύριος^{ndmsc} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{dgnp} σάββατον^{ngnpc} ἓξ$^{ac—n}$ ἀμνός^{nampc} ἄμωμος^{anampn} καί^{cc} κριός^{namsc} ἄμωμος^{anamsn}. **v.5** καί^{cc} μαναα^{t} πέμμα^{nansc} ὁ^{ddms} κριός^{ndmsc} καί^{cc} ὁ^{ddmp} ἀμνός^{ndmpc} θυσία^{nafsc} δόμα^{nansc} χείρ^{ngfsc} αὐτός^{rpgms} καί^{cc} ἔλαιον^{ngnsc} ὁ^{dans} ιν^{t} ὁ^{ddns} πέμμα^{ndnsc}. **v.6** καί^{cc} ἐν^{pd} ὁ^{ddfs} ἡμέρα^{ndfsc} ὁ^{dgfs} νουμηνία^{ngfsc} μόσχος^{namsc} ἄμωμος^{anamsn} καί^{cc} ἓξ$^{ac—n}$ ἀμνός^{nampc} καί^{cc} κριός^{nnmsc} ἄμωμος^{annmsn} εἰμί^{vifm3s}.

πέμματι. καὶ ἐν τῷ εἰσπορεύεσθαι τὸν ἀφηγούμενον κατὰ τὴν 8
ὁδὸν τοῦ αιλαμ τῆς πύλης εἰσελεύσεται καὶ κατὰ τὴν ὁδὸν τῆς
πύλης ἐξελεύσεται. καὶ ὅταν εἰσπορεύηται ὁ λαὸς τῆς γῆς ἐναν- 9
τίον κυρίου ἐν ταῖς ἑορταῖς ὁ εἰσπορευόμενος κατὰ τὴν ὁδὸν τῆς
πύλης τῆς πρὸς βορρᾶν προσκυνεῖν ἐξελεύσεται κατὰ τὴν ὁδὸν
τῆς πύλης τῆς πρὸς νότον καὶ ὁ εἰσπορευόμενος κατὰ τὴν ὁδὸν
τῆς πύλης τῆς πρὸς νότον ἐξελεύσεται κατὰ τὴν ὁδὸν τῆς πύλης
τῆς πρὸς βορρᾶν οὐκ ἀναστρέψει κατὰ τὴν πύλην ἣν εἰσελήλυ-
θεν ἀλλ᾽ ἢ κατ᾽ εὐθὺ αὐτῆς ἐξελεύσεται. καὶ ὁ ἀφηγούμενος ἐν 10
μέσῳ αὐτῶν ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰσελεύσεται μετ᾽ αὐτῶν
καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς ἐξελεύσεται. καὶ ἐν ταῖς ἑορταῖς 11
καὶ ἐν ταῖς πανηγύρεσιν ἔσται τὸ μαναα πέμμα τῷ μόσχῳ καὶ
πέμμα τῷ κριῷ καὶ τοῖς ἀμνοῖς καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ
καὶ ἐλαίου τὸ ιν τῷ πέμματι. ἐὰν δὲ ποιήσῃ ὁ ἀφηγούμενος ὁ- 12
μολογίαν ὁλοκαύτωμα σωτηρίου τῷ κυρίῳ καὶ ἀνοίξει ἑαυτῷ τὴν
πύλην τὴν βλέπουσαν κατ᾽ ἀνατολὰς καὶ ποιήσει τὸ ὁλοκαύτωμα
αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ ὃν τρόπον ποιεῖ ἐν τῇ ἡμέρᾳ τῶν
σαββάτων καὶ ἐξελεύσεται καὶ κλείσει τὰς θύρας μετὰ τὸ ἐξελθεῖν
αὐτόν. καὶ ἀμνὸν ἐνιαύσιον ἄμωμον ποιήσει εἰς ὁλοκαύτωμα 13
καθ᾽ ἡμέραν τῷ κυρίῳ πρωὶ ποιήσει αὐτόν. καὶ μαναα ποιήσει 14

---

v.7 καί[cc] πέμμα[nnnsc] ὁ[ddms] κριός[ndmsc] καί[cc] πέμμα[nnnsc] ὁ[ddms] μόσχος[ndmsc] εἰμί[vifm3s] μαναα[t] καί[cc] ὁ[ddmp] ἀμνός[ndmpc] καθώς[cs] ἐάν[cs] ἐκποιέω[vspa3s] ὁ[dnfs] χείρ[nnfsc] αὐτός[rpgms] καί[cc] ἔλαιον[ngnsc] ὁ[dnns] ιν[t] ὁ[ddns] πέμμα[ndnsc]. **v.8** καί[cc] ἐν[pd] ὁ[ddns] εἰσπορεύομαι[vnpm] ὁ[dams] ἀφηγέομαι[vppmams] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgns] αιλαμ[t] ὁ[dgfs] πύλη[ngfsc] εἰσέρχομαι[vifm3s] καί[cc] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgfs] πύλη[ngfsc] ἐξέρχομαι[vifm3s]. **v.9** καί[cc] ὅταν[cs] εἰσπορεύομαι[vspm3s] ὁ[dnms] λαός[nnmsc] ὁ[dgfs] γῆ[ngfsc] ἐναντίον[pg] κύριος[ngmsc] ἐν[pd] ὁ[ddfp] ἑορτή[ndfpc] ὁ[dnms] εἰσπορεύομαι[vppmnms] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgfs] πρός[pa] βορέας[namsc] προσκυνέω[vnpa] ἐξέρχομαι[vifm3s] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgfs] πρός[pa] νότος[namsc] καί[cc] ὁ[dnms] εἰσπορεύομαι[vppmnms] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgfs] πρός[pa] νότος[namsc] ἐξέρχομαι[vifm3s] κατά[pa] ὁ[dafs] ὁδός[nafsc] ὁ[dgfs] πύλη[ngfsc] ὁ[dgfs] πρός[pa] βορέας[namsc] οὐ[b] ἀναστρέφω[vifa3s] κατά[pa] ὁ[dafs] πύλη[nafsc] ὅς[rrafs] εἰσέρχομαι[vixa3s] ἀλλά[cc] ἤ[cc] κατά[pa] εὐθύς[anansn] αὐτός[rpgfs] ἐξέρχομαι[vifm3s]. **v.10** καί[cc] ὁ[dnms] ἀφηγέομαι[vppmnms] ἐν[pd] μέσος[andnsn] αὐτός[rpgmp] ἐν[pd] ὁ[ddns] εἰσπορεύομαι[vnpm] αὐτός[rpamp] εἰσέρχομαι[vifm3s] μετά[pg] αὐτός[rpgmp] καί[cc] ἐν[pd] ὁ[ddns] ἐκπορεύομαι[vnpm] αὐτός[rpamp] ἐξέρχομαι[vifm3s]. **v.11** καί[cc] ἐν[pd] ὁ[ddfp] ἑορτή[ndfpc] καί[cc] ἐν[pd] ὁ[ddfp] πανήγυρις[ndfpc] εἰμί[vifm3s] ὁ[dnns] μαναα[t] πέμμα[nnnsc] ὁ[ddms] μόσχος[ndmsc] καί[cc] πέμμα[nnnsc] ὁ[ddms] κριός[ndmsc] καί[cc] ὁ[ddmp] ἀμνός[ndmpc] καθώς[cs] ἄν[x] ἐκποιέω[vspa3s] ὁ[dnfs] χείρ[nnfsc] αὐτός[rpgms] καί[cc] ἔλαιον[ngnsc] ὁ[dnns] ιν[t] ὁ[ddns] πέμμα[ndnsc]. **v.12** ἐάν[cs] δέ[cc] ποιέω[vsaa3s] ὁ[dnms] ἀφηγέομαι[vppmnms] ὁμολογία[nafsc] ὁλοκαύτωμα[nansc] σωτήριον[ngnsc] ὁ[ddms] κύριος[ndmsc] καί[cc] ἀνοίγω[vifa3s] ἑαυτοῦ[rxdms] ὁ[dafs] πύλη[nafsc] ὁ[dafs] βλέπω[vppaafs] κατά[pa] ἀνατολή[nafpc] καί[cc] ποιέω[vifa3s] ὁ[dans] ὁλοκαύτωμα[nansc] αὐτός[rpgms] καί[cc] ὁ[danp] ὁ[dgns] σωτήριον[ngnsc] αὐτός[rpgms] ὅς[rrams] τρόπος[namsc] ποιέω[vipa3s] ἐν[pd] ὁ[ddfs] ἡμέρα[ndfsc] ὁ[dgnp] σάββατον[ngnpc] καί[cc] ἐξέρχομαι[vifm3s] καί[cc] κλείω[vifa3s] ὁ[dafp] θύρα[nafpc] μετά[pa] ὁ[dans] ἐξέρχομαι[vnaa] αὐτός[rpams]. **v.13** καί[cc] ἀμνός[namsc] ἐνιαύσιος[anamsn] ἄμωμος[anamsn] ποιέω[vifa3s] εἰς[pa] ὁλοκαύτωμα[nansc] κατά[pa] ἡμέρα[nafsc] ὁ[ddms] κύριος[ndmsc] πρωΐ[b] ποιέω[vifa3s] αὐτός[rpams].

ἐπ᾽ αὐτῷ τὸ πρωὶ ἕκτον τοῦ μέτρου καὶ ἐλαίου τὸ τρίτον τοῦ ιν τοῦ
ἀναμεῖξαι τὴν σεμίδαλιν μαναα τῷ κυρίῳ πρόσταγμα διὰ παντός.
15 ποιήσετε τὸν ἀμνὸν καὶ τὸ μαναα καὶ τὸ ἔλαιον ποιήσετε τὸ πρωὶ
16 ὁλοκαύτωμα διὰ παντός. τάδε λέγει κύριος θεός ἐὰν δῷ ὁ ἀφη-
γούμενος δόμα ἑνὶ ἐκ τῶν υἱῶν αὐτοῦ ἐκ τῆς κληρονομίας αὐτοῦ
17 τοῦτο τοῖς υἱοῖς αὐτοῦ ἔσται κατάσχεσις ἐν κληρονομίᾳ. ἐὰν δὲ
δῷ δόμα ἑνὶ τῶν παίδων αὐτοῦ καὶ ἔσται αὐτῷ ἕως τοῦ ἔτους τῆς
ἀφέσεως καὶ ἀποδώσει τῷ ἀφηγουμένῳ πλὴν τῆς κληρονομίας
18 τῶν υἱῶν αὐτοῦ αὐτοῖς ἔσται. καὶ οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος
ἐκ τῆς κληρονομίας τοῦ λαοῦ καταδυναστεῦσαι αὐτούς ἐκ τῆς
κατασχέσεως αὐτοῦ κατακληρονομήσει τοῖς υἱοῖς αὐτοῦ ὅπως μὴ
διασκορπίζηται ὁ λαός μου ἕκαστος ἐκ τῆς κατασχέσεως αὐτοῦ.
19 καὶ εἰσήγαγέν με εἰς τὴν εἴσοδον τῆς κατὰ νώτου τῆς πύλης εἰς
τὴν ἐξέδραν τῶν ἁγίων τῶν ἱερέων τὴν βλέπουσαν πρὸς βορρᾶν
20 καὶ ἰδοὺ τόπος ἐκεῖ κεχωρισμένος. καὶ εἶπεν πρός με οὗτος ὁ
τόπος ἐστίν οὗ ἑψήσουσιν ἐκεῖ οἱ ἱερεῖς τὰ ὑπὲρ ἀγνοίας καὶ τὰ
ὑπὲρ ἁμαρτίας καὶ ἐκεῖ πέψουσι τὸ μαναα τὸ παράπαν τοῦ μὴ
21 ἐκφέρειν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν τοῦ ἁγιάζειν τὸν λαόν. καὶ
ἐξήγαγέν με εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν καὶ περιήγαγέν με ἐπὶ τὰ
τέσσαρα μέρη τῆς αὐλῆς καὶ ἰδοὺ αὐλὴ κατὰ τὸ κλίτος τῆς αὐλῆς
22 αὐλὴ κατὰ τὸ κλίτος τῆς αὐλῆς. ἐπὶ τὰ τέσσαρα κλίτη τῆς αὐλῆς

---

v.14 καί^{cc} μαναα^{t} ποιέω^{vifa3s} ἐπί^{pd} αὐτός^{rpdms} ὁ^{dans} πρωΐ^{b} ἕκτος^{aoansn} ὁ^{dgns} μέτρον^{ngnsc} καί^{cc} ἔλαιον^{ngnsc} ὁ^{dans} τρίτος^{aoansn} ὁ^{dgns} ιν^{t} ὁ^{dgns} ἀναμίγνυμι^{vnaa} ὁ^{dafs} σεμίδαλις^{nafsc} μαναα^{t} ὁ^{ddms} κύριος^{ndmsc} πρόσταγμα^{nnnsc} διά^{pg} πᾶς^{aignsn}. **v.15** ποιέω^{vifa2p} ὁ^{dams} ἀμνός^{namsc} καί^{cc} ὁ^{dans} μαναα^{t} καί^{cc} ὁ^{dans} ἔλαιον^{nansc} ποιέω^{vifa2p} ὁ^{dans} πρωΐ^{b} ὁλοκαύτωμα^{nansc} διά^{pg} πᾶς^{aignsn}. **v.16** ὅδε^{rdanp} λέγω^{vipa3s} κύριος^{nnmsc} θεός^{nnmsc} ἐάν^{cs} δίδωμι^{vsaa3s} ὁ^{dnms} ἀφηγέομαι^{vppmnms} δόμα^{nansc} εἷς^{acdmsn} ἐκ^{pg} ὁ^{dgmp} υἱός^{ngmpc} αὐτός^{rpgms} ἐκ^{pg} ὁ^{dgfs} κληρονομία^{ngfsc} αὐτός^{rpgms} οὗτος^{rdnns} ὁ^{ddmp} υἱός^{ndmpc} αὐτός^{rpgms} εἰμί^{vifm3s} κατάσχεσις^{nnfsc} ἐν^{pd} κληρονομία^{ndfsc}. **v.17** ἐάν^{cs} δέ^{cc} δίδωμι^{vsaa3s} δόμα^{nansc} εἷς^{acdmsn} ὁ^{dgmp} παῖς^{ngmpc} αὐτός^{rpgms} καί^{cc} εἰμί^{vifm3s} αὐτός^{rpdms} ἕως^{pg} ὁ^{dgns} ἔτος^{ngnsc} ὁ^{dgfs} ἄφεσις^{ngfsc} καί^{cc} ἀποδίδωμι^{vifa3s} ὁ^{ddms} ἀφηγέομαι^{vppmdms} πλήν^{pg} ὁ^{dgfs} κληρονομία^{ngfsc} ὁ^{dgmp} υἱός^{ngmpc} αὐτός^{rpgms} αὐτός^{rpdmp} εἰμί^{vifm3s}. **v.18** καί^{cc} οὐ^{b} μή^{x} λαμβάνω^{vsaa3s} ὁ^{dnms} ἀφηγέομαι^{vppmnms} ἐκ^{pg} ὁ^{dgfs} κληρονομία^{ngfsc} ὁ^{dgms} λαός^{ngmsc} καταδυναστεύω^{vnaa} αὐτός^{rpamp} ἐκ^{pg} ὁ^{dgfs} κατάσχεσις^{ngfsc} αὐτός^{rpgms} κατακληρονομέω^{vifa3s} ὁ^{ddmp} υἱός^{ndmpc} αὐτός^{rpgms} ὅπως^{cs} μή^{x} διασκορπίζω^{vspp3s} ὁ^{dnms} λαός^{nnmsc} ἐγώ$^{rpg-s}$ ἕκαστος^{ainmsn} ἐκ^{pg} ὁ^{dgfs} κατάσχεσις^{ngfsc} αὐτός^{rpgms}. **v.19** καί^{cc} εἰσάγω^{viaa3s} ἐγώ$^{rpa-s}$ εἰς^{pa} ὁ^{dafs} εἴσοδος^{nafsc} ὁ^{dgfs} κατά^{pg} νῶτον^{ngnsc} ὁ^{dgfs} πύλη^{ngfsc} εἰς^{pa} ὁ^{dafs} ἐξέδρα^{nafsc} ὁ^{dgnp} ἅγιος^{angnpn} ὁ^{dgmp} ἱερεύς^{ngmpc} ὁ^{dafs} βλέπω^{vppaafs} πρός^{pa} βορέας^{namsc} καί^{cc} ἰδού^{i} τόπος^{nnmsc} ἐκεῖ^{b} χωρίζω^{vpxpnms}. **v.20** καί^{cc} λέγω^{viaa3s} πρός^{pa} ἐγώ$^{rpa-s}$ οὗτος^{rdnms} ὁ^{dnms} τόπος^{nnmsc} εἰμί^{vipa3s} ὅς^{b} ἕψω^{vifa3p} ἐκεῖ^{b} ὁ^{dnmp} ἱερεύς^{nnmpc} ὁ^{danp} ὑπέρ^{pa} ἄγνοια^{nafpc} καί^{cc} ὁ^{danp} ὑπέρ^{pa} ἁμαρτία^{nafpc} καί^{cc} ἐκεῖ^{b} πέσσω^{vifa3p} ὁ^{dans} μαναα^{t} ὁ^{dans} παράπαν^{b} ὁ^{dgns} μή^{x} ἐκφέρω^{vnpa} εἰς^{pa} ὁ^{dafs} αὐλή^{nafsc} ὁ^{dafs} ἐξώτερος^{anafsc} ὁ^{dgns} ἁγιάζω^{vnpa} ὁ^{dams} λαός^{namsc}. **v.21** καί^{cc} ἐξάγω^{viaa3s} ἐγώ$^{rpa-s}$ εἰς^{pa} ὁ^{dafs} αὐλή^{nafsc} ὁ^{dafs} ἐξώτερος^{anafsc} καί^{cc} περιάγω^{viaa3s} ἐγώ$^{rpa-s}$ ἐπί^{pa} ὁ^{danp} τέσσαρες^{acanpn} μέρος^{nanpc} ὁ^{dgfs} αὐλή^{ngfsc} καί^{cc} ἰδού^{i} αὐλή^{nnfsc} κατά^{pa} ὁ^{dans} κλίτος^{nansc} ὁ^{dgfs} αὐλή^{ngfsc} αὐλή^{nnfsc} κατά^{pa} ὁ^{dans} κλίτος^{nansc} ὁ^{dgfs} αὐλή^{ngfsc}.

αὐλὴ μικρά μῆκος πηχῶν τεσσαράκοντα καὶ εὖρος πηχῶν τριά-
κοντα μέτρον ἓν ταῖς τέσσαρσιν. καὶ ἐξέδραι κύκλῳ ἐν αὐταῖς 23
κύκλῳ ταῖς τέσσαρσιν καὶ μαγειρεῖα γεγονότα ὑποκάτω τῶν ἐξε-
δρῶν κύκλῳ. καὶ εἶπεν πρός με οὗτοι οἱ οἶκοι τῶν μαγειρείων οὗ 24
ἐψήσουσιν ἐκεῖ οἱ λειτουργοῦντες τῷ οἴκῳ τὰ θύματα τοῦ λαοῦ.

καὶ εἰσήγαγέν με ἐπὶ τὰ πρόθυρα τοῦ οἴκου καὶ ἰδοὺ ὕδωρ ἐξε- **47**
πορεύετο ὑποκάτωθεν τοῦ αἰθρίου κατ᾽ ἀνατολάς ὅτι τὸ πρόσωπον
τοῦ οἴκου ἔβλεπεν κατ᾽ ἀνατολάς καὶ τὸ ὕδωρ κατέβαινεν ἀπὸ τοῦ
κλίτους τοῦ δεξιοῦ ἀπὸ νότου ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐξήγα- 2
γέν με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν καὶ περιήγαγέν
με τὴν ὁδὸν ἔξωθεν πρὸς τὴν πύλην τῆς αὐλῆς τῆς βλεπούσης
κατ᾽ ἀνατολάς καὶ ἰδοὺ τὸ ὕδωρ κατεφέρετο ἀπὸ τοῦ κλίτους τοῦ
δεξιοῦ. καθὼς ἔξοδος ἀνδρὸς ἐξ ἐναντίας καὶ μέτρον ἐν τῇ χειρὶ 3
αὐτοῦ καὶ διεμέτρησεν χιλίους ἐν τῷ μέτρῳ καὶ διῆλθεν ἐν τῷ ὕ-
δατι ὕδωρ ἀφέσεως. καὶ διεμέτρησεν χιλίους καὶ διῆλθεν ἐν τῷ 4
ὕδατι ὕδωρ ἕως τῶν μηρῶν καὶ διεμέτρησεν χιλίους καὶ διῆλθεν
ὕδωρ ἕως ὀσφύος. καὶ διεμέτρησεν χιλίους καὶ οὐκ ἠδύνατο 5
διελθεῖν ὅτι ἐξύβριζεν τὸ ὕδωρ ὡς ῥοῖζος χειμάρρου ὃν οὐ διαβή-
σονται. καὶ εἶπεν πρός με εἰ ἑώρακας υἱὲ ἀνθρώπου καὶ ἤγαγέν 6
με ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ. ἐν τῇ ἐπιστροφῇ μου καὶ ἰδοὺ 7
ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ δένδρα πολλὰ σφόδρα ἔνθεν καὶ

---

v.22 ἐπίpa ὁdanp τέσσαρεςacanpn κλίτοςnanpc ὁdgfs αὐλήngfsc αὐλήnnfsc μικρόςannfsn μῆκοςnansc πῆχυςngmpc τεσσαράκοντα$^{ac—n}$ καίcc εὖροςnansc πῆχυςngmpc τριάκοντα$^{ac—n}$ μέτρονnnnsc ἓνς^{acnnsn} ὁddfp τέσσαρεςacdfpn. **v.23** καίcc ἐξέδραnnfpc κύκλος^{b} ἐνpd αὐτόςrpdfp κύκλος^{b} ὁddfp τέσσαρεςacdfpn καίcc μαγειρεῖονnnnpc γίνομαιvpxannp ὑποκάτωpg ὁdgfp ἐξέδραngfpc κύκλος^{b}. **v.24** καίcc λέγωviaa3s πρόςpa ἐγώrpa-s οὗτοςrdnmp ὁdnmp οἶκοςnnmpc ὁdgnp μαγειρεῖονngnpc ὅς^{b} ἕψωvifa3p ἐκεῖ^{b} ὁdnmp λειτουργέωvppanmp ὁddms οἶκοςndmsc ὁdanp θῦμαnanpc ὁdgms λαόςngmsc. **47. v.1** καίcc εἰσάγωviaa3s ἐγώrpa-s ἐπίpa ὁdanp πρόθυρονnanpc ὁdgms οἶκοςngmsc καίcc ἰδού^{i} ὕδωρnnnsc ἐκπορεύομαιviim3s ὑποκάτωθενpg ὁdgns αἴθριοςangnsn κατάpa ἀνατολήnafpc ὅτιcs ὁdnns πρόσωπονnnnsc ὁdgms οἶκοςngmsc βλέπωviia3s κατάpa ἀνατολήnafpc καίcc ὁdnns ὕδωρnnnsc καταβαίνωviia3s ἀπόpg ὁdgns κλίτοςngnsc ὁdgms δεξιόςangmsn ἀπόpg νότοςngmsc ἐπίpa ὁdans θυσιαστήριονnansc. **v.2** καίcc ἐξάγωviaa3s ἐγώrpa-s κατάpa ὁdafs ὁδόςnafsc ὁdgfs πύληngfsc ὁdgfs πρόςpa βορέαςnamsc καίcc περιάγωviaa3s ἐγώrpa-s ὁdafs ὁδόςnafsc ἔξωθεν^{b} πρόςpa ὁdafs πύληnafsc ὁdgfs αὐλήngfsc ὁdgfs βλέπωvppagfs κατάpa ἀνατολήnafpc καίcc ἰδού^{i} ὁdnns ὕδωρnnnsc καταφέρωviip3s ἀπόpg ὁdgns κλίτοςngnsc ὁdgns δεξιόςangnsn. **v.3** καθώςcs ἔξοδοςnnfsc ἀνήρngmsc ἐκpg ἐναντίοςangfsn καίcc μέτρονnnnsc ἐνpd ὁddfs χείρndfsc αὐτόςrpgms καίcc διαμετρέωviaa3s χίλιοιacampn ἐνpd ὁddns μέτρονndnsc καίcc διέρχομαιviaa3s ἐνpd ὁddns ὕδωρndnsc ὕδωρnnnsc ἄφεσιςngfsc. **v.4** καίcc διαμετρέωviaa3s χίλιοιacampn καίcc διέρχομαιviaa3s ἐνpd ὁddns ὕδωρndnsc ὕδωρnnnsc ἕωςpg ὁdgmp μηρόςngmpc καίcc διαμετρέωviaa3s χίλιοιacampn καίcc διέρχομαιviaa3s ὕδωρnnnsc ἕωςpg ὀσφύςngfsc. **v.5** καίcc διαμετρέωviaa3s χίλιοιacampn καίcc οὐ^{b} δύναμαιviim3s διέρχομαιvnaa ὅτιcs ἐξυβρίζωviia3s ὁdnns ὕδωρnnnsc ὡςcs ῥοῖζοςnnmsc χείμαρροςngmsc ὅςrrams οὐ^{b} διαβαίνωvifm3p. **v.6** καίcc λέγωviaa3s πρόςpa ἐγώrpa-s εἰx ὁράωvixa2s υἱόςnvmsc ἄνθρωποςngmsc καίcc ἄγωviaa3s ἐγώrpa-s ἐπίpa ὁdans χεῖλοςnansc ὁdgms ποταμόςngmsc.

8 ἔνθεν. καὶ εἶπεν πρός με τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον εἰς
τὴν Γαλιλαίαν τὴν πρὸς ἀνατολὰς καὶ κατέβαινεν ἐπὶ τὴν Ἀραβίαν
καὶ ἤρχετο ἕως ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς καὶ
9 ὑγιάσει τὰ ὕδατα. καὶ ἔσται πᾶσα ψυχὴ τῶν ζώων τῶν ἐκζεόντων
ἐπὶ πάντα ἐφ᾽ ἃ ἂν ἐπέλθῃ ἐκεῖ ὁ ποταμός ζήσεται καὶ ἔσται ἐκεῖ
ἰχθὺς πολὺς σφόδρα ὅτι ἥκει ἐκεῖ τὸ ὕδωρ τοῦτο καὶ ὑγιάσει καὶ
10 ζήσεται πᾶν ἐφ᾽ ὃ ἂν ἐπέλθῃ ὁ ποταμὸς ἐκεῖ ζήσεται. καὶ στή-
σονται ἐκεῖ ἁλεῖς ἀπὸ Αινγαδιν ἕως Αιναγαλιμ ψυγμὸς σαγηνῶν
ἔσται καθ᾽ αὐτὴν ἔσται καὶ οἱ ἰχθύες αὐτῆς ὡς οἱ ἰχθύες τῆς θα-
11 λάσσης τῆς μεγάλης πλῆθος πολὺ σφόδρα. καὶ ἐν τῇ διεκβολῇ
αὐτοῦ καὶ ἐν τῇ ἐπιστροφῇ αὐτοῦ καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ οὐ
12 μὴ ὑγιάσωσιν εἰς ἅλας δέδονται. καὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβήσε-
ται ἐπὶ τοῦ χείλους αὐτοῦ ἔνθεν καὶ ἔνθεν πᾶν ξύλον βρώσιμον
οὐ μὴ παλαιωθῇ ἐπ᾽ αὐτοῦ οὐδὲ μὴ ἐκλίπῃ ὁ καρπὸς αὐτοῦ τῆς
καινότητος αὐτοῦ πρωτοβολήσει διότι τὰ ὕδατα αὐτῶν ἐκ τῶν ἁ-
γίων ταῦτα ἐκπορεύεται καὶ ἔσται ὁ καρπὸς αὐτῶν εἰς βρῶσιν καὶ
13 ἀνάβασις αὐτῶν εἰς ὑγίειαν. τάδε λέγει κύριος θεός ταῦτα τὰ
ὅρια κατακληρονομήσετε τῆς γῆς ταῖς δώδεκα φυλαῖς τῶν υἱῶν
14 Ισραηλ πρόσθεσις σχοινίσματος. καὶ κατακληρονομήσετε αὐ-
τὴν ἕκαστος καθὼς ὁ ἀδελφὸς αὐτοῦ εἰς ἣν ἦρα τὴν χεῖρά μου
τοῦ δοῦναι αὐτὴν τοῖς πατράσιν αὐτῶν καὶ πεσεῖται ἡ γῆ αὕτη ὑ-

---

v.7 ἐνpd ὁddfs ἐπιστροφήndfsc ἐγώrpg-s καίcc ἰδού^{i} ἐπίpg ὁdgns χεῖλοςngnsc ὁdgms ποταμόςngmsc δένδρονnnnpc πολύςannnpn σφόδραb ἔνθενb καίcc ἔνθενb. **v.8** καίcc λέγωviaa3s πρόςpa ἐγώrpa-s ὁdnns ὕδωρnnnsc οὗτοςrdnns ὁdnns ἐκπορεύομαιvppmnns εἰςpa ὁdafs Γαλιλαίαnafsp ὁdafs πρόςpa ἀνατολήnafpc καίcc καταβαίνωviia3s ἐπίpa ὁdafs Ἀραβίαnafsp καίcc ἔρχομαιviim3s ἕωςb ἐπίpa ὁdafs θάλασσαnafsc ἐπίpa ὁdans ὕδωρnansc ὁdgfs διεκβολήngfsc καίcc ὑγιάζωvifa3s ὁdanp ὕδωρnanpc. **v.9** καίcc εἰμίvifm3s πᾶςainfsn ψυχήnnfsc ὁdgnp ζῷονngnpc ὁdgnp ἐκζέωvppagnp ἐπίpa πᾶςaianpn ἐπίpa ὅςrranp ἄνx ἐπέρχομαιvsaa3s ἐκεῖb ὁdnms ποταμόςnnmsc ζάωvifm3s καίcc εἰμίvifm3s ἐκεῖb ἰχθύςnnmsc πολύςannmsn σφόδραb ὅτιcs ἥκωvipa3s ἐκεῖb ὁdnns ὕδωρnnnsc οὗτοςrdnns καίcc ὑγιάζωvifa3s καίcc ζάωvifm3s πᾶςainnsn ἐπίpa ὅςrrans ἄνx ἐπέρχομαιvsaa3s ὁdnms ποταμόςnnmsc ἐκεῖb ζάωvifm3s. **v.10** καίcc ἵστημιvifm3p ἐκεῖb ἁλιεύςnnmpc ἀπόpg Αινγαδινng-p ἕωςpg Αιναγαλιμng-p ψυγμόςnnmsc σαγήνηngfpc εἰμίvifm3s κατάpa ἑαυτοῦrxafs εἰμίvifm3s καίcc ὁdnmp ἰχθύςnnmpc αὐτόςrpgfs ὡςcs ὁdnmp ἰχθύςnnmpc ὁdgfs θάλασσαngfsc ὁdgfs μέγαςangfsn πλῆθοςnnnsc πολύςannnsn σφόδραb. **v.11** καίcc ἐνpd ὁddfs διεκβολήndfsc αὐτόςrpgms καίcc ἐνpd ὁddfs ἐπιστροφήndfsc αὐτόςrpgms καίcc ἐνpd ὁddfs ὑπέραρσιςndfsc αὐτόςrpgms οὐb μήx ὑγιάζωvsaa3p εἰςpa ἅλςnampc δίδωμιvixp3p. **v.12** καίcc ἐπίpg ὁdgms ποταμόςngmsc ἀναβαίνωvifm3s ἐπίpg ὁdgns χεῖλοςngnsc αὐτόςrpgms ἔνθενb καίcc ἔνθενb πᾶςainnsn ξύλονnnnsc βρώσιμοςannnsn οὐb μήx παλαιόωvsap3s ἐπίpg αὐτόςrpgms οὐδέcc μήx ἐκλείπωvsaa3s ὁdnms καρπόςnnmsc αὐτόςrpgms ὁdgfs καινότηςngfsc αὐτόςrpgms πρωτοβολέωvifa3s διότιcs ὁdnnp ὕδωρnnnpc αὐτόςrpgmp ἐκpg ὁdgnp ἅγιοςangnpn οὗτοςrdnnp ἐκπορεύομαιvipm3s καίcc εἰμίvifm3s ὁdnms καρπόςnnmsc αὐτόςrpgmp εἰςpa βρῶσιςnafsc καίcc ἀνάβασιςnnfsc αὐτόςrpgmp εἰςpa ὑγίειαnafsc. **v.13** ὅδεrdanp λέγωvipa3s κύριοςnnmsc θεόςnnmsc οὗτοςrdanp ὁdanp ὅριονnanpc κατακληρονομέωvifa2p ὁdgfs γῆngfsc ὁddfp δώδεκαac–n φυλήndfpc ὁdgmp υἱόςngmpc Ἰσραήλngmsp πρόσθεσιςnnfsc σχοίνισμαngnsc.

μῖν ἐν κληρονομίᾳ. καὶ ταῦτα τὰ ὅρια τῆς γῆς πρὸς βορρᾶν ἀπὸ 15
τῆς θαλάσσης τῆς μεγάλης τῆς καταβαινούσης καὶ περισχιζούσης
τῆς εἰσόδου Ημαθ Σεδδαδα. Βηρωθα Σεβραιμ Ηλιαμ ἀνὰ μέσον 16
ὁρίων Δαμασκοῦ καὶ ἀνὰ μέσον ὁρίων Ημαθ αὐλὴ τοῦ Σαυναν
αἵ εἰσιν ἐπάνω τῶν ὁρίων Αυρανίτιδος. ταῦτα τὰ ὅρια ἀπὸ τῆς 17
θαλάσσης ἀπὸ τῆς αὐλῆς τοῦ Αιναν ὅρια Δαμασκοῦ καὶ τὰ πρὸς
βορρᾶν. καὶ τὰ πρὸς ἀνατολὰς ἀνὰ μέσον τῆς Αυρανίτιδος καὶ 18
ἀνὰ μέσον Δαμασκοῦ καὶ ἀνὰ μέσον τῆς Γαλααδίτιδος καὶ ἀνὰ
μέσον τῆς γῆς τοῦ Ισραηλ ὁ Ιορδάνης διορίζει ἐπὶ τὴν θάλασσαν
τὴν πρὸς ἀνατολὰς Φοινικῶνος ταῦτα τὰ πρὸς ἀνατολάς. καὶ τὰ 19
πρὸς νότον καὶ λίβα ἀπὸ Θαιμαν καὶ Φοινικῶνος ἕως ὕδατος Μα-
ριμωθ Καδης παρεκτεῖνον ἐπὶ τὴν θάλασσαν τὴν μεγάλην τοῦτο
τὸ μέρος νότος καὶ λίψ. τοῦτο τὸ μέρος τῆς θαλάσσης τῆς με- 20
γάλης ὁρίζει ἕως κατέναντι τῆς εἰσόδου Ημαθ ἕως εἰσόδου αὐτοῦ
ταῦτά ἐστιν τὰ πρὸς θάλασσαν Ημαθ. καὶ διαμερίσετε τὴν γῆν 21
ταύτην αὐτοῖς ταῖς φυλαῖς τοῦ Ισραηλ. βαλεῖτε αὐτὴν ἐν κλήρῳ 22
ὑμῖν καὶ τοῖς προσηλύτοις τοῖς παροικοῦσιν ἐν μέσῳ ὑμῶν οἵτινες
ἐγέννησαν υἱοὺς ἐν μέσῳ ὑμῶν καὶ ἔσονται ὑμῖν ὡς αὐτόχθονες
ἐν τοῖς υἱοῖς τοῦ Ισραηλ μεθ' ὑμῶν φάγονται ἐν κληρονομίᾳ ἐν
μέσῳ τῶν φυλῶν τοῦ Ισραηλ. καὶ ἔσονται ἐν φυλῇ προσηλύ- 23

---

v.14 καί[cc] κατακληρονομέω[vifa2p] αὐτός[rpafs] ἕκαστος[ainmsn] καθώς[cs] ὁ[dnms] ἀδελφός[nnmsc] αὐτός[rpgms] εἰς[pa] ὅς[rrafs] αἴρω[viaa1s] ὁ[dafs] χείρ[nafsc] ἐγώ[rpg-s] ὁ[dgns] δίδωμι[vnaa] αὐτός[rpafs] ὁ[ddmp] πατήρ[ndmpc] αὐτός[rpgmp] καί[cc] πίπτω[vifm3s] ὁ[dnfs] γῆ[nnfsc] οὗτος[rdnfs] σύ[rpd-p] ἐν[pd] κληρονομία[ndfsc]. **v.15** καί[cc] οὗτος[rdnnp] ὁ[dnnp] ὅριον[nnnpc] ὁ[dgfs] γῆ[ngfsc] πρός[pa] βορέας[namsc] ἀπό[pg] ὁ[dgfs] θάλασσα[ngfsc] ὁ[dgfs] μέγας[angfsn] ὁ[dgfs] καταβαίνω[vppagfs] καί[cc] περισχίζω[vppagfs] ὁ[dgfs] εἴσοδος[ngfsc] Ημαθ[ng-sp] Σεδδαδα[ng-sp]. **v.16** Βηρωθα[nn-sp] Σεβραιμ[nn-sp] Ηλιαμ[nn-sp] ἀνά[pa] μέσος[anansn] ὅριον[ngnpc] Δαμασκός[ngfsp] καί[cc] ἀνά[pa] μέσος[anansn] ὅριον[ngnpc] Ημαθ[ng-p] αὐλή[nnfsc] ὁ[dgms] Σαυναν[ng-sp] ὅς[rrnfp] εἰμί[vipa3p] ἐπάνω[pg] ὁ[dgnp] ὅριον[ngnpc] Αυρανίτις[ngfsp]. **v.17** οὗτος[rdnnp] ὁ[dnnp] ὅριον[nnnpc] ἀπό[pg] ὁ[dgfs] θάλασσα[ngfsc] ἀπό[pg] ὁ[dgfs] αὐλή[ngfsc] ὁ[dgms] Αιναν[ng-sp] ὅριον[nanpc] Δαμασκός[ngfsp] καί[cc] ὁ[danp] πρός[pa] βορέας[namsc]. **v.18** καί[cc] ὁ[danp] πρός[pa] ἀνατολή[nafpc] ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] Αυρανίτις[ngfsp] καί[cc] ἀνά[pa] μέσος[anansn] Δαμασκός[ngfsp] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] Γαλααδῖτις[ngfsp] καί[cc] ἀνά[pa] μέσος[anansn] ὁ[dgfs] γῆ[ngfsc] ὁ[dgms] Ἰσραήλ[ngmsp] ὁ[dnms] Ἰορδάνης[nnmsp] διορίζω[vipa3s] ἐπί[pa] ὁ[dafs] θάλασσα[nafsc] ὁ[dafs] πρός[pa] ἀνατολή[nafpc] Φοινικών[ngmsp] οὗτος[rdnnp] ὁ[dnnp] πρός[pa] ἀνατολή[nafpc]. **v.19** καί[cc] ὁ[dnnp] πρός[pa] νότος[namsc] καί[cc] λίψ[namsc] ἀπό[pg] Θαιμαν[ngfsp] καί[cc] Φοινικών[ngmsp] ἕως[pg] ὕδωρ[ngnsc] Μαριμωθ[ng-p] Καδης[ng-sp] παρεκτείνω[vppanns] ἐπί[pa] ὁ[dafs] θάλασσα[nafsc] ὁ[dafs] μέγας[anafsn] οὗτος[rdnns] ὁ[dnns] μέρος[nnnsc] νότος[nnmsc] καί[cc] λίψ[nnmsc]. **v.20** οὗτος[rdnns] ὁ[dnns] μέρος[nnnsc] ὁ[dgfs] θάλασσα[ngfsc] ὁ[dgfs] μέγας[angfsn] ὁρίζω[vipa3s] ἕως[b] κατέναντι[pg] ὁ[dgfs] εἴσοδος[ngfsc] Ημαθ[ng-p] ἕως[pg] εἴσοδος[ngfsc] αὐτός[rpgns] οὗτος[rdnnp] εἰμί[vipa3s] ὁ[dnnp] πρός[pa] θάλασσα[nafsc] Ημαθ[ng-p]. **v.21** καί[cc] διαμερίζω[vifa2p] ὁ[dafs] γῆ[nafsc] οὗτος[rdafs] αὐτός[rpdmp] ὁ[ddfp] φυλή[ndfpc] ὁ[dgms] Ἰσραήλ[ngmsp]. **v.22** βάλλω[vifa2p] αὐτός[rpafs] ἐν[pd] κλῆρος[ndmsc] σύ[rpd-p] καί[cc] ὁ[ddmp] προσήλυτος[ndmpc] ὁ[ddmp] παροικέω[vppadmp] ἐν[pd] μέσος[andnsn] σύ[rpg-p] ὅστις[rrnmp] γεννάω[viaa3p] υἱός[nampc] ἐν[pd] μέσος[andnsn] σύ[rpg-p] καί[cc] εἰμί[vifm3p] σύ[rpd-p] ὡς[cs] αὐτόχθων[nnmpc] ἐν[pd] ὁ[ddmp] υἱός[ndmpc] ὁ[dgms] Ἰσραήλ[ngmsp] μετά[pg] σύ[rpg-p] ἐσθίω[vifm3p] ἐν[pd] κληρονομία[ndfsc] ἐν[pd] μέσος[andnsn] ὁ[dgfp] φυλή[ngfpc] ὁ[dgms] Ἰσραήλ[ngmsp].

των ἐν τοῖς προσηλύτοις τοῖς μετ᾽ αὐτῶν ἐκεῖ δώσετε κληρονομίαν αὐτοῖς λέγει κύριος θεός.

48 καὶ ταῦτα τὰ ὀνόματα τῶν φυλῶν ἀπὸ τῆς ἀρχῆς τῆς πρὸς βορρᾶν κατὰ τὸ μέρος τῆς καταβάσεως τοῦ περισχίζοντος ἐπὶ τὴν εἴσοδον τῆς Ημαθ αὐλῆς τοῦ Αιναν ὅριον Δαμασκοῦ πρὸς βορρᾶν κατὰ μέρος Ημαθ αὐλῆς καὶ ἔσται αὐτοῖς τὰ πρὸς ἀνατολὰς ἕως
2 πρὸς θάλασσαν Δαν μία. καὶ ἀπὸ τῶν ὁρίων τοῦ Δαν τὰ πρὸς
3 ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ασηρ μία. καὶ ἀπὸ τῶν ὁρίων Ασηρ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Νεφθαλιμ
4 μία. καὶ ἀπὸ τῶν ὁρίων Νεφθαλι ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν
5 πρὸς θάλασσαν Μανασση μία. καὶ ἀπὸ τῶν ὁρίων Μανασση ἀπὸ
6 τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Εφραιμ μία. καὶ ἀπὸ τῶν ὁρίων Εφραιμ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θά-
7 λασσαν Ρουβην μία. καὶ ἀπὸ τῶν ὁρίων Ρουβην ἀπὸ τῶν πρὸς
8 ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ιουδα μία. καὶ ἀπὸ τῶν ὁρίων Ιουδα ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν ἔσται ἡ ἀπαρχὴ τοῦ ἀφορισμοῦ πέντε καὶ εἴκοσι χιλιάδες εὖρος καὶ μῆ-
κος καθὼς μία τῶν μερίδων ἀπὸ τῶν πρὸς ἀνατολὰς καὶ ἕως τῶν
9 πρὸς θάλασσαν καὶ ἔσται τὸ ἅγιον ἐν μέσῳ αὐτῶν. ἀπαρχὴ ἣν ἀφοριοῦσι τῷ κυρίῳ μῆκος πέντε καὶ εἴκοσι χιλιάδες καὶ εὖρος
10 εἴκοσι καὶ πέντε χιλιάδες. τούτων ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων

---

κρατήσει τοῦ τόπου τοῦ χρυσίου καὶ τοῦ τόπου τοῦ ἀργυρίου καὶ
πάσης τῆς ἐπιθυμίας Αἰγύπτου καὶ Λίβυες καὶ Αἰθίοπες ἔσονται
ἐν τῷ ὄχλῳ αὐτοῦ. καὶ ἀκοὴ ταράξει αὐτὸν ἀπὸ ἀνατολῶν καὶ 44
βορρᾶ καὶ ἐξελεύσεται ἐν θυμῷ ἰσχυρῷ καὶ ῥομφαίᾳ ἀφανίσαι
καὶ ἀποκτεῖναι πολλούς. καὶ στήσει αὐτοῦ τὴν σκηνὴν τότε ἀνὰ 45
μέσον τῶν θαλασσῶν καὶ τοῦ ὄρους τῆς θελήσεως τοῦ ἁγίου καὶ
ἥξει ὥρα τῆς συντελείας αὐτοῦ καὶ οὐκ ἔσται ὁ βοηθῶν αὐτῷ.

καὶ κατὰ τὴν ὥραν ἐκείνην παρελεύσεται Μιχαηλ ὁ ἄγγελος **12**
ὁ μέγας ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου ἐκείνη ἡ ἡμέρα
θλίψεως οἵα οὐκ ἐγενήθη ἀφ' οὗ ἐγενήθησαν ἕως τῆς ἡμέρας
ἐκείνης καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑψωθήσεται πᾶς ὁ λαὸς ὃς ἂν εὑ-

---

v.37 καί[cc] ἐπί[pa] ὁ[damp] θεός[namp] ὁ[dgmp] πατήρ[ngmp] αὐτός[rpgms] οὐ[b] μή[x] προνοέω[vsap3s] καί[cc] ἐν[pd] ἐπιθυμία[ndfsc] γυνή[ngfsc] οὐ[b] μή[x] προνοέω[vsap3s] ὅτι[cs] ἐν[pd] πᾶς[aidnsn] ὑψόω[vifp3s] καί[cc] ὑποτάσσω[vifp3s] αὐτός[rpdms] ἔθνος[nnnpc] ἰσχυρός[annnpn]. **v.38** ἐπί[pa] ὁ[dams] τόπος[namsc] αὐτός[rpgms] κινέω[vifa3s] καί[cc] θεός[namsc] ὅς[rrams] οὐ[b] γινώσκω[viaa3p] ὁ[dnmp] πατήρ[nnmpc] αὐτός[rpgms] τιμάω[vifa3s] ἐν[pd] χρυσίον[ndnsc] καί[cc] ἀργύριον[ndnsc] καί[cc] λίθος[ndmsc] πολυτελής[andmsn] καί[cc] ἐν[pd] ἐπιθύμημα[ndnpc]. **v.39** ποιέω[vifa3s] πόλις[ngfpc] καί[cc] εἰς[pa] ὀχύρωμα[nansc] ἰσχυρός[anansn] ἥκω[vifa3s] μετά[pg] θεός[ngmsc] ἀλλότριος[angmsn] ὅς[rrgms] ἐάν[x] ἐπιγινώσκω[vsaa3s] πληθύνω[vifa3s] δόξα[nafsc] καί[cc] κατακυριεύω[vifa3s] αὐτός[rpgms] ἐπί[pa] πολύς[anansn] καί[cc] χώρα[nafsc] ἀπομερίζω[vifa3s] εἰς[pa] δωρεά[nafsc]. **v.40** καί[cc] κατά[pa] ὥρα[nafsc] συντέλεια[ngfsc] συγκερατίζομαι[vifp3s] αὐτός[rpdms] ὁ[dnms] βασιλεύς[nnmsc] Αἴγυπτος[ngfsp] καί[cc] ἐποργίζομαι[vifp3s] αὐτός[rpdms] βασιλεύς[nnmsc] βορέας[ngmsc] ἐν[pd] ἅρμα[ndnpc] καί[cc] ἐν[pd] ἵππος[ndmpc] πολύς[andmpn] καί[cc] ἐν[pd] πλοῖον[ndnpc] πολύς[andnpn] καί[cc] εἰσέρχομαι[vifm3s] εἰς[pa] χώρα[nafsc] Αἴγυπτος[ngfsp]. **v.41** καί[cc] ἐπέρχομαι[vifm3s] εἰς[pa] ὁ[dafs] χώρα[nafsc] ἐγώ[rpg-s]. **v.42** καί[cc] ἐν[pd] χώρα[ndfsc] Αἴγυπτος[ngfsp] οὐ[b] εἰμί[vifm3s] ἐν[pd] αὐτός[rpdfs] διασῴζω[vppnpnms]. **v.43** καί[cc] κρατέω[vifa3s] ὁ[dgms] τόπος[ngmsc] ὁ[dgns] χρυσίον[ngnsc] καί[cc] ὁ[dgms] τόπος[ngmsc] ὁ[dgns] ἀργύριον[ngnsc] καί[cc] πᾶς[aigfsn] ὁ[dgfs] ἐπιθυμία[ngfsc] Αἴγυπτος[ngfsp] καί[cc] Λίβυες[nnmpp] καί[cc] Αἰθίοψ[nnmpp] εἰμί[vifm3p] ἐν[pd] ὁ[ddms] ὄχλος[ndmsc] αὐτός[rpgms]. **v.44** καί[cc] ἀκοή[nnfsc] ταράσσω[vifa3s] αὐτός[rpams] ἀπό[pg] ἀνατολή[ngfpc] καί[cc] βορέας[ngmsc] καί[cc] ἐξέρχομαι[vifm3s] ἐν[pd] θυμός[ndmsc] ἰσχυρός[andmsn] καί[cc] ῥομφαία[ndfsc] ἀφανίζω[vnaa] καί[cc] ἀποκτείνω[vnaa] πολύς[anampn]. **v.45** καί[cc] ἵστημι[vifa3s] αὐτός[rpgms] ὁ[dafs] σκηνή[nafsc] τότε[b] ἀνά[pa] μέσος[anansn] ὁ[dgfp] θάλασσα[ngfpc] καί[cc] ὁ[dgns] ὄρος[ngnsc] ὁ[dgfs] θέλησις[ngfsc] ὁ[dgns] ἅγιος[angnsn] καί[cc] ἥκω[vifa3s] ὥρα[nnfsc] ὁ[dgfs] συντέλεια[ngfsc] αὐτός[rpgms] καί[cc] οὐ[b] εἰμί[vifm3s] ὁ[dnms] βοηθέω[vppanms] αὐτός[rpdms].

2 ρεθῇ ἐγγεγραμμένος ἐν τῷ βιβλίῳ. καὶ πολλοὶ τῶν καθευδόντων
ἐν τῷ πλάτει τῆς γῆς ἀναστήσονται οἱ μὲν εἰς ζωὴν αἰώνιον οἱ δὲ
3 εἰς ὀνειδισμόν οἱ δὲ εἰς διασποράν καὶ αἰσχύνην αἰώνιον. καὶ οἱ
συνιέντες φανοῦσιν ὡς φωστῆρες τοῦ οὐρανοῦ καὶ οἱ κατισχύον-
τες τοὺς λόγους μου ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ εἰς τὸν αἰῶνα τοῦ
4 αἰῶνος. καὶ σύ Δανιηλ κάλυψον τὰ προστάγματα καὶ σφράγισαι
τὸ βιβλίον ἕως καιροῦ συντελείας ἕως ἂν ἀπομανῶσιν οἱ πολλοὶ
5 καὶ πλησθῇ ἡ γῆ ἀδικίας. καὶ εἶδον ἐγὼ Δανιηλ καὶ ἰδοὺ δύο
6 ἕτεροι εἱστήκεισαν εἷς ἔνθεν τοῦ ποταμοῦ καὶ εἷς ἔνθεν. καὶ εἶπα
τῷ ἑνὶ τῷ περιβεβλημένῳ τὰ βύσσινα τῷ ἐπάνω πότε οὖν συντέλεια
7 ὧν εἴρηκάς μοι τῶν θαυμαστῶν καὶ ὁ καθαρισμὸς τούτων. καὶ
ἤκουσα τοῦ περιβεβλημένου τὰ βύσσινα ὃς ἦν ἐπάνω τοῦ ὕδατος
τοῦ ποταμοῦ ἕως καιροῦ συντελείας καὶ ὕψωσε τὴν δεξιὰν καὶ τὴν
ἀριστερὰν εἰς τὸν οὐρανὸν καὶ ὤμοσε τὸν ζῶντα εἰς τὸν αἰῶνα θεὸν
ὅτι εἰς καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἡ συντέλεια χειρῶν
8 ἀφέσεως λαοῦ ἁγίου καὶ συντελεσθήσεται πάντα ταῦτα. καὶ ἐγὼ
ἤκουσα καὶ οὐ διενοήθην παρ᾽ αὐτὸν τὸν καιρὸν καὶ εἶπα κύριε
9 τίς ἡ λύσις τοῦ λόγου τούτου καὶ τίνος αἱ παραβολαὶ αὗται. καὶ
εἶπέν μοι ἀπότρεχε Δανιηλ ὅτι κατακεκαλυμμένα καὶ ἐσφραγι-

---

12. v.1 καί[cc] κατά[pa] ὁ[dafs] ὥρα[nafsc] ἐκεῖνος[rdafs] παρέρχομαι[vifm3s] Μιχαήλ[nnmsp] ὁ[dnms] ἄγγελος[nnmsc] ὁ[dnms] μέγας[annmsn] ὁ[dnms] ἵστημι[vpxanms] ἐπί[pa] ὁ[damp] υἱός[nampc] ὁ[dgms] λαός[ngmsc] σύ[rpg-s] ἐκεῖνος[rdnfs] ὁ[dnfs] ἡμέρα[nnfsc] θλῖψις[ngfsc] οἷος[rrnfsn] οὐ[b] γίνομαι[viap3s] ἀπό[pg] ὅς[rrgns] γίνομαι[viap3p] ἕως[pg] ὁ[dgfs] ἡμέρα[ngfsc] ἐκεῖνος[rdgfs] καί[cc] ἐν[pd] ἐκεῖνος[rddfs] ὁ[ddfs] ἡμέρα[ndfsc] ὑπόω[vifp3s] πᾶς[ainmsn] ὁ[dnms] λαός[nnmsc] ὅς[rrnms] ἄν[x] εὑρίσκω[vsap3s] ἐγγράφω[vpxpnms] ἐν[pd] ὁ[ddns] βιβλίον[ndnsc]. **v.2** καί[cc] πολύς[annmpn] ὁ[dgmp] καθεύδω[vppagmp] ἐν[pd] ὁ[ddms] πλατύς[andmsn] ὁ[dgfs] γῆ[ngfsc] ἀνίστημι[vifm3p] ὁ[dnmp] μέν[x] εἰς[pa] ζωή[nafsc] αἰώνιος[anafsn] ὁ[dnmp] δέ[cc] εἰς[pa] ὀνειδισμός[namsc] ὁ[dnmp] δέ[cc] εἰς[pa] διασπορά[nafsc] καί[cc] αἰσχύνη[nafsc] αἰώνιος[anafsn]. **v.3** καί[cc] ὁ[dnmp] συνίημι[vppanmp] φαίνω[vifa3p] ὡς[cs] φωστήρ[nnmpc] ὁ[dgms] οὐρανός[ngmsc] καί[cc] ὁ[dnmp] κατισχύω[vppanmp] ὁ[damp] λόγος[nampc] ἐγώ[rpg-s] ὡσεί[x] ὁ[dnnp] ἄστρον[nnnpc] ὁ[dgms] οὐρανός[ngmsc] εἰς[pa] ὁ[dams] αἰών[namsc] ὁ[dgms] αἰών[ngmsc]. **v.4** καί[cc] σύ[rpn-s] Δανιήλ[nvmsp] καλύπτω[vdaa2s] ὁ[danp] πρόσταγμα[nanpc] καί[cc] σφραγίζω[vdam2s] ὁ[dans] βιβλίον[nansc] ἕως[pg] καιρός[ngmsc] συντέλεια[ngfsc] ἕως[cs] ἄν[x] ἀπομαίνομαι[vsap3p] ὁ[dnmp] πολύς[annmpn] καί[cc] πίμπλημι[vsap3s] ὁ[dnfs] γῆ[nnfsc] ἀδικία[ngfsc]. **v.5** καί[cc] ὁράω[viaa1s] ἐγώ[rpn-s] Δανιήλ[nnmsp] καί[cc] ἰδού[i] δύο[ac—n] ἕτερος[ainmpn] ἵστημι[viya3p] εἷς[acnmsn] ἔνθεν[b] ὁ[dgms] ποταμός[ngmsc] καί[cc] εἷς[acnmsn] ἔνθεν[b]. **v.6** καί[cc] λέγω[viaa1s] ὁ[ddms] εἷς[acdmsn] ὁ[ddms] περιβάλλω[vpxmdms] ὁ[danp] βύσσινος[ananpn] ὁ[ddms] ἐπάνω[b] πότε[b] οὖν[cc] συντέλεια[nnfsc] ὅς[rrgnp] λέγω[vixa2s] ἐγώ[rpd-s] ὁ[dgmp] θαυμαστός[angmpn] καί[cc] ὁ[dnms] καθαρισμός[nnmsc] οὗτος[rdgnp]. **v.7** καί[cc] ἀκούω[viaa1s] ὁ[dgms] περιβάλλω[vpxmgms] ὁ[danp] βύσσινος[ananpn] ὅς[rrnms] εἰμί[viia3s] ἐπάνω[pg] ὁ[dgns] ὕδωρ[ngnsc] ὁ[dgms] ποταμός[ngmsc] ἕως[pg] καιρός[ngmsc] συντέλεια[ngfsc] καί[cc] ὑπόω[viaa3s] ὁ[dafs] δεξιός[anafsn] καί[cc] ὁ[dafs] ἀριστερός[anafsn] εἰς[pa] ὁ[dams] οὐρανός[namsc] καί[cc] ὄμνυμι[viaa3s] ὁ[dams] ζάω[vppaams] εἰς[pa] ὁ[dams] αἰών[namsc] θεός[namsc] ὅτι[cs] εἰς[pa] καιρός[namsc] καί[cc] καιρός[nampc] καί[cc] ἥμισυς[anansn] καιρός[ngmsc] ὁ[dnfs] συντέλεια[nnfsc] χείρ[ngfpc] ἄφεσις[ngfsc] λαός[ngmsc] ἅγιος[angmsn] καί[cc] συντελέω[vifp3s] πᾶς[ainnpn] οὗτος[rdnnp]. **v.8** καί[cc] ἐγώ[rpn-s] ἀκούω[viaa1s] καί[cc] οὐ[b] διανοέομαι[viap1s] παρά[pa] αὐτός[rtams] ὁ[dams] καιρός[namsc] καί[cc] λέγω[viaa1s] κύριος[nvmsc] τίς[rqnms] ὁ[dnfs] λύσις[nnfsc] ὁ[dgms] λόγος[ngmsc] οὗτος[rdgms] καί[cc] τίς[rqgms] ὁ[dnfp] παραβολή[nnfpc] οὗτος[rdnfp].

σμένα τὰ προστάγματα ἕως ἂν. πειρασθῶσι καὶ ἁγιασθῶσι πολ- 10
λοί καὶ ἁμάρτωσιν οἱ ἁμαρτωλοί καὶ οὐ μὴ διανοηθῶσι πάντες
οἱ ἁμαρτωλοί καὶ οἱ διανοούμενοι προσέξουσιν. ἀφ᾽ οὗ ἂν ἀπο- 11
σταθῇ ἡ θυσία διὰ παντὸς καὶ ἑτοιμασθῇ δοθῆναι τὸ βδέλυγμα
τῆς ἐρημώσεως ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. μακάριος 12
ὁ ἐμμένων καὶ συνάξει εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα
πέντε. καὶ σὺ βάδισον ἀναπαύου ἔτι γάρ εἰσιν ἡμέραι καὶ ὧραι 13
εἰς ἀναπλήρωσιν συντελείας καὶ ἀναπαύσῃ καὶ ἀναστήσῃ ἐπὶ τὴν
δόξαν σου εἰς συντέλειαν ἡμερῶν.

---

v.9 καί[cc] λέγω[viaa3s] ἐγώ[rpd-s] ἀποτρέχω[vdpa2s] Δανιήλ[nvmsp] ὅτι[cs] κατακαλύπτω[vpxpnnp] καί[cc] σφραγίζω[vpxpnnp] ὁ[dnnp] πρόσταγμα[nnnpc] ἕως[cs] ἄν[x]. **v.10** πειράζω[vsap3p] καί[cc] ἁγιάζω[vsap3p] πολύς[annmpn] καί[cc] ἁμαρτάνω[vsaa3p] ὁ[dnmp] ἁμαρτωλός[annmpn] καί[cc] οὐ[b] μή[x] διανοέομαι[vsap3p] πᾶς[ainmpn] ὁ[dnmp] ἁμαρτωλός[annmpn] καί[cc] ὁ[dnmp] διανοέομαι[vppmnmp] προσέχω[vifa3p]. **v.11** ἀπό[pg] ὅς[rrgns] ἄν[x] ἀφίστημι[vsap3s] ὁ[dnfs] θυσία[nnfsc] διά[pg] πᾶς[aignsn] καί[cc] ἑτοιμάζω[vsap3s] δίδωμι[vnap] ὁ[dnns] βδέλυγμα[nnnsc] ὁ[dgfs] ἐρήμωσις[ngfsc] ἡμέρα[nafpc] χίλιοι[acafpn] διακόσιοι[acafpn] ἐνενήκοντα[ac—n]. **v.12** μακάριος[annmsn] ὁ[dnms] ἐμμένω[vppanms] καί[cc] συνάγω[vifa3s] εἰς[pa] ἡμέρα[nafpc] χίλιοι[acafpn] τριακόσιοι[acafpn] τριάκοντα[ac—n] πέντε[ac—n]. **v.13** καί[cc] σύ[rpn-s] βαδίζω[vdaa2s] ἀναπαύω[vdpm2s] ἔτι[b] γάρ[cc] εἰμί[vipa3p] ἡμέρα[nnfpc] καί[cc] ὥρα[nnfpc] εἰς[pa] ἀναπλήρωσις[nafsc] συντέλεια[ngfsc] καί[cc] ἀναπαύω[vifm2s] καί[cc] ἀνίστημι[vifm2s] ἐπί[pa] ὁ[dafs] δόξα[nafsc] σύ[rpg-s] εἰς[pa] συντέλεια[nafsc] ἡμέρα[ngfpc].

ΔΑΝΙΗΛ Τ

1 ἐν ἔτει τρίτῳ τῆς βασιλείας Ιωακιμ βασιλέως Ιουδα ἦλθεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος εἰς Ιερουσαλημ καὶ ἐπολιόρ-
2 κει αὐτήν. καὶ ἔδωκεν κύριος ἐν χειρὶ αὐτοῦ τὸν Ιωακιμ βασιλέα Ιουδα καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου τοῦ θεοῦ καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Σεννααρ οἶκον τοῦ θεοῦ αὐτοῦ καὶ τὰ σκεύη εἰσή-
3 νεγκεν εἰς τὸν οἶκον θησαυροῦ τοῦ θεοῦ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ασφανεζ τῷ ἀρχιευνούχῳ αὐτοῦ εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας Ισραηλ καὶ ἀπὸ τοῦ σπέρματος τῆς βα-
4 σιλείας καὶ ἀπὸ τῶν φορθομμιν. νεανίσκους οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος καὶ καλοὺς τῇ ὄψει καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ καὶ γιγνώσκοντας γνῶσιν καὶ διανοουμένους φρόνησιν καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς ἑστάναι ἐν τῷ οἴκῳ τοῦ βασιλέως καὶ διδάξαι
5 αὐτοὺς γράμματα καὶ γλῶσσαν Χαλδαίων. καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας καθ' ἡμέραν ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως καὶ ἀπὸ τοῦ οἴνου τοῦ πότου αὐτοῦ καὶ θρέψαι αὐτοὺς ἔτη
6 τρία καὶ μετὰ ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως. καὶ ἐγένετο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ιουδα Δανιηλ καὶ Ανανιας καὶ Μισαηλ καὶ
7 Αζαριας. καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα τῷ Δα-

---

1. v.1 ἐν^{pd} ἔτος^{ndnsc} τρίτος^{aodnsn} ὁ^{dgfs} βασιλεία^{ngfsc} Ἰωακίμ^{ngmsp} βασιλεύς^{ngmsc} Ἰούδας^{ngmsp} ἔρχομαι^{viaa3s} Ναβουχοδονοσορ^{nnmsp} βασιλεύς^{nnmsc} Βαβυλών^{ngfsp} εἰς^{pa} Ἰερουσαλήμ^{nafsp} καί^{cc} πολιορκέω^{viia3s} αὐτός^{rpafs}. **v.2** καί^{cc} δίδωμι^{viaa3s} κύριος^{nnmsc} ἐν^{pd} χείρ^{ndfsc} αὐτός^{rpgms} ὁ^{dams} Ἰωακίμ^{namsp} βασιλεύς^{namsc} Ἰούδας^{ngmsp} καί^{cc} ἀπό^{pg} μέρος^{ngnsc} ὁ^{dgnp} σκεῦος^{ngnpc} οἶκος^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} καί^{cc} φέρω^{viaa3s} αὐτός^{rpanp} εἰς^{pa} γῆ^{nafsc} Σεννααρ$^{ng\text{-}sp}$ οἶκος^{namsc} ὁ^{dgms} θεός^{ngmsc} αὐτός^{rpgms} καί^{cc} ὁ^{danp} σκεῦος^{nanpc} εἰσφέρω^{viaa3s} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} θησαυρός^{ngmsc} ὁ^{dgms} θεός^{ngmsc} αὐτός^{rpgms}. **v.3** καί^{cc} λέγω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} ὁ^{ddms} Ασφανεζ^{ndmsp} ὁ^{ddms} ἀρχιευνοῦξος^{ndmsc} αὐτός^{rpgms} εἰσάγω^{vnaa} ἀπό^{pg} ὁ^{dgmp} υἱός^{ngmpc} ὁ^{dgfs} αἰχμαλωσία^{ngfsc} Ἰσραήλ^{ngmsp} καί^{cc} ἀπό^{pg} ὁ^{dgns} σπέρμα^{ngnsc} ὁ^{dgfs} βασιλεία^{ngfsc} καί^{cc} ἀπό^{pg} ὁ^{dgmp} φορθομμιν^{t}. **v.4** νεανίσκος^{nampc} ὅς^{rrdmp} οὐ^{b} εἰμί^{vipa3s} ἐν^{pd} αὐτός^{rpdmp} μῶμος^{nnmsc} καί^{cc} καλός^{anampn} ὁ^{ddfs} ὄψις^{ndfsc} καί^{cc} συνίημι^{vppaamp} ἐν^{pd} πᾶς^{aidfsn} σοφία^{ndfsc} καί^{cc} γινώσκω^{vppaamp} γνῶσις^{nafsc} καί^{cc} διανοέομαι^{vppmamp} φρόνησις^{nafsc} καί^{cc} ὅς^{rrdmp} εἰμί^{vipa3s} ἰσχύς^{nnfsc} ἐν^{pd} αὐτός^{rpdmp} ἵστημι^{vnxa} ἐν^{pd} ὁ^{ddms} οἶκος^{ndmsc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} διδάσκω^{vnaa} αὐτός^{rpamp} γράμμα^{nanpc} καί^{cc} γλῶσσα^{nafsc} Χαλδαῖος^{ngmpp}. **v.5** καί^{cc} διατάσσω^{viaa3s} αὐτός^{rpdmp} ὁ^{dnms} βασιλεύς^{nnmsc} ὁ^{dans} ὁ^{dgfs} ἡμέρα^{ngfsc} κατά^{pa} ἡμέρα^{nafsc} ἀπό^{pg} ὁ^{dgfs} τράπεζα^{ngfsc} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} ἀπό^{pg} ὁ^{dgms} οἶνος^{ngmsc} ὁ^{dgms} πότος^{ngmsc} αὐτός^{rpgms} καί^{cc} τρέφω^{vnaa} αὐτός^{rpamp} ἔτος^{nanpc} τρεῖς^{acanpn} καί^{cc} μετά^{pa} οὗτος^{rdanp} ἵστημι^{vnaa} ἐνώπιον^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc}. **v.6** καί^{cc} γίνομαι^{viam3s} ἐν^{pd} αὐτός^{rpdmp} ἐκ^{pg} ὁ^{dgmp} υἱός^{ngmpc} Ἰούδας^{ngmsp} Δανιήλ^{nnmsp} καί^{cc} Ανανιας^{nnmsp} καί^{cc} Μισαηλ^{nnmsp} καί^{cc} Αζαριας^{nnmsp}.

νιηλ Βαλτασαρ καὶ τῷ Ανανια Σεδραχ καὶ τῷ Μισαηλ Μισαχ καὶ
τῷ Αζαρια Αβδεναγω. καὶ ἔθετο Δανιηλ ἐπὶ τὴν καρδίαν αὐτοῦ 8
ὡς οὐ μὴ ἀλισγηθῇ ἐν τῇ τραπέζῃ τοῦ βασιλέως καὶ ἐν τῷ οἴνῳ τοῦ
πότου αὐτοῦ καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον ὡς οὐ μὴ ἀλισγηθῇ.
καὶ ἔδωκεν ὁ θεὸς τὸν Δανιηλ εἰς ἔλεον καὶ εἰς οἰκτιρμὸν ἐνώπιον 9
τοῦ ἀρχιευνούχου. καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιηλ φοβοῦ- 10
μαι ἐγὼ τὸν κύριόν μου τὸν βασιλέα τὸν ἐκτάξαντα τὴν βρῶσιν
ὑμῶν καὶ τὴν πόσιν ὑμῶν μήποτε ἴδῃ τὰ πρόσωπα ὑμῶν σκυ-
θρωπὰ παρὰ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν καὶ καταδικάσητε
τὴν κεφαλήν μου τῷ βασιλεῖ. καὶ εἶπεν Δανιηλ πρὸς Αμελσαδ 11
ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ Δανιηλ Ανανιαν Μισαηλ Αζα-
ριαν. πείρασον δὴ τοὺς παῖδάς σου ἡμέρας δέκα καὶ δότωσαν 12
ἡμῖν ἀπὸ τῶν σπερμάτων καὶ φαγόμεθα καὶ ὕδωρ πιόμεθα. καὶ 13
ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν καὶ αἱ ἰδέαι τῶν παιδα-
ρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως καὶ καθὼς ἂν ἴδῃς
ποίησον μετὰ τῶν παίδων σου. καὶ εἰσήκουσεν αὐτῶν καὶ ἐπεί- 14
ρασεν αὐτοὺς ἡμέρας δέκα. καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν 15
ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ καὶ ἰσχυραὶ ταῖς σαρξὶν ὑπὲρ τὰ
παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως. καὶ ἐγένετο 16
Αμελσαδ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν καὶ τὸν οἶνον τοῦ πόμα-

---

v.7 καί[cc] ἐπιτίθημι[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] ἀρχιευνοῦχος[nnmsc] ὄνομα[nanpc] ὁ[ddms] Δανιήλ[ndmsp] Βαλτασαρ[namsp] καί[cc] ὁ[ddms] Ανανιας[ndmsp] Σεδραχ[namsp] καί[cc] ὁ[ddms] Μισαηλ[ndmsp] Μισαχ[namsp] καί[cc] ὁ[ddms] Αζαριας[ndmsp] Αβδεναγω[namsp]. **v.8** καί[cc] τίθημι[viam3s] Δανιήλ[nnmsp] ἐπί[pa] ὁ[dafs] καρδία[nafsc] αὐτός[rpgms] ὡς[cs] οὐ[b] μή[x] ἀλισγέω[vsap3s] ἐν[pd] ὁ[ddfs] τράπεζα[ndfsc] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ἐν[pd] ὁ[ddms] οἶνος[ndmsc] ὁ[dgms] πότος[ngmsc] αὐτός[rpgms] καί[cc] ἀξιόω[viaa3s] ὁ[dams] ἀρχιευνοῦχος[namsc] ὡς[cs] οὐ[b] μή[x] ἀλισγέω[vsap3s]. **v.9** καί[cc] δίδωμι[viaa3s] ὁ[dnms] θεός[nnmsc] ὁ[dams] Δανιήλ[namsp] εἰς[pa] ἔλεος[namsc] καί[cc] εἰς[pa] οἰκτιρμός[namsc] ἐνώπιον[pg] ὁ[dgms] ἀρχιευνοῦχος[ngmsc]. **v.10** καί[cc] λέγω[viaa3s] ὁ[dnms] ἀρχιευνοῦχος[nnmsc] ὁ[ddms] Δανιήλ[ndmsp] φοβέω[vipm1s] ἐγώ[rpn-s] ὁ[dams] κύριος[namsc] ἐγώ[rpg-s] ὁ[dams] βασιλεύς[namsc] ὁ[dams] ἐκτάσσω[vpaaams] ὁ[dafs] βρῶσις[nafsc] σύ[rpg-p] καί[cc] ὁ[dafs] πόσις[nafsc] σύ[rpg-p] μήποτε[cs] ὁράω[vsaa3s] ὁ[danp] πρόσωπον[nanpc] σύ[rpg-p] σκυθρωπός[ananpn] παρά[pa] ὁ[danp] παιδάριον[nanpc] ὁ[danp] συνῆλιξ[nanpc] σύ[rpg-p] καί[cc] καταδικάζω[vsaa2p] ὁ[dafs] κεφαλή[nafsc] ἐγώ[rpg-s] ὁ[ddms] βασιλεύς[ndmsc]. **v.11** καί[cc] λέγω[viaa3s] Δανιήλ[nnmsp] πρός[pa] Αμελσαδ[namsp] ὅς[rrams] καθίστημι[viaa3s] ὁ[dnms] ἀρχιευνοῦχος[nnmsc] ἐπί[pa] Δανιήλ[namsp] Ανανιας[namsp] Μισαηλ[namsp] Αζαριας[namsp]. **v.12** πειράζω[vdaa2s] δή[x] ὁ[damp] παῖς[nampc] σύ[rpg-s] ἡμέρα[nafpc] δέκα[ac—n] καί[cc] δίδωμι[vdaa3p] ἐγώ[rpd-p] ἀπό[pg] ὁ[dgnp] σπέρμα[ngnpc] καί[cc] ἐσθίω[vifm1p] καί[cc] ὕδωρ[nansc] πίνω[vifm1p]. **v.13** καί[cc] ὁράω[vdap3p] ἐνώπιον[pg] σύ[rpg-s] ὁ[dnfp] ἰδέα[nnfpc] ἐγώ[rpg-p] καί[cc] ὁ[dnfp] ἰδέα[nnfpc] ὁ[dgnp] παιδάριον[ngnpc] ὁ[dgnp] ἐσθίω[vppagnp] ὁ[dafs] τράπεζα[nafsc] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] καθώς[cs] ἄν[x] ὁράω[vsaa2s] ποιέω[vdaa2s] μετά[pg] ὁ[dgmp] παῖς[ngmpc] σύ[rpg-s]. **v.14** καί[cc] εἰσακούω[viaa3s] αὐτός[rpgmp] καί[cc] πειράζω[viaa3s] αὐτός[rpamp] ἡμέρα[nafpc] δέκα[ac—n]. **v.15** καί[cc] μετά[pa] ὁ[dans] τέλος[nansc] ὁ[dgfp] δέκα[ac—n] ἡμέρα[ngfpc] ὁράω[viap3p] ὁ[dnfp] ἰδέα[nnfpc] αὐτός[rpgmp] ἀγαθός[annfpn] καί[cc] ἰσχυρός[annfpn] ὁ[ddfp] σάρξ[ndfpc] ὑπέρ[pa] ὁ[danp] παιδάριον[nanpc] ὁ[danp] ἐσθίω[vppaanp] ὁ[dafs] τράπεζα[nafsc] ὁ[dgms] βασιλεύς[ngmsc].

17 τος αὐτῶν καὶ ἐδίδου αὐτοῖς σπέρματα. καὶ τὰ παιδάρια ταῦτα
οἱ τέσσαρες αὐτοί ἔδωκεν αὐτοῖς ὁ θεὸς σύνεσιν καὶ φρόνησιν ἐν
πάσῃ γραμματικῇ καὶ σοφίᾳ καὶ Δανιηλ συνῆκεν ἐν πάσῃ ὁράσει
18 καὶ ἐνυπνίοις. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ὧν εἶπεν ὁ βα-
σιλεὺς εἰσαγαγεῖν αὐτούς καὶ εἰσήγαγεν αὐτοὺς ὁ ἀρχιευνοῦχος
19 ἐναντίον Ναβουχοδονοσορ. καὶ ἐλάλησεν μετ᾽ αὐτῶν ὁ βασιλεύς
καὶ οὐχ εὑρέθησαν ἐκ πάντων αὐτῶν ὅμοιοι Δανιηλ καὶ Ανανια
20 καὶ Μισαηλ καὶ Αζαρια καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως. καὶ
ἐν παντὶ ῥήματι σοφίας καὶ ἐπιστήμης ὧν ἐζήτησεν παρ᾽ αὐτῶν ὁ
βασιλεύς εὗρεν αὐτοὺς δεκαπλασίονας παρὰ πάντας τοὺς ἐπα-
οιδοὺς καὶ τοὺς μάγους τοὺς ὄντας ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ.
21 καὶ ἐγένετο Δανιηλ ἕως ἔτους ἑνὸς Κύρου τοῦ βασιλέως.

2 ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας Ναβουχοδονοσορ ἐνυπνιά-
σθη Ναβουχοδονοσορ ἐνύπνιον καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ καὶ
2 ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ᾽ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς καλέ-
σαι τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους καὶ τοὺς φαρμακοὺς καὶ
τοὺς Χαλδαίους τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ τὰ ἐνύπνια αὐτοῦ καὶ
3 ἦλθαν καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως. καὶ εἶπεν αὐτοῖς ὁ
βασιλεύς ἐνυπνιάσθην καὶ ἐξέστη τὸ πνεῦμά μου τοῦ γνῶναι τὸ
4 ἐνύπνιον. καὶ ἐλάλησαν οἱ Χαλδαῖοι τῷ βασιλεῖ Συριστί βασιλεῦ
εἰς τοὺς αἰῶνας ζῆθι σὺ εἰπὸν τὸ ἐνύπνιον τοῖς παισίν σου καὶ

---

v.16 καί[cc] γίνομαι[viam3s] Αμελσαδ[nnmsp] ἀναιρέω[vppmnms] ὁ[dans] δεῖπνον[nansc] αὐτός[rpgmp] καί[cc] ὁ[dams] οἶνος[namsc] ὁ[dgns] πόμα[ngnsc] αὐτός[rpgmp] καί[cc] δίδωμι[viia3s] αὐτός[rpdmp] σπέρμα[nanpc].
v.17 καί[cc] ὁ[dnnp] παιδάριον[nnnpc] οὗτος[rdnnp] ὁ[dnmp] τέσσαρες[acnmpn] αὐτός[rpnmp] δίδωμι[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] θεός[nnmsc] σύνεσις[nafsc] καί[cc] φρόνησις[nafsc] ἐν[pd] πᾶς[aidfsn] γραμματικός[andfsn] καί[cc] σοφία[ndfsc] καί[cc] Δανιήλ[nnmsp] συνίημι[viaa3s] ἐν[pd] πᾶς[aidfsn] ὅρασις[ndfsc] καί[cc] ἐνύπνιον[ndnpc].
v.18 καί[cc] μετά[pa] ὁ[dans] τέλος[nansc] ὁ[dgfp] ἡμέρα[ngfpc] ὅς[rrgfp] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] εἰσάγω[vnaa] αὐτός[rpamp] καί[cc] εἰσάγω[viaa3s] αὐτός[rpamp] ὁ[dnms] ἀρχιευνοῦχος[nnmsc] ἐναντίον[pg] Ναβουχοδονοσορ[ngmsp]. **v.19** καί[cc] λαλέω[viaa3s] μετά[pg] αὐτός[rpgmp] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] οὐ[b] εὑρίσκω[viap3p] ἐκ[pg] πᾶς[aigmpn] αὐτός[rpgmp] ὅμοιος[annmpn] Δανιήλ[ndmsp] καί[cc] Ανανιας[ndmsp] καί[cc] Μισαηλ[ndmsp] καί[cc] Αζαριας[ndmsp] καί[cc] ἵστημι[viaa3p] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc].
v.20 καί[cc] ἐν[pd] πᾶς[aidnsn] ῥῆμα[ndnsc] σοφία[ngfsc] καί[cc] ἐπιστήμη[ngfsc] ὅς[rrgnp] ζητέω[viaa3s] παρά[pg] αὐτός[rpgmp] ὁ[dnms] βασιλεύς[nnmsc] εὑρίσκω[viaa3s] αὐτός[rpamp] δεκαπλασίων[anampn] παρά[pa] πᾶς[aiampn] ὁ[damp] ἐπαοιδός[nampc] καί[cc] ὁ[damp] μάγος[nampc] ὁ[damp] εἰμί[vppaamp] ἐν[pd] πᾶς[aidfsn] ὁ[ddfs] βασιλεία[ndfsc] αὐτός[rpgms]. **v.21** καί[cc] γίνομαι[viam3s] Δανιήλ[nnmsp] ἕως[pg] ἔτος[ngnsc] εἷς[acgnsn] Κῦρος[ngmsp] ὁ[dgms] βασιλεύς[ngmsc]. **2. v.1** ἐν[pd] ὁ[ddns] ἔτος[ndnsc] ὁ[ddns] δεύτερος[aodnsn] ὁ[dgfs] βασιλεία[ngfsc] Ναβουχοδονοσορ[ngmsp] ἐνυπνιάζομαι[viap3s] Ναβουχοδονοσορ[nnmsp] ἐνύπνιον[nansc] καί[cc] ἐξίστημι[viaa3s] ὁ[dnns] πνεῦμα[nnnsc] αὐτός[rpgms] καί[cc] ὁ[dnms] ὕπνος[nnmsc] αὐτός[rpgms] γίνομαι[viam3s] ἀπό[pg] αὐτός[rpgms]. **v.2** καί[cc] λέγω[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] καλέω[vnaa] ὁ[damp] ἐπαοιδός[nampc] καί[cc] ὁ[damp] μάγος[nampc] καί[cc] ὁ[damp] φάρμακος[nampc] καί[cc] ὁ[damp] Χαλδαῖος[nampp] ὁ[dgns] ἀναγγέλλω[vnaa] ὁ[ddms] βασιλεύς[ndmsc] ὁ[danp] ἐνύπνιον[nanpc] αὐτός[rpgms] καί[cc] ἔρχομαι[viaa3p] καί[cc] ἵστημι[viaa3p] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc]. **v.3** καί[cc] λέγω[viaa3s] αὐτός[rpdmp] ὁ[dnms] βασιλεύς[nnmsc] ἐνυπνιάζομαι[viap1s] καί[cc] ἐξίστημι[viaa3s] ὁ[dnns] πνεῦμα[nnnsc] ἐγώ[rpg-s] ὁ[dgns] γινώσκω[vnaa] ὁ[dans] ἐνύπνιον[nansc].

τὴν σύγκρισιν ἀναγγελοῦμεν. ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν 5
τοῖς Χαλδαίοις ὁ λόγος ἀπ᾽ ἐμοῦ ἀπέστη ἐὰν μὴ γνωρίσητέ μοι
τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ εἰς ἀπώλειαν ἔσεσθε καὶ οἱ
οἶκοι ὑμῶν διαρπαγήσονται. ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρι- 6
σιν αὐτοῦ γνωρίσητέ μοι δόματα καὶ δωρεὰς καὶ τιμὴν πολλὴν
λήμψεσθε παρ᾽ ἐμοῦ πλὴν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ
ἀπαγγείλατέ μοι. ἀπεκρίθησαν δεύτερον καὶ εἶπαν ὁ βασιλεὺς 7
εἰπάτω τὸ ἐνύπνιον τοῖς παισὶν αὐτοῦ καὶ τὴν σύγκρισιν αὐτοῦ
ἀναγγελοῦμεν. ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν ἐπ᾽ ἀληθείας 8
οἶδα ἐγὼ ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε καθότι εἴδετε ὅτι ἀπέστη
ἀπ᾽ ἐμοῦ τὸ ῥῆμα. ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀναγγείλητέ μοι 9
οἶδα ὅτι ῥῆμα ψευδὲς καὶ διεφθαρμένον συνέθεσθε εἰπεῖν ἐνώ-
πιόν μου ἕως οὗ ὁ καιρὸς παρέλθῃ τὸ ἐνύπνιόν μου εἴπατέ μοι
καὶ γνώσομαι ὅτι τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖτέ μοι. ἀπεκρί- 10
θησαν οἱ Χαλδαῖοι ἐνώπιον τοῦ βασιλέως καὶ λέγουσιν οὐκ ἔστιν
ἄνθρωπος ἐπὶ τῆς ξηρᾶς ὅστις τὸ ῥῆμα τοῦ βασιλέως δυνήσεται
γνωρίσαι καθότι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων ῥῆμα τοιοῦτο
οὐκ ἐπερωτᾷ ἐπαοιδόν μάγον καὶ Χαλδαῖον. ὅτι ὁ λόγος ὃν ὁ 11
βασιλεὺς ἐπερωτᾷ βαρύς καὶ ἕτερος οὐκ ἔστιν ὃς ἀναγγελεῖ αὐ-
τὸν ἐνώπιον τοῦ βασιλέως ἀλλ᾽ ἢ θεοί ὧν οὐκ ἔστιν ἡ κατοικία

---

v.4 καί[cc] λαλέω[viaa3p] ὁ[dnmp] Χαλδαῖος[nnmpp] ὁ[ddms] βασιλεύς[ndmsc] Συριστί[b] βασιλεύς[nvmsc] εἰς[pa] ὁ[damp] αἰών[nampc] ζάω[vdpa2s] σύ[rpn-s] λέγω[vdaa2s] ὁ[dans] ἐνύπνιον[nansc] ὁ[ddmp] παῖς[ndmpc] σύ[rpg-s] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] ἀναγγέλλω[vifa1p]. **v.5** ἀποκρίνομαι[viap3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] λέγω[viaa3s] ὁ[ddmp] Χαλδαῖος[ndmpp] ὁ[dnms] λόγος[nnmsc] ἀπό[pg] ἐγώ[rpg-s] ἀφίστημι[viaa3s] ἐάν[cs] μή[x] γνωρίζω[vsaa2p] ἐγώ[rpd-s] ὁ[dans] ἐνύπνιον[nansc] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns] εἰς[pa] ἀπώλεια[nafsc] εἰμί[vifm2p] καί[cc] ὁ[dnmp] οἶκος[nnmpc] σύ[rpg-p] διαρπάζω[vifp3p]. **v.6** ἐάν[cs] δέ[cc] ὁ[dans] ἐνύπνιον[nansc] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns] γνωρίζω[vsaa2p] ἐγώ[rpd-s] δόμα[nanpc] καί[cc] δωρεά[nafpc] καί[cc] τιμή[nafsc] πολύς[anafsn] λαμβάνω[vifm2p] παρά[pg] ἐγώ[rpg-s] πλήν[b] ὁ[dans] ἐνύπνιον[nansc] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns] ἀπαγγέλλω[vdaa2p] ἐγώ[rpd-s]. **v.7** ἀποκρίνομαι[viap3p] δεύτερος[b] καί[cc] λέγω[viaa3p] ὁ[dnms] βασιλεύς[nnmsc] λέγω[vdaa3s] ὁ[dans] ἐνύπνιον[nansc] ὁ[ddmp] παῖς[ndmpc] αὐτός[rpgms] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns] ἀναγγέλλω[vifa1p]. **v.8** ἀποκρίνομαι[viap3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] λέγω[viaa3s] ἐπί[pg] ἀλήθεια[ngfsc] οἶδα[vixa1s] ἐγώ[rpn-s] ὅτι[cs] καιρός[namsc] σύ[rpn-p] ἐξαγοράζω[vipa2p] καθότι[cs] ὁράω[viaa2p] ὅτι[cs] ἀφίστημι[viaa3s] ἀπό[pg] ἐγώ[rpg-s] ὁ[dnns] ῥῆμα[nnnsc]. **v.9** ἐάν[cs] οὖν[cc] ὁ[dans] ἐνύπνιον[nansc] μή[x] ἀναγγέλλω[vsaa2p] ἐγώ[rpd-s] οἶδα[vixa1s] ὅτι[cs] ῥῆμα[nansc] ψευδής[anansn] καί[cc] διαφθείρω[vpxpans] συντίθημι[viam2p] λέγω[vnaa] ἐνώπιον[pg] ἐγώ[rpg-s] ἕως[pg] ὅς[rrgns] ὁ[dnms] καιρός[nnmsc] παρέρχομαι[vsaa3s] ὁ[dans] ἐνύπνιον[nansc] ἐγώ[rpg-s] λέγω[vdaa2p] ἐγώ[rpd-s] καί[cc] γινώσκω[vifm1s] ὅτι[cs] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns] ἀναγγέλλω[vifa2p] ἐγώ[rpd-s]. **v.10** ἀποκρίνομαι[viap3p] ὁ[dnmp] Χαλδαῖος[nnmpp] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] λέγω[vipa3p] οὐ[b] εἰμί[vipa3s] ἄνθρωπος[nnmsc] ἐπί[pg] ὁ[dgfs] ξηρός[angfsn] ὅστις[rrnms] ὁ[dans] ῥῆμα[nansc] ὁ[dgms] βασιλεύς[ngmsc] δύναμαι[vifm3s] γνωρίζω[vnaa] καθότι[cs] πᾶς[ainmsn] βασιλεύς[nnmsc] μέγας[annmsn] καί[cc] ἄρχων[nnmsc] ῥῆμα[nansc] τοιοῦτος[adans] οὐ[b] ἐπερωτάω[vipa3s] ἐπαοιδός[namsc] μάγος[namsc] καί[cc] Χαλδαῖος[namsp].

12 μετὰ πάσης σαρκός. τότε ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ πολλῇ
13 εἶπεν ἀπολέσαι πάντας τοὺς σοφοὺς Βαβυλῶνος. καὶ τὸ δόγμα
ἐξῆλθεν καὶ οἱ σοφοὶ ἀπεκτέννοντο καὶ ἐζήτησαν Δανιηλ καὶ τοὺς
14 φίλους αὐτοῦ ἀνελεῖν. τότε Δανιηλ ἀπεκρίθη βουλὴν καὶ γνώ-
μην τῷ Αριωχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως ὃς ἐξῆλθεν ἀναιρεῖν
15 τοὺς σοφοὺς Βαβυλῶνος. ἄρχων τοῦ βασιλέως περὶ τίνος ἐξῆλ-
θεν ἡ γνώμη ἡ ἀναιδὴς ἐκ προσώπου τοῦ βασιλέως ἐγνώρισεν
16 δὲ τὸ ῥῆμα Αριωχ τῷ Δανιηλ. καὶ Δανιηλ εἰσῆλθεν καὶ ἠξίωσεν
τὸν βασιλέα ὅπως χρόνον δῷ αὐτῷ καὶ τὴν σύγκρισιν αὐτοῦ ἀ-
17 ναγγείλῃ τῷ βασιλεῖ. καὶ εἰσῆλθεν Δανιηλ εἰς τὸν οἶκον αὐτοῦ
καὶ τῷ Ανανια καὶ τῷ Μισαηλ καὶ τῷ Αζαρια τοῖς φίλοις αὐτοῦ
18 τὸ ῥῆμα ἐγνώρισεν. καὶ οἰκτιρμοὺς ἐζήτουν παρὰ τοῦ θεοῦ τοῦ
οὐρανοῦ ὑπὲρ τοῦ μυστηρίου τούτου ὅπως ἂν μὴ ἀπόλωνται Δα-
νιηλ καὶ οἱ φίλοι αὐτοῦ μετὰ τῶν ἐπιλοίπων σοφῶν Βαβυλῶνος.
19 τότε τῷ Δανιηλ ἐν ὁράματι τῆς νυκτὸς τὸ μυστήριον ἀπεκαλύφθη
20 καὶ εὐλόγησεν τὸν θεὸν τοῦ οὐρανοῦ. Δανιηλ καὶ εἶπεν εἴη τὸ
ὄνομα τοῦ θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος
21 ὅτι ἡ σοφία καὶ ἡ σύνεσις αὐτοῦ ἐστιν. καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ διδοὺς σοφίαν

---

v.11 ὅτι^{cs} ὁ^{dnms} λόγος^{nnmsc} ὃς^{rrams} ὁ^{dnms} βασιλεὺς^{nnmsc} ἐπερωτάω^{vipa3s} βαρύς^{annmsn} καί^{cc} ἕτερος^{ainmsn} οὐ^{b} εἰμί^{vipa3s} ὃς^{rrnms} ἀναγγέλλω^{vifa3s} αὐτός^{rpams} ἐνώπιον^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} ἀλλά^{cc} ἤ^{cc} θεός^{nnmpc} ὃς^{rrgmp} οὐ^{b} εἰμί^{vipa3s} ὁ^{dnfs} κατοικία^{nnfsc} μετά^{pg} πᾶς^{aigfsn} σάρξ^{ngfsc}. **v.12** τότε^{b} ὁ^{dnms} βασιλεύς^{nnmsc} ἐν^{pd} θυμός^{ndmsc} καί^{cc} ὀργή^{ndfsc} πολύς^{andfsn} λέγω^{viaa3s} ἀπόλλυμι^{vnaa} πᾶς^{aiampn} ὁ^{damp} σοφός^{anampn} Βαβυλών^{ngfsp}. **v.13** καί^{cc} ὁ^{dnns} δόγμα^{nnnsc} ἐξέρχομαι^{viaa3s} καί^{cc} ὁ^{dnmp} σοφός^{annmpn} ἀποκτείνω^{viip3p} καί^{cc} ζητέω^{viaa3p} Δανιήλ^{namsp} καί^{cc} ὁ^{damp} φίλος^{anampn} αὐτός^{rpgms} ἀναιρέω^{vnaa}. **v.14** τότε^{b} Δανιήλ^{nnmsp} ἀποκρίνομαι^{viap3s} βουλή^{nafsc} καί^{cc} γνώμη^{nafsc} ὁ^{ddms} Αριωχ^{ndmsp} ὁ^{ddms} ἀρχιμάγειρος^{ndmsc} ὁ^{dgms} βασιλεύς^{ngmsc} ὃς^{rrnms} ἐξέρχομαι^{viaa3s} ἀναιρέω^{vnpa} ὁ^{damp} σοφός^{anampn} Βαβυλών^{ngfsp}. **v.15** ἄρχων^{nnmsc} ὁ^{dgms} βασιλεύς^{ngmsc} περί^{pg} τίς^{rqgns} ἐξέρχομαι^{viaa3s} ὁ^{dnfs} γνώμη^{nnfsc} ὁ^{dnfs} ἀναιδής^{annfsn} ἐκ^{pg} πρόσωπον^{ngnsc} ὁ^{dgms} βασιλεύς^{ngmsc} γνωρίζω^{viaa3s} δέ^{cc} ὁ^{dans} ῥῆμα^{nansc} Αριωχ^{nnmsp} ὁ^{ddms} Δανιήλ^{ndmsp}. **v.16** καί^{cc} Δανιήλ^{nnmsp} εἰσέρχομαι^{viaa3s} καί^{cc} ἀξιόω^{viaa3s} ὁ^{dams} βασιλεύς^{namsc} ὅπως^{cs} χρόνος^{namsc} δίδωμι^{vsaa3s} αὐτός^{rpdms} καί^{cc} ὁ^{dafs} σύγκρισις^{nafsc} αὐτός^{rpgns} ἀναγγέλλω^{vsaa3s} ὁ^{ddms} βασιλεύς^{ndmsc}. **v.17** καί^{cc} εἰσέρχομαι^{viaa3s} Δανιήλ^{nnmsp} εἰς^{pa} ὁ^{dams} οἶκος^{namsc} αὐτός^{rpgms} καί^{cc} ὁ^{ddms} Ανανιας^{ndmsp} καί^{cc} ὁ^{ddms} Μισαηλ^{ndmsp} καί^{cc} ὁ^{ddms} Αζαριας^{ndmsp} ὁ^{ddmp} φίλος^{andmpn} αὐτός^{rpgms} ὁ^{dans} ῥῆμα^{nansc} γνωρίζω^{viaa3s}. **v.18** καί^{cc} οἰκτιρμός^{nampc} ζητέω^{viia3p} παρά^{pg} ὁ^{dgms} θεός^{ngmsc} ὁ^{dgms} οὐρανός^{ngmsc} ὑπέρ^{pg} ὁ^{dgns} μυστήριον^{ngnsc} οὗτος^{rdgns} ὅπως^{cs} ἄν^{x} μή^{x} ἀπόλλυμι^{vsam3p} Δανιήλ^{nnmsp} καί^{cc} ὁ^{dnmp} φίλος^{annmpn} αὐτός^{rpgms} μετά^{pg} ὁ^{dgmp} ἐπίλοιπος^{angmpn} σοφός^{angmpn} Βαβυλών^{ngfsp}. **v.19** τότε^{b} ὁ^{ddms} Δανιήλ^{ndmsp} ἐν^{pd} ὅραμα^{ndnsc} ὁ^{dgfs} νύξ^{ngfsc} ὁ^{dnns} μυστήριον^{nnnsc} ἀποκαλύπτω^{viap3s} καί^{cc} εὐλογέω^{viaa3s} ὁ^{dams} θεός^{namsc} ὁ^{dgms} οὐρανός^{ngmsc}. **v.20** Δανιήλ^{nnmsp} καί^{cc} λέγω^{viaa3s} εἰμί^{vopa3s} ὁ^{dnns} ὄνομα^{nnnsc} ὁ^{dgms} θεός^{ngmsc} εὐλογέω^{vpxpnns} ἀπό^{pg} ὁ^{dgms} αἰών^{ngmsc} καί^{cc} ἕως^{pg} ὁ^{dgms} αἰών^{ngmsc} ὅτι^{cs} ὁ^{dnfs} σοφία^{nnfsc} καί^{cc} ὁ^{dnfs} σύνεσις^{nnfsc} αὐτός^{rpgms} εἰμί^{vipa3s}.

τοῖς σοφοῖς καὶ φρόνησιν τοῖς εἰδόσιν σύνεσιν. αὐτὸς ἀποκαλύ- 22
πτει βαθέα καὶ ἀπόκρυφα γινώσκων τὰ ἐν τῷ σκότει καὶ τὸ φῶς
μετ᾽ αὐτοῦ ἐστιν. σοί ὁ θεὸς τῶν πατέρων μου ἐξομολογοῦμαι 23
καὶ αἰνῶ ὅτι σοφίαν καὶ δύναμιν ἔδωκάς μοι καὶ νῦν ἐγνώρισάς
μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ καὶ τὸ ὅραμα τοῦ βασιλέως ἐγνώρισάς
μοι. καὶ ἦλθεν Δανιηλ πρὸς Αριωχ ὃν κατέστησεν ὁ βασιλεὺς 24
ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος καὶ εἶπεν αὐτῷ τοὺς σοφοὺς
Βαβυλῶνος μὴ ἀπολέσῃς εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως
καὶ τὴν σύγκρισιν τῷ βασιλεῖ ἀναγγελῶ. τότε Αριωχ ἐν σπουδῇ 25
εἰσήγαγεν τὸν Δανιηλ ἐνώπιον τοῦ βασιλέως καὶ εἶπεν αὐτῷ εὕ-
ρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ιουδαίας ὅστις τὸ
σύγκριμα τῷ βασιλεῖ ἀναγγελεῖ. καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ 26
εἶπεν τῷ Δανιηλ οὗ τὸ ὄνομα Βαλτασαρ εἰ δύνασαί μοι ἀναγγεῖλαι
τὸ ἐνύπνιον ὃ εἶδον καὶ τὴν σύγκρισιν αὐτοῦ. καὶ ἀπεκρίθη Δα- 27
νιηλ ἐνώπιον τοῦ βασιλέως καὶ λέγει τὸ μυστήριον ὃ ὁ βασιλεὺς
ἐπερωτᾷ οὐκ ἔστιν σοφῶν μάγων ἐπαοιδῶν γαζαρηνῶν ἀναγγεῖλαι
τῷ βασιλεῖ. ἀλλ᾽ ἢ ἔστιν θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια 28
καὶ ἐγνώρισεν τῷ βασιλεῖ Ναβουχοδονοσορ ἃ δεῖ γενέσθαι ἐπ᾽ ἐ-
σχάτων τῶν ἡμερῶν τὸ ἐνύπνιόν σου καὶ αἱ ὁράσεις τῆς κεφαλῆς
σου ἐπὶ τῆς κοίτης σου τοῦτό ἐστιν. σὺ βασιλεῦ οἱ διαλογισμοί 29

---

v.21 καί[cc] αὐτός[rpnms] ἀλλοιόω[vipa3s] καιρός[nampc] καί[cc] χρόνος[nampc] καθίστημι[vipa3s] βασιλεύς[nampc] καί[cc] μεθίστημι[vipa3s] δίδωμι[vppanms] σοφία[nafsc] ὁ[ddmp] σοφός[andmpn] καί[cc] φρόνησις[nafsc] ὁ[ddmp] οἶδα[vpxadmp] σύνεσις[nafsc]. **v.22** αὐτός[rpnms] ἀποκαλύπτω[vipa3s] βαθύς[ananpn] καί[cc] ἀπόκρυφος[ananpn] γινώσκω[vppanms] ὁ[danp] ἐν[pd] ὁ[ddns] σκότος[ndnsc] καί[cc] ὁ[dnns] φῶς[nnnsc] μετά[pg] αὐτός[rpgms] εἰμί[vipa3s]. **v.23** σύ[rpdms] ὁ[dnms] θεός[nnmsc] ὁ[dgmp] πατήρ[ngmpc] ἐγώ[rpg-s] ἐξομολογέω[vipm1s] καί[cc] αἰνέω[vipa1s] ὅτι[cs] σοφία[nafsc] καί[cc] δύναμις[nafsc] δίδωμι[viaa2s] ἐγώ[rpd-s] καί[cc] νῦν[b] γνωρίζω[viaa2s] ἐγώ[rpd-s] ὅς[rranp] ἀξιόω[viaa1p] παρά[pg] σύ[rpg-s] καί[cc] ὁ[dans] ὅραμα[nansc] ὁ[dgms] βασιλεύς[ngmsc] γνωρίζω[viaa2s] ἐγώ[rpd-s]. **v.24** καί[cc] ἔρχομαι[viaa3s] Δανιήλ[nnmsp] πρός[pa] Αριωχ[namsp] ὅς[rrams] καθίστημι[viaa3s] ὁ[dnms] βασιλεύς[nnmsc] ἀπόλλυμι[vnaa] ὁ[damp] σοφός[anampn] Βαβυλών[ngfsp] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] ὁ[damp] σοφός[anampn] Βαβυλών[ngfsp] μή[x] ἀπόλλυμι[vsaa2s] εἰσάγω[vdaa2s] δέ[cc] ἐγώ[rpa-s] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] ὁ[ddms] βασιλεύς[ndmsc] ἀναγγέλλω[vifa1s]. **v.25** τότε[b] Αριωχ[nnmsp] ἐν[pd] σπουδή[ndfsc] εἰσάγω[viaa3s] ὁ[dams] Δανιήλ[namsp] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] λέγω[viaa3s] αὐτός[rpdms] εὑρίσκω[vixa1s] ἀνήρ[namsc] ἐκ[pg] ὁ[dgmp] υἱός[ngmpc] ὁ[dgfs] αἰχμαλωσία[ngfsc] ὁ[dgfs] Ἰουδαία[ngfsp] ὅστις[rrnms] ὁ[dans] σύγκριμα[nansc] ὁ[ddms] βασιλεύς[ndmsc] ἀναγγέλλω[vifa3s]. **v.26** καί[cc] ἀποκρίνομαι[viap3s] ὁ[dnms] βασιλεύς[nnmsc] καί[cc] λέγω[viaa3s] ὁ[ddms] Δανιήλ[ndmsp] ὅς[rrgms] ὁ[dnns] ὄνομα[nnnsc] Βαλτασαρ[nnmsp] εἰ[cs] δύναμαι[vipm2s] ἐγώ[rpd-s] ἀναγγέλλω[vnaa] ὁ[dans] ἐνύπνιον[nansc] ὅς[rrans] ὁράω[viaa3p] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns]. **v.27** καί[cc] ἀποκρίνομαι[viap3s] Δανιήλ[nnmsp] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc] καί[cc] λέγω[vipa3s] ὁ[dnns] μυστήριον[nnnsc] ὅς[rrans] ὁ[dnms] βασιλεύς[nnmsc] ἐπερωτάω[vipa3s] οὐ[b] εἰμί[vipa3s] σοφός[angmpn] μάγος[ngmpc] ἐπαοιδός[ngmpc] γαζαρηνός[ngmpc] ἀναγγέλλω[vnaa] ὁ[ddms] βασιλεύς[ndmsc]. **v.28** ἀλλά[cc] ἤ[cc] εἰμί[vipa3s] θεός[nnmsc] ἐν[pd] οὐρανός[ndmsc] ἀποκαλύπτω[vppanms] μυστήριον[nanpc] καί[cc] γνωρίζω[viaa3s] ὁ[ddms] βασιλεύς[ndmsc] Ναβουχοδονοσορ[ndmsp] ὅς[rrnnp] δεῖ[vipa3s] γίνομαι[vnam] ἐπί[pg] ἔσχατος[angfpn] ὁ[dgfp] ἡμέρα[ngfpc] ὁ[dnns] ἐνύπνιον[nnnsc] σύ[rpg-s] καί[cc] ὁ[dnfp] ὅρασις[nnfpc] ὁ[dgfs] κεφαλή[ngfsc] σύ[rpg-s] ἐπί[pg] ὁ[dgfs] κοίτη[ngfsc] σύ[rpg-s] οὗτος[rdnns] εἰμί[vipa3s].

σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν τί δεῖ γενέσθαι μετὰ ταῦτα καὶ ὁ
30 ἀποκαλύπτων μυστήρια ἐγνώρισέν σοι ἃ δεῖ γενέσθαι. καὶ ἐμοὶ
δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας τὸ
μυστήριον τοῦτο ἀπεκαλύφθη ἀλλ᾽ ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ
βασιλεῖ γνωρίσαι ἵνα τοὺς διαλογισμοὺς τῆς καρδίας σου γνῷς.
31 σύ βασιλεῦ ἐθεώρεις καὶ ἰδοὺ εἰκὼν μία μεγάλη ἡ εἰκὼν ἐκείνη
καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερὴς ἑστῶσα πρὸ προσώπου σου καὶ
32 ἡ ὅρασις αὐτῆς φοβερά. ἡ εἰκών ἧς ἡ κεφαλὴ χρυσίου χρηστοῦ
αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ ἡ κοιλία
33 καὶ οἱ μηροὶ χαλκοῖ. αἱ κνῆμαι σιδηραῖ οἱ πόδες μέρος τι σιδη-
34 ροῦν καὶ μέρος τι ὀστράκινον. ἐθεώρεις ἕως οὗ ἐτμήθη λίθος ἐξ
ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξεν τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς
35 σιδηροῦς καὶ ὀστρακίνους καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. τότε
ἐλεπτύνθησαν εἰς ἅπαξ τὸ ὄστρακον ὁ σίδηρος ὁ χαλκός ὁ ἄργυ-
ρος ὁ χρυσὸς καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς
καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος καὶ τόπος οὐχ εὑ-
ρέθη αὐτοῖς καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγενήθη ὄρος μέγα
36 καὶ ἐπλήρωσεν πᾶσαν τὴν γῆν. τοῦτό ἐστιν τὸ ἐνύπνιον καὶ τὴν
37 σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως. σύ βασιλεῦ
βασιλεὺς βασιλέων ᾧ ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν καὶ

---

v.29 σύ[rpvms] βασιλεύς[nvmsc] ὁ[dnmp] διαλογισμός[nnmpc] σύ[rpg-s] ἐπί[pg] ὁ[dgfs] κοίτη[ngfsc] σύ[rpg-s] ἀναβαίνω[viaa3p] τίς[rqnns] δεῖ[vipa3s] γίνομαι[vnam] μετά[pa] οὗτος[rdanp] καί[cc] ὁ[dnms] ἀποκαλύπτω[vppanms] μυστήριον[nanpc] γνωρίζω[viaa3s] σύ[rpd-s] ὅς[rrnnp] δεῖ[vipa3s] γίνομαι[vnam]. **v.30** καί[b] ἐγώ[rpd-s] δέ[cc] οὐ[b] ἐν[pd] σοφία[ndfsc] ὁ[ddfs] εἰμί[vppadfs] ἐν[pd] ἐγώ[rpd-s] παρά[pa] πᾶς[aiampn] ὁ[damp] ζάω[vppaamp] ὁ[dnns] μυστήριον[nnnsc] οὗτος[rdnns] ἀποκαλύπτω[viap3s] ἀλλά[cc] ἕνεκα[pg] ὁ[dgns] ὁ[dafs] σύγκρισις[nafsc] ὁ[ddms] βασιλεύς[ndmsc] γνωρίζω[vnaa] ἵνα[cs] ὁ[damp] διαλογισμός[nampc] ὁ[dgfs] καρδία[ngfsc] σύ[rpg-s] γινώσκω[vsaa2s]. **v.31** σύ[rpn-s] βασιλεύς[nvmsc] θεωρέω[viia2s] καί[cc] ἰδού[i] εἰκών[nnfsc] εἷς[acnfsn] μέγας[annfsn] ὁ[dnfs] εἰκών[nnfsc] ἐκεῖνος[rdnfs] καί[cc] ὁ[dnfs] πρόσοψις[nnfsc] αὐτός[rpgfs] ὑπερφερής[annfsn] ἵστημι[vpxanfs] πρό[pg] πρόσωπον[ngnsc] σύ[rpg-s] καί[cc] ὁ[dnfs] ὅρασις[nnfsc] αὐτός[rpgfs] φοβερός[annfsn]. **v.32** ὁ[dnfs] εἰκών[nnfsc] ὅς[rrgfs] ὁ[dnfs] κεφαλή[nnfsc] χρυσίον[ngnsc] χρηστός[angnsn] ὁ[dnfp] χείρ[nnfpc] καί[cc] ὁ[dnns] στῆθος[nnnsc] καί[cc] ὁ[dnmp] βραχίων[nnmpc] αὐτός[rpgfs] ἀργυροῦς[annmpn] ὁ[dnfs] κοιλία[nnfsc] καί[cc] ὁ[dnmp] μηρός[nnmpc] χαλκοῦς[annmpn]. **v.33** ὁ[dnfp] κνήμη[nnfpc] σιδηροῦς[annfpn] ὁ[dnmp] πούς[nnmpc] μέρος[nnnsc] τι--σαιννσν σιδηροῦς[annnsn] καί[cc] μέρος[nnnsc] τι-σαιννσν ὀστράκινος[annnsn]. **v.34** θεωρέω[viia2s] ἕως[pg] ὅς[rrgns] τέμνω[viap3s] λίθος[nnmsc] ἐκ[pg] ὄρος[ngnsc] ἄνευ[pg] χείρ[ngfpc] καί[cc] πατάσσω[viaa3s] ὁ[dafs] εἰκών[nafsc] ἐπί[pa] ὁ[damp] πούς[nampc] ὁ[damp] σιδηροῦς[anampn] καί[cc] ὀστράκινος[anampn] καί[cc] λεπτύνω[viaa3s] αὐτός[rpamp] εἰς[pa] τέλος[nansc]. **v.35** τότε[b] λεπτύνω[viap3p] εἰς[pp] ἅπαξ[b] ὁ[dnns] ὄστρακον[nnnsc] ὁ[dnms] σίδηρος[nnmsc] ὁ[dnms] χαλκός[nnmsc] ὁ[dnms] ἄργυρος[nnmsc] ὁ[dnms] χρυσός[nnmsc] καί[cc] γίνομαι[viam3p] ὡσεί[x] κονιορτός[nnmsc] ἀπό[pg] ἅλων[ngfsc] θερινός[angfsn] καί[cc] ἐξαίρω[viaa3s] αὐτός[rpanp] ὁ[dnns] πλῆθος[nnnsc] ὁ[dgns] πνεῦμα[ngnsc] καί[cc] τόπος[nnmsc] οὐ[b] εὑρίσκω[viap3s] αὐτός[rpdnp] καί[cc] ὁ[dnms] λίθος[nnmsc] ὁ[dnms] πατάσσω[vpaanms] ὁ[dafs] εἰκών[nafsc] γίνομαι[viap3s] ὄρος[nnnsc] μέγας[annnsn] καί[cc] πληρόω[viaa3s] πᾶς[aiafsn] ὁ[dafs] γῆ[nafsc]. **v.36** οὗτος[rdnns] εἰμί[vipa3s] ὁ[dnns] ἐνύπνιον[nnnsc] καί[cc] ὁ[dafs] σύγκρισις[nafsc] αὐτός[rpgns] λέγω[vifa1p] ἐνώπιον[pg] ὁ[dgms] βασιλεύς[ngmsc].

κραταιὰν καὶ ἔντιμον ἔδωκεν. ἐν παντὶ τόπῳ ὅπου κατοικοῦσιν 38
οἱ υἱοὶ τῶν ἀνθρώπων θηρία τε ἀγροῦ καὶ πετεινὰ οὐρανοῦ ἔδωκεν
ἐν τῇ χειρί σου καὶ κατέστησέν σε κύριον πάντων σὺ εἶ ἡ κεφαλὴ
ἡ χρυσῆ. καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου 39
καὶ βασιλεία τρίτη ἥτις ἐστὶν ὁ χαλκός ἣ κυριεύσει πάσης τῆς
γῆς. καὶ βασιλεία τετάρτη ἔσται ἰσχυρὰ ὡς ὁ σίδηρος ὃν τρόπον 40
ὁ σίδηρος λεπτύνει καὶ δαμάζει πάντα οὕτως πάντα λεπτυνεῖ καὶ
δαμάσει. καὶ ὅτι εἶδες τοὺς πόδας καὶ τοὺς δακτύλους μέρος 41
μέν τι ὀστράκινον μέρος δέ τι σιδηροῦν βασιλεία διῃρημένη ἔ-
σται καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ ὃν τρόπον εἶδες
τὸν σίδηρον ἀναμεμειγμένον τῷ ὀστράκῳ. καὶ οἱ δάκτυλοι τῶν 42
ποδῶν μέρος μέν τι σιδηροῦν μέρος δέ τι ὀστράκινον μέρος τι
τῆς βασιλείας ἔσται ἰσχυρὸν καὶ ἀπ᾽ αὐτῆς ἔσται συντριβόμενον.
ὅτι εἶδες τὸν σίδηρον ἀναμεμειγμένον τῷ ὀστράκῳ συμμειγεῖς ἔ- 43
σονται ἐν σπέρματι ἀνθρώπων καὶ οὐκ ἔσονται προσκολλώμενοι
οὗτος μετὰ τούτου καθὼς ὁ σίδηρος οὐκ ἀναμείγνυται μετὰ τοῦ
ὀστράκου. καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει 44
ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθα-
ρήσεται καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται
λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας καὶ αὐτὴ ἀναστήσε-

---

v.37 σύ[rpn-s] βασιλεύς[nvmsc] βασιλεύς[nnmsc] βασιλεύς[ngmpc] ὅς[rrdms] ὁ[dnms] θεός[nnmsc] ὁ[dgms] οὐρανός[ngmsc] βασιλεία[nafsc] ἰσχυρός[anafsn] καί[cc] κραταιός[anafsn] καί[cc] ἔντιμος[anafsn] δίδωμι[viaa3s]. **v.38** ἐν[pd] πᾶς[aidmsn] τόπος[ndmsc] ὅπου[cs] κατοικέω[vipa3p] ὁ[dnmp] υἱός[nnmpc] ὁ[dgmp] ἄνθρωπος[ngmpc] θηρίον[nanpc] τέ[cc] ἀγρός[ngmsc] καί[cc] πετεινός[nanpc] οὐρανός[ngmsc] δίδωμι[viaa3s] ἐν[pd] ὁ[ddfs] χείρ[ndfsc] σύ[rpg-s] καί[cc] καθίστημι[viaa3s] σύ[rpa-s] κύριος[namsc] πᾶς[aignpn] σύ[rpn-s] εἰμί[vipa2s] ὁ[dnfs] κεφαλή[nnfsc] ὁ[dnfs] χρυσοῦς[annfsn]. **v.39** καί[cc] ὀπίσω[pg] σύ[rpg-s] ἀνίστημι[vifm3s] βασιλεία[nnfsc] ἕτερος[ainfsn] ἥσσων[annfsc] σύ[rpg-s] καί[cc] βασιλεία[nnfsc] τρίτος[aonfsn] ὅστις[rrnfs] εἰμί[vipa3s] ὁ[dnms] χαλκός[nnmsc] ὅς[rrnfs] κυριεύω[vifa3s] πᾶς[aigfsn] ὁ[dgfs] γῆ[ngfsc]. **v.40** καί[cc] βασιλεία[nnfsc] τέταρτος[aonfsn] εἰμί[vifm3s] ἰσχυρός[annfsn] ὡς[cs] ὁ[dnms] σίδηρος[nnmsc] ὅς[rrams] τρόπος[namsc] ὁ[dnms] σίδηρος[nnmsc] λεπτύνω[vipa3s] καί[cc] δαμάζω[vipa3s] πᾶς[aianpn] οὕτως[b] πᾶς[aianpn] λεπτύνω[vifa3s] καί[cc] δαμάζω[vifa3s]. **v.41** καί[cc] ὅτι[cs] ὁράω[viaa2s] ὁ[damp] πούς[nampc] καί[cc] ὁ[damp] δάκτυλος[nampc] μέρος[nansc] μέν[x] τι-σαιανσν ὀστράκινος[anansn] μέρος[nansc] δέ[cc] τι-σαιανσν σιδηροῦς[anansn] βασιλεία[nnfsc] διαιρέω[vpxpnfs] εἰμί[vifm3s] καί[cc] ἀπό[pg] ὁ[dgfs] ῥίζα[ngfsc] ὁ[dgfs] σιδηροῦς[angfsn] εἰμί[vifm3s] ἐν[pd] αὐτός[rpdfs] ὅς[rrams] τρόπος[namsc] ὁράω[viaa2s] ὁ[dams] σίδηρος[namsc] ἀναμίγνυμι[vpxpams] ὁ[ddns] ὄστρακον[ndnsc]. **v.42** καί[cc] ὁ[dnmp] δάκτυλος[nnmpc] ὁ[dgmp] πούς[ngmpc] μέρος[nnnsc] μέν[x] τι-σαιννσν σιδηροῦς[annnsn] μέρος[nnnsc] δέ[cc] τι-σαιννσν ὀστράκινος[annnsn] μέρος[nnnsc] τι-σαιννσν ὁ[dgfs] βασιλεία[ngfsc] εἰμί[vifm3s] ἰσχυρός[annnsn] καί[cc] ἀπό[pg] αὐτός[rpgfs] εἰμί[vifm3s] συντρίβω[vpppnns]. **v.43** ὅτι[cs] ὁράω[viaa2s] ὁ[dams] σίδηρος[namsc] ἀναμίγνυμι[vpxpams] ὁ[ddns] ὄστρακον[ndnsc] συμμιγής[annmpn] εἰμί[vifm3p] ἐν[pd] σπέρμα[ndnsc] ἄνθρωπος[ngmpc] καί[cc] οὐ[b] εἰμί[vifm3p] προσκολλάω[vpppnmp] οὗτος[rdnms] μετά[pg] οὗτος[rdgms] καθώς[cs] ὁ[dnms] σίδηρος[nnmsc] οὐ[b] ἀναμίγνυμι[vipp3s] μετά[pg] ὁ[dgns] ὄστρακον[ngnsc].

45 ται εἰς τοὺς αἰῶνας. ὃν τρόπον εἶδες ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος
ἄνευ χειρῶν καὶ ἐλέπτυνεν τὸ ὄστρακον τὸν σίδηρον τὸν χαλκόν
τὸν ἄργυρον τὸν χρυσόν ὁ θεὸς ὁ μέγας ἐγνώρισεν τῷ βασιλεῖ ἃ
δεῖ γενέσθαι μετὰ ταῦτα καὶ ἀληθινὸν τὸ ἐνύπνιον καὶ πιστὴ ἡ
46 σύγκρισις αὐτοῦ. τότε ὁ βασιλεὺς Ναβουχοδονοσορ ἔπεσεν ἐπὶ
πρόσωπον καὶ τῷ Δανιηλ προσεκύνησεν καὶ μαναα καὶ εὐωδίας
47 εἶπεν σπεῖσαι αὐτῷ. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν τῷ Δανιηλ
ἐπ᾽ ἀληθείας ὁ θεὸς ὑμῶν αὐτός ἐστιν θεὸς θεῶν καὶ κύριος τῶν
βασιλέων καὶ ἀποκαλύπτων μυστήρια ὅτι ἠδυνήθης ἀποκαλύψαι
48 τὸ μυστήριον τοῦτο. καὶ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιηλ καὶ
δόματα μεγάλα καὶ πολλὰ ἔδωκεν αὐτῷ καὶ κατέστησεν αὐτὸν ἐπὶ
πάσης χώρας Βαβυλῶνος καὶ ἄρχοντα σατραπῶν ἐπὶ πάντας τοὺς
49 σοφοὺς Βαβυλῶνος. καὶ Δανιηλ ᾐτήσατο παρὰ τοῦ βασιλέως καὶ
κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος τὸν Σεδραχ Μισαχ
Αβδεναγω καὶ Δανιηλ ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

3 ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονοσορ ὁ βασιλεὺς ἐποίησεν
εἰκόνα χρυσῆν ὕψος αὐτῆς πήχεων ἑξήκοντα εὖρος αὐτῆς πήχεων
2 ἓξ καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεϊρα ἐν χώρᾳ Βαβυλῶνος. καὶ ἀ-
πέστειλεν συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς
τοπάρχας ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ᾽ ἐξουσιῶν καὶ

---

v.44 καί^{cc} ἐν^{pd} ὁ^{ddfp} ἡμέρα^{ndfpc} ὁ^{dgmp} βασιλεύς^{ngmpc} ἐκεῖνος^{rdgmp} ἀνίστημι^{vifa3s} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dgms} οὐρανός^{ngmsc} βασιλεία^{nafsc} ὅστις^{rrnfs} εἰς^{pa} ὁ^{damp} αἰών^{nampc} οὐ^{b} διαφθείρω^{vifp3s} καί^{cc} ὁ^{dnfs} βασιλεία^{nnfsc} αὐτός^{rpgms} λαός^{ndmsc} ἕτερος^{aidmsn} οὐ^{b} ὑπολείπω^{vifp3s} λεπτύνω^{vifa3s} καί^{cc} λικμάω^{vifa3s} πᾶς^{aiafpn} ὁ^{dafp} βασιλεία^{nafpc} καί^{cc} αὐτός^{rpnfs} ἀνίστημι^{vifm3s} εἰς^{pa} ὁ^{damp} αἰών^{nampc}. **v.45** ὅς^{rrams} τρόπος^{namsc} ὁράω^{viaa2s} ὅτι^{cs} ἀπό^{pg} ὄρος^{ngnsc} τέμνω^{viap3s} λίθος^{nnmsc} ἄνευ^{pg} χείρ^{ngfpc} καί^{cc} λεπτύνω^{viaa3s} ὁ^{dans} ὄστρακον^{nansc} ὁ^{dams} σίδηρος^{namsc} ὁ^{dams} χαλκός^{namsc} ὁ^{dams} ἄργυρος^{namsc} ὁ^{dams} χρυσός^{namsc} ὁ^{dnms} θεός^{nnmsc} ὁ^{dnms} μέγας^{annmsn} γνωρίζω^{viaa3s} ὁ^{ddms} βασιλεύς^{ndmsc} ὅς^{rrnnp} δεῖ^{vipa3s} γίνομαι^{vnam} μετά^{pa} οὗτος^{rdanp} καί^{cc} ἀληθινός^{annnsn} ὁ^{dnns} ἐνύπνιον^{nnnsc} καί^{cc} πιστός^{annfsn} ὁ^{dnfs} σύγκρισις^{nnfsc} αὐτός^{rpgns}. **v.46** τότε^{b} ὁ^{dnms} βασιλεύς^{nnmsc} Ναβουχοδονοσορ^{nnmsp} πίπτω^{viaa3s} ἐπί^{pa} πρόσωπον^{nansc} καί^{cc} ὁ^{ddms} Δανιήλ^{ndmsp} προσκυνέω^{viaa3s} καί^{cc} μαναα^{t} καί^{cc} εὐωδία^{nafpc} λέγω^{viaa3s} σπένδω^{vnaa} αὐτός^{rpdms}. **v.47** καί^{cc} ἀποκρίνομαι^{vpapnms} ὁ^{dnms} βασιλεύς^{nnmsc} λέγω^{viaa3s} ὁ^{ddms} Δανιήλ^{ndmsp} ἐπί^{pg} ἀλήθεια^{ngfsc} ὁ^{dnms} θεός^{nnmsc} σύ$^{rpg-p}$ αὐτός^{rpnms} εἰμί^{vipa3s} θεός^{nnmsc} θεός^{ngmpc} καί^{cc} κύριος^{nnmsc} ὁ^{dgmp} βασιλεύς^{ngmpc} καί^{cc} ἀποκαλύπτω^{vppanms} μυστήριον^{nanpc} ὅτι^{cs} δύναμαι^{viap2s} ἀποκαλύπτω^{vnaa} ὁ^{dans} μυστήριον^{nansc} οὗτος^{rdans}. **v.48** καί^{cc} μεγαλύνω^{viaa3s} ὁ^{dnms} βασιλεύς^{nnmsc} ὁ^{dams} Δανιήλ^{namsp} καί^{cc} δόμα^{nanpc} μέγας^{ananpn} καί^{cc} πολύς^{ananpn} δίδωμι^{viaa3s} αὐτός^{rpdms} καί^{cc} καθίστημι^{viaa3s} αὐτός^{rpams} ἐπί^{pg} πᾶς^{aigfsn} χώρα^{ngfsc} Βαβυλών^{ngfsp} καί^{cc} ἄρχων^{namsc} σατράπης^{ngmpc} ἐπί^{pa} πᾶς^{aiampn} ὁ^{damp} σοφός^{anampn} Βαβυλών^{ngfsp}. **v.49** καί^{cc} Δανιήλ^{nnmsp} αἰτέω^{viam3s} παρά^{pg} ὁ^{dgms} βασιλεύς^{ngmsc} καί^{cc} καθίστημι^{viaa3s} ἐπί^{pa} ὁ^{danp} ἔργον^{nanpc} ὁ^{dgfs} χώρα^{ngfsc} Βαβυλών^{ngfsp} ὁ^{dams} Σεδραχ^{namsp} Μισαχ^{namsp} Αβδεναγω^{namsp} καί^{cc} Δανιήλ^{nnmsp} εἰμί^{viia3s} ἐν^{pd} ὁ^{ddfs} αὐλή^{ndfsc} ὁ^{dgms} βασιλεύς^{ngmsc}. **3. v.1** ἔτος^{ngnsc} ὀκτωκαιδέκατος^{aognsn} Ναβουχοδονοσορ^{ngmsp} ὁ^{dnms} βασιλεύς^{nnmsc} ποιέω^{viaa3s} εἰκών^{nafsc} χρυσοῦς^{anafsn} ὕψος^{nnnsc} αὐτός^{rpgfs} πῆχυς^{ngmpc} ἑξήκοντα^{ac-n} εὖρος^{nnnsc} αὐτός^{rpgfs} πῆχυς^{ngmpc} ἓξ^{ac-n} καί^{cc} ἵστημι^{viaa3s} αὐτός^{rpafs} ἐν^{pd} πεδίον^{ndnsc} Δεϊρα^{ng-sp} ἐν^{pd} χώρα^{ndfsc} Βαβυλών^{ngfsp}.

πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκό-
νος ἣς ἔστησεν Ναβουχοδονοσορ ὁ βασιλεύς. καὶ συνήχθησαν οἱ 3
τοπάρχαι ὕπατοι στρατηγοί ἡγούμενοι τύραννοι μεγάλοι οἱ ἐπ' ἐ-
ξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς
εἰκόνος ἣς ἔστησεν Ναβουχοδονοσορ ὁ βασιλεύς καὶ εἱστήκεισαν
ἐνώπιον τῆς εἰκόνος ἣς ἔστησεν Ναβουχοδονοσορ. καὶ ὁ κῆρυξ 4
ἐβόα ἐν ἰσχύι ὑμῖν λέγεται λαοί φυλαί γλῶσσαι. ᾗ ἂν ὥρᾳ ἀκού- 5
σητε τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας σαμβύ-
κης καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν
πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησεν Ναβουχο-
δονοσορ ὁ βασιλεύς. καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ αὐτῇ 6
τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.
καὶ ἐγένετο ὅτε ἤκουσαν οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος σύριγ- 7
γός τε καὶ κιθάρας σαμβύκης καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ
παντὸς γένους μουσικῶν πίπτοντες πάντες οἱ λαοί φυλαί γλῶσσαι
προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησεν Ναβουχοδονοσορ ὁ
βασιλεύς. τότε προσήλθοσαν ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς 8
Ιουδαίους. τῷ βασιλεῖ Ναβουχοδονοσορ βασιλεῦ εἰς τοὺς αἰῶνας 9
ζῆθι. σύ βασιλεῦ ἔθηκας δόγμα πάντα ἄνθρωπον ὃς ἂν ἀκούσῃ 10
τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας σαμβύκης καὶ

---

v.2 καί^{cc} ἀποστέλλω^{viaa3s} συνάγω^{vnaa} ὁ^{damp} ὕπατος^{namps} καί^{cc} ὁ^{damp} στρατηγός^{nampc} καί^{cc} ὁ^{damp} τοπάρχης^{nampc} ἡγέομαι^{vppmamp} καί^{cc} τύραννος^{nampc} καί^{cc} ὁ^{damp} ἐπί^{pg} ἐξουσία^{ngfpc} καί^{cc} πᾶς^{aiampn} ὁ^{damp} ἄρχων^{nampc} ὁ^{dgfp} χώρα^{ngfpc} ἔρχομαι^{vnaa} εἰς^{pa} ὁ^{danp} ἐγκαίνια^{nanpc} ὁ^{dgfs} εἰκών^{ngfsc} ὅς^{rrgfs} ἵστημι^{viaa3s} Ναβουχοδονοσορ^{nnmsp} ὁ^{dnms} βασιλεύς^{nnmsc}. **v.3** καί^{cc} συνάγω^{viap3p} ὁ^{dnmp} τοπάρχης^{nnmpc} ὕπατος^{annmps} στρατηγός^{nnmpc} ἡγέομαι^{vppmnmp} τύραννος^{nnmpc} μέγας^{annmpn} ὁ^{dnmp} ἐπί^{pg} ἐξουσία^{ngfpc} καί^{cc} πᾶς^{ainmpn} ὁ^{dnmp} ἄρχων^{nnmpc} ὁ^{dgfp} χώρα^{ngfpc} εἰς^{pa} ὁ^{dams} ἐγκαινισμός^{namsc} ὁ^{dgfs} εἰκών^{ngfsc} ὅς^{rrgfs} ἵστημι^{viaa3s} Ναβουχοδονοσορ^{nnmsp} ὁ^{dnms} βασιλεύς^{nnmsc} καί^{cc} ἵστημι^{viya3p} ἐνώπιον^{pg} ὁ^{dgfs} εἰκών^{ngfsc} ὅς^{rrgfs} ἵστημι^{viaa3s} Ναβουχοδονοσορ^{nnmsp}. **v.4** καί^{cc} ὁ^{dnms} κῆρυξ^{nnmsc} βοάω^{viia3s} ἐν^{pd} ἰσχύς^{ndfsc} σύ$^{rpd-p}$ λέγω^{vipp3s} λαός^{nnmpc} φυλή^{nnfpc} γλῶσσα^{nnfpc}. **v.5** ὅς^{rrdfs} ἄν^{x} ὥρα^{ndfsc} ἀκούω^{vsaa2p} ὁ^{dgfs} φωνή^{ngfsc} ὁ^{dgfs} σάλπιγξ^{ngfsc} σύριγξ^{ngfsc} τέ^{cc} καί^{cc} κιθάρα^{ngfsc} σαμβύκη^{ngfsc} καί^{cc} ψαλτήριον^{ngnsc} καί^{cc} συμφωνία^{ngfsc} καί^{cc} πᾶς^{aignsn} γένος^{ngnsc} μουσικός^{angnpn} πίπτω^{vppanmp} προσκυνέω^{vdpa2p} ὁ^{ddfs} εἰκών^{ndfsc} ὁ^{ddfs} χρυσοῦς^{andfsn} ὅς^{rrdfs} ἵστημι^{viaa3s} Ναβουχοδονοσορ^{nnmsp} ὁ^{dnms} βασιλεύς^{nnmsc}. **v.6** καί^{cc} ὅς^{rrnms} ἄν^{x} μή^{x} πίπτω^{vpaanms} προσκυνέω^{vsaa3s} αὐτός^{rtdfs} ὁ^{ddfs} ὥρα^{ndfsc} ἐμβάλλω^{vifp3s} εἰς^{pa} ὁ^{dafs} κάμινος^{nafsc} ὁ^{dgns} πῦρ^{ngnsc} ὁ^{dafs} καίω^{vppmafs}. **v.7** καί^{cc} γίνομαι^{viam3s} ὅτε^{cs} ἀκούω^{viaa3p} ὁ^{dnmp} λαός^{nnmpc} ὁ^{dgfs} φωνή^{ngfsc} ὁ^{dgfs} σάλπιγξ^{ngfsc} σύριγξ^{ngfsc} τέ^{cc} καί^{cc} κιθάρα^{ngfsc} σαμβύκη^{ngfsc} καί^{cc} ψαλτήριον^{ngnsc} καί^{cc} συμφωνία^{ngfsc} καί^{cc} πᾶς^{aignsn} γένος^{ngnsc} μουσικός^{angnpn} πίπτω^{vppanmp} πᾶς^{ainmpn} ὁ^{dnmp} λαός^{nnmpc} φυλή^{nnfpc} γλῶσσα^{nnfpc} προσκυνέω^{viia3p} ὁ^{ddfs} εἰκών^{ndfsc} ὁ^{ddfs} χρυσοῦς^{andfsn} ὅς^{rrdfs} ἵστημι^{viaa3s} Ναβουχοδονοσορ^{nnmsp} ὁ^{dnms} βασιλεύς^{nnmsc}. **v.8** τότε^{b} προσέρχομαι^{viaa3p} ἀνήρ^{nnmpc} Χαλδαῖος^{nnmpp} καί^{cc} διαβάλλω^{viaa3p} ὁ^{damp} Ἰουδαῖος^{anampn}. **v.9** ὁ^{ddms} βασιλεύς^{ndmsc} Ναβουχοδονοσορ^{ndmsp} βασιλεύς^{nvmsc} εἰς^{pa} ὁ^{damp} αἰών^{nampc} ζάω^{vdpa2s}.

11 ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν. καὶ
μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ ἐμβληθήσεται εἰς τὴν
12 κάμινον τοῦ πυρὸς τὴν καιομένην. εἰσὶν ἄνδρες Ιουδαῖοι οὓς
κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος Σεδραχ Μισαχ
Αβδεναγω οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν βασιλεῦ τῷ δόγμα-
τί σου τοῖς θεοῖς σου οὐ λατρεύουσιν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ
13 ἔστησας οὐ προσκυνοῦσιν. τότε Ναβουχοδονοσορ ἐν θυμῷ καὶ
ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδραχ Μισαχ καὶ Αβδεναγω καὶ ἤχθη-
14 σαν ἐνώπιον τοῦ βασιλέως. καὶ ἀπεκρίθη Ναβουχοδονοσορ καὶ
εἶπεν αὐτοῖς εἰ ἀληθῶς Σεδραχ Μισαχ Αβδεναγω τοῖς θεοῖς μου
οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα οὐ προσκυνεῖτε.
15 νῦν οὖν εἰ ἔχετε ἑτοίμως ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλ-
πιγγος σύριγγός τε καὶ κιθάρας σαμβύκης καὶ ψαλτηρίου καὶ
συμφωνίας καὶ παντὸς γένους μουσικῶν πεσόντες προσκυνήσητε
τῇ εἰκόνι ᾗ ἐποίησα ἐὰν δὲ μὴ προσκυνήσητε αὐτῇ τῇ ὥρᾳ ἐμβλη-
θήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην καὶ τίς ἐστιν
16 θεὸς ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου. καὶ ἀπεκρίθησαν
Σεδραχ Μισαχ Αβδεναγω λέγοντες τῷ βασιλεῖ Ναβουχοδονοσορ
οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί
17 σοι. ἔστιν γὰρ θεός ᾧ ἡμεῖς λατρεύομεν δυνατὸς ἐξελέσθαι ἡμᾶς
ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης καὶ ἐκ τῶν χειρῶν σου

---

